ἄττουσα· ὁρμῶσα. πηδῶσα

ἀτύζει (cf. Nic. Alex. 193)· ἐπιτιμᾷ. ταράσσει. ἀπολύει. φοβεῖται

ἀτυζηλόν· φοβερόν

ἀτύζεσθαι· φοβεῖσθαι. ταράσσεσθαι. ἀπὸ τῆς ἄτης

ἀτυζομένη (Soph. El. 149)· φοβουμένη. θορυβουμένη

(ἀτυζόμενοι Z 41)· ταραττόμενοι ⟨ἔνη cod.⟩

ἀτυζόμενος (Eur. Tro. 809)· λυπούμενος. ἐκπλησσόμενος

ἄτυκτον· ἄκοσμον ⟨ad ἄτακτον?⟩. σκληρόν. ἀκατασκεύαστον

† ἀττύλλα· ἀγκύλη ⟨v. ἀρτύλλεν⟩

ἀτυλόν· μικρόν. ἀγενές

† ἀτυπῆδες· κριθαὶ ἀπίτυροι, λεγόμεναι ἀλέπυροι ⟨v. πήτεα⟩ [94]

ἀτυχήσεις (Eupol. fr. XXV p. 472)· ἀποτεύξεις [96. 97]

ἀτυχῶν· μέτριος

† ἄτωρ· ἡ μελία ὑπὸ Αἰγυπτίων

ἀτωμένη (cf. Soph. Ant. 17)· βλαπτομένη. στερισκομένη. [8301]

αὖ· πάλιν. ἢ ἐπὶ τοῦ δή (E 1) συνδέσμου.

αὖαι· ξηραί. φθαρταί

αὐαίνεται· ξηραίνεται. φθείρεται

αὐαινομένοις· ξηραινομένοις. φθειρομένοις [6]

αὐαλέον· λίαν ξηρόν

Αὔαλός· ὁ Διόνυσος ⟨v. Δύαλος⟩

αὐανθείς (Aesch. Choeph. 260)· ξηρανθείς

αὐαρά· τὰ Ποντικὰ κάρυα ⟨v. ἄρυα, ἄλαρα⟩ [11]

αὐγάζομαι (Ψ 458)· βλέπω

† αὔγαρος· ἄσωτος ὑπὸ Κυπρίων

αὐγάζουσα· ὁρῶσα

αὐγάσασθαι· ἰδεῖν [16]

αὐγεῖν (Cretes)· ἀλγεῖν [18]

αὐγῶ· αὐγάζομαι [20]

αὐδάς· φωνάς

αὐδᾶται (Eur. Phoen. 126)· λέγεται

αὐδή· φωνή [24]

αὐδήεσσα (ε 334)· ὀνομαστή. ἔνδοξος [26. 27]

αὐδῶ (Tragici)· φωνῶ, λέγω

αὖε· ψιλῶς μὲν ἐφώνει (Λ 461), ἐβόα, δασέως δὲ καὶ ἐξέκαιεν, ἀνῆπτε πῦρ

† αὐεοῦλλαι· ἄελλαι. παρὰ $\overset{\omega}{\text{ἄκλ}}$ ⟨Εὔκλῳ⟩

αὐεκίζει· σφακελίζει. Κύπριοι

αὐερός· σκιά ⟨ἀυέρος· σκιᾶς?⟩

αὐερύοντα (Θ 325). εἰς τοὐπίσω ἕλκοντα

αὐῆναι· αὖσαι

ἀυετῆ· τὸν αὐτοετῆ ⟨v. 1430⟩

ἄυητον (cf. I 5)· ἔπνεον

αὔθαδες· ἐξουσιαστικόν

αὐθάδης· ὑπερήφανος. θυμώδης. παράνομος. αὐτάρεσκος

αὐθαδία (Antiph. fr. XIII 4 p. 139)· προπέτεια [40]

(αὔθαιμοι· ἀδελφοί)

αὐθαίρετοι· αὐτεπάγγελτοι. αὐτοπροαίρετοι, αὐτάρεσκοι. ἑκούσιοι (Eur. fr. 294). αὐτόκλητοι

αὐθέκαστα· ἁπλᾶ (Posidipp. fr. XIII p. 527). αὐστηρά

COD. 74. 5. 6 legebantur post 5912. 8259. 8265   84. 5. 6 ἀττ—   85 ἀττύζηλον· φ|   86 ἐπὶ   98 ἀτυχών   8307 αὐάλεον ⟨18 χροιά C 171, χαρά?⟩   34 αὐῆλαι· αἶσαι   36 αὐήτω   37 αὐθάδες   38 αὐτάρεστος   39 |τία   42 |ται· αὐτεπάγγελτον

HES. Ad 85 ἀφανές. ἄσημον ⟨ad ἀΐζηλον B 318⟩   94 ἀτυχής (Z 468)· καταπλαγής   96 ἀτυχθείς (Z 468)· ἀποστραφείς. ἐκπλαγείς   97 ἀτύχημα· ταλαιπωρία   8301 αὖα (ε 240)· ξηρά ....   Ad 2 ἢ ἐπὶ τοῦ παρόντος ⟨v. αὖθι⟩   6 αὖον· ξηρόν   11 αὐάς (M 137)· ξηράς   16 Αὐγεῖαι (B 532)· πόλεως ὄνομα   18 αὐγή· χρεία. λαμπρότης. καὶ φῶς ⟨v. γάνος⟩   20 αὖ$\overset{\delta}{\text{γ}}$α (Ξ 195)· λέγων φώνει   24 αὐδηέντων (ζ 125)· τῶν λόγων καὶ φωνὴν ἐχόντων   26 αὐδή (Σ 419)· φωνή, καὶ φθόγγος   27 αὐδήσας (E 786)· φωνήσας, λέξας   40 αὐθαδιάζεται· ὑπερηφανεύεται ⟨rec.⟩

ἄστιππος· ἱππέων ἑβδομήκοντα (τάγμα?)
ἄστοβον· ἀλοιδόρητον [52]
ἀστοιχείωτα· μὴ ἔχοντα ἀρχάς
ἄστομος· ὁ μὴ δυνάμενος λέγειν. Σοφοκλῆς Ἀκρισίῳ (fr. 72) [55]
ἄστονον· ἄλυπον. μεγαλόστονον ⟨schol. O Aesch. Sept. 858⟩
ἀστόξενοι (Aesch. Suppl. 356)· οἱ γένει μὲν προσήκοντες, ἐπὶ δὲ τῆς ἀλλοδαπῆς γεγονότες. οἱ δὲ τοὺς ξένους μὲν ὄντας, ἐπὶ τιμῇ δὲ ἀστοὺς γενομένους ⟨v. ἀστύξενοι⟩ [58]
† ἀστόριον· μέγα, καὶ διακεχυμένον
ἀστός· πολίτης, πολιτικός
ἀστοχεῖ· ἀποτυγχάνει. ἁμαρτάνει
ἀστράβη (Demosth.)· τὸ ἐπὶ τῶν ἵππων ξύλον, ὃ κρατοῦσιν οἱ καθεζόμενοι. τίθεται δὲ καὶ ἐπὶ τῶν ἀναβατικῶν ὄνων. οἱ δὲ κατὰ τὸ πλεῖστον μὲν τὴν σωματηγὸν ἡμίονον οὕτως ἔλεγον. ἐνίοτε δὲ πάντα ἁπλῶς τὰ σωματηγοῦντα † ὑποζυγοῦντα ⟨Arist. Byz. p. 104, 9 Nck.⟩ [63]
ἀστραβίζειν· ὁμαλίζειν, εὐθύνειν
ἀστραβές (Hippocr. III p. 173 K)· ἄστρεπτον. ἀσφαλές ⟨v. ἀστραφές⟩
ἀστραβιστήρ· ὀργανόν τι, ὡς δίοπτρον ⟨ρα⟩
ἀστραγάλας· τὰς πονηρὰς κύνας. κακοηθεῖς κύνας
ἀστραγάλη· ἡ τῆς ἴρεως ῥίζα ⟨v. λύκος⟩. ἢ κακοηθὴς κύων
ἀστράγαλον (Ξ 466)· τὸν σφόνδυλον. καὶ τὸ ὑποκάτω τοῦ σκέλους [70—72]
† ἀστρακλεῖν· ἀδυνατεῖν
Ἀστραλίαν· τὸν Θρᾷκα Λυδοί
ἀστραλός· ὁ ψαρὸς ὑπὸ Θετταλῶν
ἀστραπαῖοι (Aristot. Met. II 6)· ἄνεμοι πνέοντες, ἀφ' ὧν ἀστραπαὶ γίνονται
ἀστραπὴ δι' Ἅρματος· Ἀθηναῖοι, ὁπότε δι' Ἅρματος αὐτοῖς ἀστράψειεν, ἔπεμπον εἰς δύο θεοὺς τοὺς λεγομένους Πυθιαστάς
ἀστραφής· σκληρός. Σοφοκλῆς Μυσῶν ..... (fr. 381) [79]
ἀστράψῃ διὰ πυκνός (Com. anon. fr. CX)· ἀντὶ τοῦ δι' Ἅρματος
† ἀστρεκίας· ἀστροφανίας
ἄστρεπτον· ἄπιστον ⟨ἄπειστον?⟩. ὀρθόν
ἀστρηνές· δύσθετον. σκαιόν. ὀξύ ⟨v. ἐστρηνὲς, στρηνές⟩
ἄστριες (Antiph. fr. I p. 50 Callim. fr. CCXXXVIII)· ἀστράγαλοι. ἄστριχοι· τὸ αὐτό
† ἄστροβλον ⟨στρόβιλον⟩· τὸν ταχυλόγον. ἔνιοι τὸν συνεστραμμένον, ἢ δεδονημένον. (ἢ ἀστρόβηλον)
ἀστροβόλως (Plato nescio uter)· ἐντρεχῶς
ἀστροβλήτους (Theophr.)· τοὺς ὑπὸ τοῦ κυνὸς βαλλομένους
ἀστροβοληθῆναι· νόσῳ τινὶ κατασχεθῆναι, ἐπὶ τῶν παιδίων
† Ἀστροβόλιον· ἐν Ἰταλίᾳ [Ad 89. 90]
ἄστροις σημειοῦσθαι· μακρὰν ὁδὸν καὶ ἐρήμην βαδίζειν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πλεόντων
ἀστρολόγος (Xen. Mem. IV 2, 10)· γενεθλιολόγος
ἀστροφαές· λαμπρόν, λευκόν
ἄστυ (P 144)· πόλις. ἀπὸ τοῦ εἰς ὕψος ἀνίστασθαι
Ἀστυάναξ· ἰχθῦς τις οὕτως καλεῖται. καὶ ὁ τοῦ Ἕκτορος παῖς (Z 400 Eur. Tro. 570)
Ἀστυάνασσα· Ἑλένης θεράπαινα. ἥτις πρώτη ἐξεῦρεν Ἀφροδίτην, καὶ ἀκόλαστα σχήματα [97]
ἀστύγειτον· πλησιόχωρον
ἀστυγείτων· τῇ πόλει γειτνιῶν
Ἀστυδάμεια· Ἀκάστου γυνή
ἀστυλάζει· λυπεῖ μετὰ κλαυθμοῦ
ἀστυλίς (cf. Theophr. CP. II 17, 1 et στελίς)· φυτόν, ὅθεν ὁ ἰξός

COD. 50 ἄστυβον 52 |ειότατα 56 ἀμπόν, μ. 64 ἀστροβίζειν; ἀστραβαλίζειν EM. 159, 56 65 ἀσύραπτον 67 κύνες ⟨= ἑστερικὰς?⟩ 68 ἱερᾶς 74 ἱέρακα Meineke; aliter Giseke *thrak. Stämme* p. 19⟩ 75 ὀψαρὸς 78 Sic 84 ἀστρίες — τῶ αὐτῶ 86. 87. 88 = 88. 86. 87 86 |ολῶς ⟨ολίως EM⟩; |ίλως? 87 ἀστροβολήτους 8001 v. ἀσταλύζειν et νεοστάλυγες

HES. 52 ἀστοῖσι (Λ 242)· πολίταις 55 ἀστόν· πολίτην. ἢ πυκνόν ⟨ad λάσιον vel ναστόν⟩ 58 ἀστόργους (Rom. I 31)· μὴ ἀγαπῶντάς τινας ⟨v. ἀσυνθέτους⟩ 63 ἄστρα· Ἀττικοὶ τοὺς ἀστέρας 70 ἄστρα δὲ δὴ προβέβηκεν· παρῴχηκεν δὲ πλέω νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται (K 252. 253) ἤτοι εἰς τρεῖς μοίρας διαιρετέον, καὶ τὸ πλέω ἀντὶ τοῦ πλήρης ἀκουστέον, ἵνα ᾖ, ὅτι πλήρης τῶν δύο μοιρῶν ἡ νὺξ παρελήλυθεν 71 ἀστραπὴ δι' ἅρματος· Ἀθηναῖοι ..... 72 ἀστράπτων (B 353)· ὑπερλάμπων 79 ἀστραφές· ἄστρεπτον. ἀσφαλές ⟨v. ἀστραβὲς⟩ Ad 89. 90 ἔνιοι δὲ τὸ δεδονημένον. ἢ ἀστρόβηλον. ἀστροβοᾶν· ταχὺ. συνεστραμμένον. ἐντρεχῆ 97 ἄστυ, ἀστός· πόλις, πολίτης

ἀστυλόν· τὸ τραχὺ ἱμάτιον, καὶ φαῦλον ĭ † μηλήτιον, καὶ ἀναιδές ⟨στυφλόν?⟩

ἀστυνόμος (Demosth. 735, 11)· ὁ διοικῶν κατὰ τὸ ἄστυ [8005]

ἄστυ νυμφέων· τὴν Σάμον Ἀνακρέων (fr. LI 2), ἐπεὶ ὕστερον εὔϋδρος ἐγένετο

ἀστύξενοι· οἱ μὴ ἔχοντες ἐν τῇ πόλει τὴν οἰκίαν ἰδίαν. Ταραντῖνοι

† ἀστυπολεῖ· ἀγελοφορεῖ. ἰχθυοφορεῖ

ἄστυρον (Callim. fr. CCLXXXVIII)· πόλισμα (ἢ ἀκρόπολις) [10]

ἀστύτριψ· ἐν ἄστει διατρίβων

ἀστυφίη· ἀστυσία

ἀστυφέλικτον (Xen. Laced. XV 7)· ἄσειστον. † ἄσβατον. ἀδιάφ(θ)ορον (Greg. Naz. Carm. XIII 45)

ἀσύγ(γ)νωστος· οὐκ ἔχων συγγνώμην

ἀσύγκριτον· ἀνόμοιον. ὑπερέχον

ἀσύγχυτον· ἄμικτον, ἤγουν μὴ συγκιρνώμενον

ἀσυλλόγιστον (Menand. fr. II p. 176)· μὴ καλῶς γεγονός

ἄσυλον· ἀβλαβές ⟨v. ἀάτυλον⟩

ἀσύμβατον· ἀφιλίωτον. πολέμιον, ἀνειρήνευτον

ἀσύμβλητον· ἀσύγκριτον

ἀσυμφανές· περικεκαλυμμένον ⟨v. 7873⟩

ἀσυμφανῶς· ἀδήλως, αἰνιγματωδῶς, ἐπικεκαλυ(μ)μένως [23]

ἀσύμφορον (e. c. Xen. Cyr. V 2, 11)· τὸ μὴ συμφέρον, ἢ πρέπον. καὶ ἀπρόσφορον (v. Eurip. fr. 184)

ἀσυμφυὲς τῇ κτίσει· ἐκτὸς κτίσεως [26]

ἀσυνδέτους (Xen. Cyn. V 30)· μὴ συνδεσμουμένους

ἀσύνετος (Eur. Phoen. 1606)· ἄφρων

ἀσυνδύαστος· ἀσύμπλοκος. παρὰ τὸ μὴ συνδυάζειν, ὅ ἐστι ἐκ δυάδος καὶ τῆς σὺν προθέσεως [30. 31]

ἀσύνορον· ἀσύμφωνον

ἀσύντακτον (Nicostr. fr. II p. 285)· μὴ τεταγμένον

ἀσυντελές· ἐκτὸς τοῦ τετα(γ)μένου

ἀσυντελής· ἀσύμφορος

ἀσυρές· βδελυρόν. προπετές. βλοσυρόν. θρασύ [37. 38]

ἀσύφηλον (I 643)· ἀπαίδευτον. κακόν, ἁμαρτωλόν. ἀδόκιμον, μηδενὸς ἄξιον [40]

† ἀσφάζει (Eur. Tro. 134)· [ἀντέχεται

ἀσφακέλιστον· ἀπερίστατον. οὐ μελανθέν [43]

ἀσφαλτῖτις· ἐρυθρὰ θάλασσα [45]

ἀσφάραγος (X 328)· φάρυγξ, ἢ βρόγχος. ἢ λάχανον εὐτελές, ἀσπάραγος (Amips. com. fr. III p. 711)

ἄσφηλοι· ἀσθενεῖς. Σφηλὸν γὰρ τὸ ἰσχυρόν (Stesichor. fr. 82)

ἀσφόδελος (λ 538)· εἶδος φυτοῦ, οὗ τὴν ῥίζαν ἐδώδιμόν φησι Ἀρίσταρχος, καὶ ἅπαν εὔοσμον· ἀσφοδελὸς δὲ ὀξυτόνως λειμών, παράδεισος

ἀσχαδές (Aeschyl. fr. 410)· ἀμετάσχετον [50]

ἀσχάλλει (Eur. fr. 287)· ὀχλοῦται, λυπεῖται, ἀθυμεῖ, ἀδημονεῖ, ἀγανακτεῖ ⟨v. ἀσκάνη⟩ [52]

ἀσχέδωρος (Aeschyl. fr. 254)· ὁ σύαγρος παρὰ Ἰταλοῖς

ἀσχέλιον· τραχύ. Κρῆτες ⟨pro ἀσκελὲς⟩ [55]

ἄσχετος· ἄμετρος (non υ 19) [57]

ἀσχη(μο)νεῖ (Plat. Pol. VII p. 517 D)· ἀκοσμεῖ [59—61]

ἄσχολος (Eur. Or. 93)· ὁ σχολὴν μὴ ἄγων, ἀσχολούμενος [63]

ἀσώδης· ἀμμώδης (schol. Aesch. Suppl. 32)

ἀσωμένη (Soph. Ant. 17)· λυπουμένη

Ἀσώπιον· τόπος Ἀθήνησι ⟨Θήβησι Meinek.⟩

Ἀσωπός (Δ 383)· ποταμὸς ἐν Θήβαις τῆς Βοιωτίας [68]

COD. ⟨8 EM. 160, 34⟩ 9 ἀστυρόν· π. ἄστυ· πόλις ἢ ἀκρ. ὁ ἐν π. ἀ. 34 |λὲς 39 |φιλον; cf. 8023 44 |ίτης 56 ἀσχέτως Cyr. 171 ⟨66 cf. Stratt. com. fr. I 2 p. 783⟩

HES. 8005 Ἀστυνόμη (schol. AD Α 392)· ἡ Χρυσηΐς, ὑπὸ τῶν νεωτέρων 10 ἀστυπόλος· ὁ ἐν πόλει ἀναστρέφων 23 ἀσύμφιλος· ἀνόητος. ἄτιμος ⟨ἀσύφηλος⟩ 26 ἀσύνακτος (Greg. Naz. VIII 24 p. 225 Dr.)· ὁ μὴ συναγόμενος. ἐξο⟨ω⟩βλητος 30 ἀσυνθέτους (Rom. I 31)· μὴ ἐμμένοντας ταῖς συνθήκαις, μὴ συντεθη⟨ει⟩μένους ⟨v. ἀστόργους⟩ 31 ἀσυνθεσία (LXX)· παραβασία 37 ἀσυρῆ (Sirac. XXIII 14)· ἀκάθαρτα 38 Ἀσυρίων (Callim. fr. CLII)· Χαλδαίων 40 ἀσφάλειαν· σωτηρίαν 43 ἀσφαλῆ⟨ι⟩σαι· ..... 45 ἀσφαλτώσεις (Genes. VI 14)· χρίσεις. πισσώσεις 50 ἀσχαλάα (Β 293)· δυσανασχετεῖ ⟨v. ἐσχαλάα⟩ 52 ἀσχαλόωντα (X 412)· ἀδημονοῦντα, λυπούμενον, ἀγανακτοῦντα 55 ἄσχεο (Ω 518)· ἀνάσχου 57 ἄσχετον (Π 549)· ἀκατάσχετον, οὐκ ἀνασχετόν. ἄφιλον. οἱ δὲ ἰσχυρόν 59 ἀσχήμονα· ἄμορφον, ἀνείδεον 60 ἀσχήμονι (Sapient. II 20)· ἐπονειδίστῳ θανάτῳ 61 ἀσχολία (Sirac. XL 1)· ἐνδελεχισμός 63 ἄσω (Psalm. XII 6)· ψαλῶ, αἰνέσω, ὑμνήσω 68 ἀσώτως (Luc. XV 13)· αἰσχρῶς. ἀπλήστως

ἄτα ⟨sic⟩· ὦτα. Ταραντῖνοι [70]
Ἀταβυρία· ἡ Ῥόδος πάλαι [72]
ἆται· πληροῦται [74]
ἀταισόν· ἀναδενδράς. Τυρρηνοί ⟨v. πεταιτά⟩ [76]
† ἀταθήνιον· χαλκός. ἔλυτρον
ἀταλά (Σ 567)· νήπια. ἁπαλά
ἀταλαιπώρως (Aristoph. fr. XIII p. 1053)· ἄνευ κόπου, ἀκοπιάστως
ἀτάλαντον (P 72 al.)· ἰσόζυγον. ἴσον. ὅμοιον (B 169) [81]
ἀτάλλει (N 27)· τρέφει. τιθηνεῖ. σκιρτᾷ· χαίρει. φιλεῖ, ἀγαπᾷ
ἀτάλματα· ἀντὶ τοῦ ἅλματα. παίγνια
ἀταλόφρονα (Z 400)· νήπια. ἁπαλόφρονα
ἀταμίευτα· ἀδιοίκητα. ἀναπόθετα. ἀφύλακτα [86]
ἀτάρ (Ψ 336)· δή [Ad 87. 88]
ἀτάρβητος (Γ 63)· ἄφοβος
ἀταρβίζεται· ἀτηρὸς φαίνεται
ἀτάρ· δέ, πλήν, ὅμως δέ (Plat. Euthyd. p. 304 D)
ἀτὰρ δή (Eur. Tro. 63)· ἀλλὰ δή. διὰ τοῦτο [Ad 93—96]
ἀτάρμυκτον· ἄφοβον, θρασύν. ἄθικτον, ἄψεκτον ⟨ἄεικτον, ἄτρεστον⟩
† ἀτάρνη· βρόχος ⟨ἀρτάνη⟩ [99—8101]
ἀταρπιτός· ἀταρπός. ὁδὸς ἄτραπτος ⟨. ἀτραπιτός?⟩
ἀταρτᾶται· βλάπτει. πονεῖ. λυπεῖ
ἀταρτηροῖς (Α 223)· βλαβεροῖς, ἀτηροῖς
ἄταρχον· ἀχείμαστον ⟨v. τάρχη⟩
ἄτας· εἰκαιολογίας. ἀπάτας (cf. Aesch. Suppl. 110) [7. 8]
ἀτάσθαλος (Apoll. lex. 46, 24)· ἁμαρτωλός, πονηρός, φρενοβλαβής
ἀτάρχυτος (Lycophr.)· ἄταφος
ἄτας κελαδεῖν (Eur. Tro. 121)· μάταια εἰπεῖν, ἢ ἠχεῖν [12]
ἀταύρωτος (Aesch. Ag. 243)· ἄζυγος. καὶ παρθένος, παρ' ὅσον ἐζεῦχθαι γάμοις αἱ γημάμεναι λέγονται
ἄτεγκτοι· ἄβροχοι. σκληροί, ἀσυμπαθεῖς. ἄβρεκτοι
ἀτέγκτοις· ξηροῖς, ἀβρόχοις
ἄτεγκτος (Soph. OT 336)· ὁ μήτε δακρύων, μήτε ἱδρῶν. ἀνένδοτος ⟨v. τέγγεσθαι⟩. καὶ γὰρ ὁ ἐλεῶν δακρύει
ἀτεδή· ἐπειδή. ὡς δηλαδή
ἀτειρής (Γ 60 al.)· ὁ στερεός. καὶ ἄτρωτος, οὐ τειρόμενος ὑπὸ Ἄρεως. ἀκαταπόνητος
ἀτέκμαρτον· ἀτελείωτον. ἄγνωστον. ἄσημον
ἄτεκνος· ἄγονος [21]
ἀτέλεια· ἀλειτουργησία
ἀτελεῖς· ἐλλιπεῖς [24]
ἀτελῆ· ἀδάπανα. οὐκ ἔχοντα τελέσματα. Σοφοκλῆς Θυέστῃ (fr. 247)
ἀτέμβεσθαι· στέρεσθαι. ὀδυνᾶσθαι ⟨v. ῥεμεῖ, τέμβει⟩
ἀτεμβόμενος (Λ 704)· στερισκόμενος
ἀτέμβονται (Ψ 445)· στερίσκονται
ἀτενές· ἰθύ. † ἀναλγές. συνεχές
ἀτενής·

ἥκω δ' ἀτενὴς ἀπ' οἴκων

Εὐριπίδης Ἀλκμαίωνι τῷ διὰ Ψωφῖδος (fr. 66) συντείνασα. καὶ ἀτενίζειν λέγουσι τοὺς συντείνοντας καὶ ἐπερείδοντας τὴν ὄψιν
ἀτενίζει· ..... προσέχει, βλέπει
ἀτέοντα (Υ 332)· (ἀ)τώμενον. βλαπτόμενον, παρὰ τὴν ἄτην [33]
ἄτερ· χωρίς, ἄνευ, ἐκτός [35]

COD. ⟨69 ἄτα· ὦτα? an ἆ 'τα· ὦ τᾶν?⟩ 87 τιοῦν 97 ἀτὰρ, μικτὸν 8105 ἀτάραχον 11 ἀτασκελαδεῖν 13 ἀτάβρωτος — ἐζεύχθη — γηγάμεναι 18 τηρούμενος 22 ἀλειτούργητα 29 † παντελῶς Bekk. 458, 26 30 ψοφίδος 32 ἀ. ἀτιμάζοντα, .τήμενον· βλ¦

HES. 70 ἀταβέες· ἄφοβοι ⟨ἀταρβέες⟩ 72 Ἀταβύριον (Oseae V 1)· ἔνθα ὄρος ⟨sic⟩ θηρία συνάγονται 74 ἄταιθα· λαμυρά ⟨ἀτάσθαλα· μωρά⟩ 76 ἀταής· ἀγύμναστος 81 ἀταλοῖς· νηπίοις. ἁπαλοῖς. [ἁπλοῖς] 86 ἀταποῦ· χαλεπῆς ⟨v. Lobeck. Path. El. p. 492 n.⟩ Ad 87 ἢ ἦν ποτέ, ἐὰν δήποτε. ἢ οὖν. καὶ [δη] δή, ἤδη ⟨ἢ δὲ?⟩ 88 ἀτὰρ ἄρποτε (Α 166)· ἐὰν δήποτε Ad 93 ἦν ποτε. ἐὰν δήποτε 94 ἀτὰρ ἤνποτε (Α 166)· ἐὰν δήποτε 95 ἀταρ ῐ μενοῦνγε (σ 123)· καὶ δή, καὶ ἄρτι (Z 125) 96 ἀτάρ μὴ νῦν γε (Α 506)· νῦν δὲ αὐτόν 99 ἀταροῦν (Hom.)· διὰ τοῦτο οὖν 8100 ἀτὰρ οὐ τέλος ἱκεομυθῶν (I 56) 1 ἀταρπιτός (Σ 565)· ἡ ὁδός 7 ἀτάσθαλα· ἁμαρτωλά, ἄδικα (Λ 694) 8 (ἀ)τασθαλίαι (φ 146)· ἁμαρτίαι· ἐπὶ ⟨ἀπὸ⟩ τοῦ ταῖς ἄταις θάλλειν 12 (ἆ)τε (X 127)· καθάπερ 21 ἀτεκνία (Sapient. IV 1) 24 ἀτελεύτητον (Α 527)· τὸ μὴ ἔχον τέλος 33 ἀτέλεβος· εἶδος κνωδάλου ⟨ἀττ—⟩ 35 ἀτέραμνον (ψ 167)· τὸ μὴ ἐνδιδοῦν. σκληρόν. Τέρ[σ]εν γὰρ τὸ ἁπαλόν

ἀτεράμων (Plat. Legg. IX 853 D)· σκληρός. ἀχαμπής. ἀκαταπόνητος. ἀνελεήμων
ἀτεράμοσι (Hippocr. I p. 524 K)· σκληροῖς
Ἀτερέα· ὄρος. γοργόν. Κρῆτες ⟨v. Ἀπταρεύς⟩
ἀτέρεμνα· τὰ μὴ ἑψόμενα ὄσπρια (schol. Theocr. X 7) [40—43
ἀτέρμονες· ἀόριστοι
ἄτεροι· ἕτεροι. † ἑτέρωθεν
† ἀτεροῖον· τὸ ἑτέρωθεν. καὶ χωρίς ⟨ad ἄτερ οἷον⟩ [47]
ἀτευχῆ (Eur. Andr. 1119)· ἄνοπλον [49—54]
ἀτεχνῶς· τὸ παράπαν, καὶ τῷ ὄντι, καὶ καθόλου. οἱ δὲ [55] καθάπαξ (schol. Plat. Euthyphr. p. 325 sq.)
ἄτη (*B* 111)· βλάβη
ἀτημέλητος (Xen. Cyr. VIII 1, 5)· ἠμελημένος
ἀτημελῶς· ἀνεπιστημόνως. ἀμελῶς [59]
ἀτηρόν (Eur. Andr. 353)· βλαβερόν
(Ἄτης λόφος cf. 8187) [62. 63]
Ἀτθίδων· Ἀθηναίων
ἀτίζει (Nic. Alex. 193)· ἀτιμάζει. ἢ ἀφροντιστεῖ ⟨ad ἀτύζει⟩
ἀτίζεις (Eur. Rhes. 327)· ὑπονοεῖς.
ἀτίζεται· ἀτιμάζεται
ἀτίζων (*Y* 166 Eur. fr. 349)· ἢ τὸ ⟨ἤτοι?⟩ ἀφροντιστῶν. ἢ ἄταις περιβάλλων, ἤγουν βλάβαις
ἀτίθασσον· ἀνήμερον. Τιθασσεύειν γὰρ λέγεται τὰ ἄγρια θηρία ἡμεροῦν καὶ χειρόηθη ποιεῖν
ἀτιμαγέλας (Soph. fr. 919)· ὁ ἀτιμάζων. καὶ τῇ ἀγέλῃ μὴ συνυποταττόμενος [71]
ἀτιμαλφοῦσι· τιμὴν οὐχ εὑρίσκουσιν [73]
ἀτίνακτα· ἄσειστα [75. 76]
ἀτισανδρεῖν· ἀτιμάζειν ἄνδρα, καὶ ὑπερηφανεῖν
ἄτισεν· ἠτίμησεν. ἄτιμον ἐποίησεν
ἀτίσεις· ἀτιμάσεις. Αἰσχύλος Κερκύωνι (fr. 100) [80—82]
ἀτῖται (Aesch. Ag. 71?)· ἄδικοι ⟨ἄδοξοι⟩
ἀτιτάλλει (Apoll. lex. 46, 13)· ἀγαπᾷ [85]
ἀτίτην· ἀτιμώρητον. ἄπορον. ἄτιμον. τὸν μὴ ἔχοντα ἀποτῖσαι [87. 88]
† ἀτίτηστον· ἀπρομηθέ[υ]ς ⟨v. ἀρετήσιον⟩
ἄτιτος (*N* 414)· ἀτιμώρητος. κατὰ στέρησιν τῆς ἄτης
Ἄτλαντα ὠμοφόρον
ἄτλας· ἄτολμος. ἀπαθής. καὶ ἡ διϊοῦσα εὐθεῖα ἕως τῶν πόλων
ἀτλατεῖ· ἀγωνιᾷ. ἀθυμεῖ. φοβεῖται
ἀτλατέω· ἀγωνιῶ
ἀτλησία· ἀμηχανία. ἀνυποστασία
ἄτλητον (*T* 367)· ἀνυπομόνητον [97]
ἀτμενία· δουλεία. δυστυχία ⟨v. λατμενεία⟩
ἄτμενον οἶτον· δουλικὸν μόρον
ἄτμενον (Archil. fr. 154)· ἄπαυστον οἰκέτην
† ἀτμησίφρων· οὐδεμιᾶς τόλμης ἔννοιαν ἔχων
ἄτμητον· ἀμέριστον, ἀτραυμάτιστον Σοφοκλῆς Ἀμφιτρύωνι (fr. 121)
ἀτμιδοῦχον· ἀτμίδα † ἔχων [8204]
ἀτμίς· ἀναθυμίασις. σπινθήρ. ἀνάδοσις
ἀτμοῖς· ἀναδόσεσιν
ἀτμός· ἡ ἐκ τοῦ ὑγροῦ ἀνάδοσις. ἢ καπνός. ἢ ἀτμίς. ἢ πνοή
ἀτμ....· ἀναθυμιάζουσαν (Xen. Anab. IV 5, 2?)
ἀτοκῶ· βοτάνη ⟨—κώ⟩
ἄτομα· λεπτά, τομὴν μὴ δυνάμενα λαβεῖν

COD. 37 ἀτεράμοῖσι ⟨sic⟩ Cyr. 171  44 ἀτέρμωνες· ἄριστοι  ⟨45 ἀτέρυϊ· ἑτέρωσε?⟩  Post 64 ἀτιαλλεῖ· ἀγαπᾷ; cf. 8184  ⟨65 EM. 168, 12⟩  66 |εἷς πένεις  67 πένεται ἀτιμάζεται  74 ἀτειν|  77 ἀντισ|  78 |μησεν ἔβλαψεν ⟨ad ἄτησεν⟩  85 ἀτιταί, ἄδικοι. ἀτίτ.ηλα·  92 ἠδηδοῦσα — πυλῶν  93 ἀγνοεῖ  96 ἀτλητόν  99 ἀτμενονοιτόν — μωρόν ⟨v. ὑπάτμενοι⟩  8201 |ήφρων· οὐδὲ  8 ἀτμύσαν?

HES. 40 ἀτέρεμνον (*φ* 167)· σκληρόν  41 ἀτερήμενον (*Λ* 498)· χωρὶς καθήμενον  42 ἀτέριγε (*O* 292)· χωρίς  43 ἀτερμάτιστος· ἀβέβαιος, ἀθεμελίωτος (v. l. in Phil Iud. pro ἀνερμάτιστος)  47 ..ατερος· ὁ ἕτερος, ὁ εἷς τῶν δύο ⟨imo ὁ θάτερος Menand. fr. CC⟩  49 † ἀτεύκτου· ἀνεπάφου. ἀτερπές ⟨ad ἀπευκτόν⟩  50 ἄτακτον· ἀσκεύαστον ⟨ad ἄτευκτον⟩. ἀσύνθετον  51 ἀτερέψατο· ἠθέτησεν ⟨v. 458. 464. 784. 854⟩  52 ἀρετήσιον· ἀπρομηθές ⟨v. ἀτίτηστον⟩  53 ἀτετόν· λευκόν  54 ἀτετῶς ⟨l. ἀξέστως⟩· ἀφροντίστως  Ad 55: ἁπλῶς, ἢ ⟨Moeris p. 46⟩  59 ἀτήνειν· μοχθεῖν ⟨v. ἀστηνεῖ⟩  62 ἀτεωρόχοι· ἄγαν αὐθάδεις ⟨ἀγέρωχοι⟩  63 ἀτηρής· ἀκαταπόνητος ⟨ἀτειρής⟩  71 ἄτιμος (*Λ* 171)· ὁ μὴ ἔχων τιμήν  73 ἀτιμωτάτη (*Λ* 516)· ἄτιμος  75 ἀτινοῦν (*Λ* 289)· ἅ τινα οὖν  76 ἀτηρὴς χαλκός (*T* 233)· ἀκαταπόνητος σίδηρος  80 ἀτισιλινοῖς (*E* 487)· περὶ τὰ λινὰ ἐξαμάτων δέσιν  81 ἀτίταλ(λ)ον (*Ξ* 202)· ἔτρεφον  82 ἀτίταλ(λ)ε (*E* 271)· ἀγάπα. μετὰ ἐπιμελείας τρέφε  85 ἀτίτηλα (*Ω* 60)· ἀνέθρεψα  87 Ἀτιόλοφος· οὕτως τὸ Ἴλεον ἐκαλεῖτο πρῶτον (Diogen. prov. III 10)  88 ἀτιτεῖν· ἀδικεῖν ⟨ἀλιτεῖν⟩  97 ἄτματα (*Λ* 314)· καθάρματα  8204 ἀτμίς (Sapient. VII 25)· ἀπαύ(γ)ασμα. πνοή

ἀτονία· ἀδυναμία [12. 13]
ἀτόπαστον· ἀνείκαστον. Τοπάζειν γὰρ τὸ εἰκάζειν· καὶ τὸ ὑποτοπάσαι δὲ ἐνθένδε λέγεται. Αἰσχύλος Κρήσσαις (fr. 114)
ἄτοπα· ξένα. ἐνίοτε δὲ ἄτοπον τὸν δεινὸν καὶ ἔκθεσμον καὶ παρηλλαγμένον, ἢ καὶ πονηρὸν καὶ αἰσχρὸν λέγει καὶ χαλεπόν
ἄτοπος· παράδοξος λόγος (Epicrat. fr. I 12 p. 370), ἢ θαυμαστός
ἄτρακτος (Soph. Tr. 714)· βέλος, μεταφορικῶς [ad 17]
ἀτρακτυλίς (Xen. Cyneg. III 15)· φυτὸν ἀκανθῶδες. οἱ δὲ τὴν ἀγρίαν κνῆκον (Theophr. VI 4, 3)
ἀτραπίζειν (cf. Pherecr. fr. X p. 265)· βαδίζειν. ὁδοιπορεῖν
ἀτραπιτοῖς (Nic. Ther. 917)· ὁδοῖς
ἀτραπός (Apoll. lex. 46, 6)· ὁδὸς τετριμμένη, μὴ ἔχουσα ἐκτροπάς, ἀλλ' εὐθεῖα[ν] [22. 23]
ἀτρεκέως (Β 10 al.)· ἀληθῶς. ἀκριβῶς
ἀτρεκῆ· ἀληθῆ. ἀκριβῆ
ἀτρεκήσασα· ἀκριβωσαμένη. Εὐριπίδης Βουσίριδι (fr. 317)
ἀτρέμας (Β 200 al.)· ἡσύχως, ἡσυχῆ [28]
ἀτρεμῆσαι· ἡσυχάσαι ⟨v. ἠτρεμεῖ⟩
ἀτρέμητον ⟨ἢ. τὸν⟩· ἀσάλευτον
ἀτρεμία (Xen. Cyr. VI 3, 6)· ἡσυχία
ἀτρεμέων ⟨—ίων Dorice?⟩· ἡσυχάζων
ἄτρεπτον· ἀκίνητον
ἀτρέστοις· ὀξυβλέπταις
ἄτρεστον (Soph. Ai. 365)· ἀφόβητον [36—38]
ἀτριάκαστοι· οἱ μὴ μετέχοντες τριακάδος. Ἀθηναῖοι (C. I. I p. 104 B)
ἀτρίζεται· πήνεται ⟨v. ἀτίζεται⟩
ἄτριον· ὕφος λεπτόν ⟨v. ἤτριον⟩. καὶ εὐάτριοι· εὐυφεῖς [42]
ἄτροπον· ἄτρεπτον
† ἀτροπίη· ἀωρία. μεσονύκτιον ⟨ἀβροτίη?⟩
(ἄτροπον· ἀπρεπές v. ἄπροπον)
ἄτροπος· ἀμετάτρεπτος
ἄτροφος (Alcman. fr. 26)· τυρὸς ὁ πησσόμενος ὑπὸ Λακώνων [48]
ἀτρυγέτοιο (Α 316)· ἀκάρπου ἀβύσσου καὶ ἀπείρου [50]
ἀτρύγετος· ἄκαρπος. ἀκαταπόνητος [52]
ἀτρυγηφάγου (Archil. fr. 95)· πολυφάγου. Τρύγη γὰρ ὁ Δημητρ[ε]ιακὸς καρπός ⟨v. ὀτρυγηφάγου⟩
ἄτρυτον· ἄπονον (Herod. IX 51). ἄκοπον. ἄπληκτον
ἄτρυτος· πολύπονος
ἀτρυτώνη (Β 157)· ἄτρυτος ἐν μάχῃ. ἡ Ἀθηνᾶ
ἀτρώτως· ἀνικήτως. ἀκαταπονήτως. ἀκοπιάστως
αττα· τινά. ἅτινα. † ὁμοίως ἡ ὁ δὲ στενη. καὶ προσφώνησις φιλοφρονητικὴ νέου πρὸς πρεσβύτερον καὶ τροφέα, ὡς ἡ πάππα πρὸς τὸν πατέρα. σημαίνει δὲ καὶ ἅτινα καὶ ὁπόσα ⟨v. ἄσσα⟩. καὶ φιλῶς, ταχέως ⟨ad φ 369⟩
ἄττα· τινά. ὀλίγα τινά ⟨ad ὀλίγ' ἄττα⟩. καὶ τὸ ἄττα γε(ραιέ Ι 607)
ἀτταβυγάς (Arist. fr. I p. 1127)· εἶδος ὀρνέου ⟨ἀτταγᾶς?⟩
Ἀτταγάθη· Ἀθάρη παρὰ τῷ Ξάνθῳ
ἀτταλαγώσεται· μολυνθήσεται [63—65]
ἀττάλη· † φάρυξις ὑπὸ Φρυγῶν
ἀτταλίζομαι· πλανῶμαι. Σικελοί
ἄττανα· τήγανα. καὶ πλακοῦς ὁ ἐπ' αὐτῶν σκευαζόμενος ......
ἀττανίδες· πλακοῦντες, ἔνθρυπτοι
ἀττανίτας (Hipponax)· τηγανίτας
ἀττάραγος (Callim. epigr. XLIX 9)· τὸ ἐλάχιστον. οἱ δὲ τὰς ἐπὶ τῶν ἄρτων φλυκταίνας. οἱ δὲ τὰς καλουμένας ψίχας (Attici)
ἀττάρυμα· πόμα. ῥόφημα Κρητικόν
ἄττασι· ἀνάστηθι (Λάκωνες)

COD. 18 ἀτρατρακτύαλος 28 ὑγεία 40 πένεται 47 πισσόμενος 48 ἀτριγέτοιο· ἄκαρπον 55 ἀτρύπονος 56 ἄτρωτος 57 ἀκατ. ἀκοπ. legebantur post ἀτρυτώνη 58 |νητικὸς — παπα Post 59 ἄττει· πηδᾷ, ἅλλεται ⟨pro ᾄττει⟩ 60 ὀρνέου καὶ τὸ ἀττάγε·· Post 65 ἄττεσθαι· δ. στ. 71 ἀττάραχος — ψυγας 72 σόφισμα 73 ἄττασία

HES. 12 ἄτοπα (gl. Iob. XXXIV 12)· πονηρά, αἰσχρά 13 ἀτοπία (LXX)· αἰσχρότης. πονηρία Ad 17: καὶ ὁ ἄδρακτος 22 ἀτρέχως· ἀτρίβως 23 ἀτρεκές (Ε 208)· ἀληθές 28 ἀτρέμη· ὑγιέα ⟨ἀρτεμῆ⟩ 36 Ἀτρείδα δέ (Α 16)· τοὺς Ἀτρέως παῖδας 37 Ἀτρείδαο (Α 203)· τοῦ Ἀτρέως παιδός 38 Ἀτρείδης (Α 12)· ὁ τοῦ Ἀτρέως παῖς Ἀγαμέμνων 42 ἄτρομον (Ε 126)· ἄφοβον 48 ἀτριτοις· ἀκαταπονήτοις 50 ἀτρύνων· ἐγείρων 52 ἄτρυγον καθαρόν (Exod. XXVII 20)· μὴ ἔχον τρύγα 63 ἀτταλασίξαι· ὀμόσαι ⟨v. ἀπαλασίξαι⟩ 64 ἀττελάβη· ἀκρίδας 65 ἀττέλαβος (gl. Nahum III 17)· ἀκρὶς μικρά. καὶ εἶδος κνωδάλου, ζώου μικροῦ καὶ λεπτοῦ [γὰρ ⟨l. γράφεται⟩ καὶ ἀκρίδος]

(ἀτταφούλιττορ· σταφυλῖνος Λάκωνες ⟨v. ἀπαφούλιστορ⟩

ἄττει (Metagen. fr. I 10 p. 753)· πηδᾷ, ἅλλεται

ἄττεσθαι (Hermippus)· διάζεσθαι στήμονα ⟨v. ἀΐττεσθαι, ἆσμα, ἀτρίζεται⟩)

Ἄττης (Theopomp. com. fr. V p. 801)· τὸν Ἄττην φασί

Ἀττικὰ γράμματα (Demosth. 1370, 28)· τὰ ἀρχαῖα ἐπιχώρια

Ἀττικουργῆ (Menand. fr. CCCCXXVIII)· τὰ ἐπὶ τῆς Ἀττικῆς εἰργασμένα

Ἀττικῶς· Ἀθηναίως

† Ἀττίς· Ἀθῆναι

ἄττον(τ)ες (Plat. Theaet. p. 144 A)· ὁρμῶντες. πηδῶντες. λέγεται δὲ ὡς ἀπὸ τῶν σκορπίων

ἄττουσα· ὁρμῶσα. πηδῶσα

ἀτύζει (cf. Nic. Alex. 193)· ἐπιτιμᾷ. ταράσσει. ἀπολύει. φοβεῖται

ἀτυζηλόν· φοβερόν

ἀτύζεσθαι· φοβεῖσθαι. ταράσσεσθαι. ἀπὸ τῆς ἄτης

ἀτυζομένη (Soph. El. 149)· φοβουμένη. θορυβουμένη

(ἀτυζόμενοι Z 41)· ταραττόμενοι ⟨ἐνη cod.⟩

ἀτυζόμενος (Eur. Tro. 809)· λυπούμενος. ἐκπλησσόμενος

ἄτυκτον· ἄκοσμον ⟨ad ἄτακτον?⟩. σκληρόν. ἀκατασκεύαστον

† ἀττύλλα· ἀγκύλη ⟨v. ἀρτύλλεν⟩

ἀτυλόν· μικρόν. ἀγενές

† ἀτυπῆδες· κριθαὶ ἀπίτυροι, λεγόμεναι ἀλέπυροι ⟨v. πήτεα⟩ [94]

ἀτυχήσεις (Eupol. fr. XXV p. 472)· ἀποτεύξεις [96. 97]

ἀτυχῶν· μέτριος

† ἄτωρ· ἡ μελία ὑπὸ Αἰγυπτίων

ἀτωμένη (cf. Soph. Ant. 17)· βλαπτομένη. στερισκομένη. [8301]

αὖ· πάλιν. ἢ ἐπὶ τοῦ δή (B 1) συνδέσμου.

αὖαι· ξηραί. φθαρταί

αὐαίνεται· ξηραίνεται. φθείρεται

αὐαινομένοις· ξηραινομένοις. φθειρομένοις [6]

αὐαλέον· λίαν ξηρόν

Αὔαλος· ὁ Διόνυσος ⟨v. Δύαλος⟩

αὐανθείς (Aesch. Choeph. 260)· ξηρανθείς

αὐαρά· τὰ Ποντικὰ κάρυα ⟨v. ἄρυα, ἄλαρα⟩ [11]

αὐγάζομαι (Ψ 458)· βλέπω

† αὔγαρος· ἄσωτος ὑπὸ Κυπρίων

αὐγάζουσα· ὁρῶσα

αὐγάσασθαι· ἰδεῖν [16]

αὐγεῖν (Cretes)· ἀλγεῖν [18]

αὐγῶ· αὐγάζομαι [20]

αὐδάς· φωνάς

αὐδᾶται (Eur. Phoen. 126)· λέγεται

αὐδή· φωνή [24]

αὐδήεσσα (ε 334)· ὀνομαστή. ἔνδοξος [26. 27]

αὐδῶ (Tragici)· φωνῶ, λέγω

αὖε· φιλῶς μὲν ἐφώνει (Λ 461), ἐβόα, δασέως δὲ καὶ ἐξέκαιεν, ἀνῆπτε πῦρ
ω

† αὐεοῦλλαι· ἄελλαι. παρὰ ἀκλ ⟨Εὐκλῳ⟩

αὐεκίζει· σφακελίζει. Κύπριοι

αὐερός· σκιά ⟨ἀνέρος· σκιᾶς?⟩

αὐερύοντα (Θ 325). εἰς τοὐπίσω ἕλκοντα

αὐῆναι· αὖσαι

ἀυετῆ· τὸν αὐτοετῆ ⟨v. 1430⟩

ἄυητον (cf. I 5)· ἔπνεον

αὔθαδες· ἐξουσιαστικόν

αὐθάδης· ὑπερήφανος. θυμώδης. παράνομος. αὐτάρεσκος

αὐθαδία (Antiph. fr. XIII 4 p. 139)· προπέτεια [40]

(αὐθαιμοι· ἀδελφοί)

αὐθαίρετοι· αὐτεπάγγελτοι. αὐτοπροαίρετοι, αὐτάρεσκοι. ἑκούσιοι (Eur. fr. 294). αὐτόκλητοι

αὐθέκαστα· ἁπλᾶ (Posidipp. fr. XIII p. 527). αὐστηρά

COD. 74. 5. 6 legebantur post 5912. 8259. 8265 84. 5. 6 ἀττ— 85 ἀττύζηλον· φ| 86 ἐπὶ 98 ἀτυχών 8307 αὐάλεον ⟨18 χροιά C 171, χαρά?⟩ 34 αὐῆλαι· αἶσαι 36 αὐήτω 37 αὐθάδες 38 αὐτάρεστος 39 |τία 42 |ται· αὐτεπάγγελτον

HES. Ad 85 ἀφανές. ἄσημον ⟨ad ἀΐζηλον B 318⟩ 94 ἀτυχής (Z 468)· καταπλαγής 96 ἀτυχθείς (Z 468)· ἀποστραφείς. ἐκπλαγείς 97 ἀτύχημα· ταλαιπωρία 8301 αὖα (ε 240)· ξηρὰ .... Ad 2 ἢ ἐπὶ τοῦ παρόντος ⟨v. αὖθι⟩ 6 αὖον· ξηρόν 11 αὐάς (M 137)· ξηράς 16 Αὐγεῖαι (B 532)· πόλεως ὄνομα 18 αὐγή· χρεία. λαμπρότης. καὶ φῶς
δ
⟨v. γάνος⟩ 20 αὖγα (Ξ 195)· λέγων φώνει 24 αὐδηέντων (ζ 125)· τῶν λόγων καὶ φωνὴν ἐχόντων 26 αὐδή (Σ 419)· φωνή, καὶ φθόγγος 27 αὐδήσας (E 786)· φωνήσας, λέξας 40 αὐθαδιάζεται· ὑπερηφανεύεται ⟨rec.⟩

αὐλωπίαι· αὐλοὺς ἔχουσαι

αὐλωπίας· κοιλόφθαλμος [6]

αὐλῶπιν· αὐλοὺς ἔχουσαν. (Σοφοκλῆς fr. 727 δὲ τὴν λόγχην τὴν μακρὰν αὐλῶπιν εἶπεν)

αὐλῶπις (Λ 353)· εἶδος περικεφαλαίας, παραμήκεις ἐχούσης τὰς τῶν ὀφθαλμῶν (ὀπὰς) καὶ εἰς ὀξὺ ληγούσης. οἱ δὲ ἐκτεταμένον ἔχουσα τὸν λόφον

αὐλωτοὶ φιμοί (Soph. fr. 318)· οἱ κημοί. διὰ τὸ τοῖς κημοῖς κώδωνας προσῆφθαι, εἰς οὓς ἐμφυσῶντες οἱ ἵπποι φωνὴν σάλπιγγος προΐεντο

αὖμα· ἅλμη ὑπὸ Κρητῶν [11. 12]

αὔξησις· βλάστησις

Αὐξίδημος· Ἑρμῆς ἐπὶ τῆς ἱδρύσεως ⟨ἀπὸ τῆς ἀδρύνσεως?⟩

(αὐξίς· Phrynich. com. fr. VII p. 600)

αὖοι. ξηροί

αὖον (Μ 160)· ξηρόν

αὖονα· ἄϋλόν. ξηρόν. νεκρόν [19]

(α)ὖ πάλιν· πάλιν αὖθις [21]

αὔραν· πνοὴν λεπτήν

αὖραι· πνοαί [24]

αὐριβάτας· Αἰσχύλος τὸ αὐρὶ ἐπὶ τοῦ ταχέως τίθησι· καὶ ὁ αὐτὸς Ψυχοστασίᾳ (fr. 274) οὕτως φησὶ τὸ ὄνομα ταχυβήμων

αὐρίζειν· ῥιγοῦν (Κύπριοι). καὶ τὸ εἰς αὔριον ὑπερτίθεσθαι ⟨cf. 8359⟩

αὖροι· λαγοί. Ἴσαυροι

αὖς· αὐτός. Κρῆτες καὶ Λάκωνες

ἀῦσαι· βοῆσαι, κλαῦσαι (ι 65). φλέξαι ⟨ad αὖσαι⟩ [30—32]

† αὐσαῖς· πνοαῖς. κραυγαῖς

αὐσόν· ξηρόν

αὖσος· ἄλσος. Κρῆτες

αὐσταλέος· κατάξηρος. αὐστηρός. αὐχμηρός (τ 327). ἀστόλιστος

αὐστηρός· σκυθρωπός. ξηρός

† αὐστήρ· μέτρου ὄνομα ⟨ἀρυστήρ?⟩ [39—41]

αὐτάγγελοι (Thuc. III 33, 2)· ἑαυτοῖς χρώμενοι ἀγγέλοις [43—46]

αὐτάγητοι· ἀγάμεναι ἑαυτὰς καὶ θαυμαστικῶς ἔχουσαι ἑαυτῶν, Ἴων Ἀλκμήνῃ (fr. 8). ἔνιοι δὲ αὐθάδεις. καὶ Ἀνακρέων (fr. 142) οὕτω κέχρηται

(αὐτάγρετα [π 148])· αὐτόλημπτα

(αὐτὰ κέλευθα [Μ 225])· τὴν αὐτὴν ὁδόν

† αὐτάλκης· ζωμός. καὶ ὁ αὐτάρκης

αὔταν· αὐτῶν (Callim. Cer. 133), ἢ αὐτήν (Callim. L. M. 22)

αὔτανδρον· σὺν αὐτοῖς τοῖς ἀνδράσιν

αὐταιώρητος· ὑφ' ἑαυτοῦ μετεωριζόμενος ⟨spur.?⟩

αὐτανίδας· αὖθις πάλιν [55]

† αὔταντας· ὁ προεστὼς τινος πράγματος. καὶ αὐθεντῶν

αὐτάρ (Γ 1)· δέ [58]

αὐτάρεστος· ὁ ἐφ' ἑαυτῷ ἀγαλλόμενος [60. 61]

αὐτάρκης· ἱκανῶς ....... [63—66]

αὐτεξούσιος· ὁ ἀφ' ἑαυτοῦ ἐξουσιάζων

αὐτεπίβουλος· αὐτοφονεύς

αὐτερέται (Thuc. I 10, 4)· αὐτοὶ ἐρέσ(σ)οντες [70]

ἀυτή· ἐπὶ μὲν τῆς φωνῆς·

ἀυτὴ δ' οὐρανὸν ἷκεν (Β 153)

ἐπὶ δὲ τῆς μάχης·

ῥεῖα δὲ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀυτῇ. (Λ 802 sp.)

αὐτῇ βίᾳ· τῇ δυνάμει

COD. 5 αὐλο| κυλωπίας Ruhnk. 8 |μήκης — ἔχουσι τὸν 9 |τοίφιμοι — |σόντες 10 αὖμα — κριτῶν 13 .υξις· αὐξ. βλ. 14 l. q. Ἀδρεύς 18 αὐλόν ⟨Formatur ut νήφων αἴθων⟩. An αὐονά· αὐχμός Aesch. Eum. 332? 22 .ὑπαλιν 25 αὔριον — |βήλων 27 αὐροὶ· λόγοι 31 αὐσαντέσων 35 ἄλλος ⟨41 γλωττῶν Ἰταλικῶν Cyr. Athanas.⟩
ῶς ος
62 ἱκανός 67 αὐτεξούσιον 71 ἦκεν — κάμητες κεχμηκότας

HES. 6 αὐλώπιδι (Ε 182)· στενὴ περὶ τοὺς ὀφθαλμούς 11 αὖξας (Ε 81)· ὁρμήσας 12 αὔξην· αὔξησιν (Moer. Att.) 19 αὔονος ξύλον· ξηρόν ⟨imo ξύλον αὖον ὅσ... Ψ 327⟩ 21 ἀΰπνους (Ι 325)· κακοΰπνους 24 αὔη· πνοή (ε 469). ἢ ἄψηται (ε 490) 30 αὐρότερον· ἀσθενέστερον ⟨ἀφαυ—⟩ 31 ἀϋσάντων (Β 334)· κραυγασάντων 32 ἀΰσας (Δ 508)· φωνήσας, κράξας 39 Αὐσωνίοις· ὑπὸ τὴν Ἰταλίαν 40 Αὐσωνίησι· Ῥωμαϊκοῖς 41 Αὐσωνίων· Ἰταλῶν 43 αὐτακέλευθα (Μ 225)· τὰς αὐτὰς ὁδούς 44 αὐτάλεν (Ν 27)· ἐσκίρτα 45 αὐτάγρετα (π 148)· αὐθαίρετα. ἑτοίμως λαμβανόμενα 46 αὐτάδης· αὐτὸς ἐφ' ἑαυτοῦ ⟨αὐτοδαής· — διδαχθείς⟩ 55 αὐτὰρ δή. ἢ εὐθέως. ἢ ἐπειδή Ad 57: .......· ἐγὼ δέ 58 αὐτὰρ ἔπειτα (Δ 51)· μετὰ δὲ ταῦτα 60 αὐτόγυον (Hesiod. Opp. 433)· μονόβολον 61 αὐτάρ· αὐτομάτη, ἑκουσία 63 αὐτάρο· ὁ δέ, ἢ ὁ δ(ή) 64 αὐτὰρ ἐγώ· ἐγὼ δέ 65 αὖτε· πάλιν 66 αὐτὰρ ὑπὸ χθών (Β 465)· ὑπὸ δὲ τῶν ποδῶν αὐτῶν ἡ γῆ 70 αὐτάνων (Μ 160)· ἐφώνουν, ἐβόων

αὐτὴ κάμινος· παροιμία, ἐπὶ τῶν τὰ παραπλήσια πρασσόντων εἰρημένη. ἀπὸ γὰρ τοῦ κεραμεικοῦ τροχοῦ ἡ μεταφορά

αὐτῆμαρ (Λ 81)· ἐν αὐτῇ τῇ ἡμέρᾳ [75—79]

αὐτίκα μάλα· εὐθὺς λίαν, πάνυ. πάλιν. παραχρῆμα (Apoll. lex. 47, 7). σήμερον. Αὐτίκα Ἀριστοφάνης μὲν ἐπὶ τοῦ ἐνεστῶτος· Ὅμηρος δὲ ἐπὶ μόνου τοῦ νῦν. διὸ καὶ παραλλήλως λέγει αὐτίκα νῦν. Αὐτίκα δὴ μάλα· πάραντα, ταχέως δὴ [καὶ] καλῶς

αὖτις (Λ 27)· πάλιν ἐκ δευτέρου

ἀ(υ)τμή (Ι 605)· πνοή. φλόξ

ἀ(υ)τμένα (Ψ 765. γ 289)· τὴν ἀναπνοὴν πνευμάτων. ἢ καὶ πεφυσημένα

† ἀυτμενόπις· πεφυσημένος, πεπνευσμένος

αὐτοβο(ε)ί· τὸ παραχρῆμά τι συντελεσθῆναι ἐν πολεμικοῖς ἔργοις. ἅμα βοῇ. Θουκυδίδης (II 81. III 113)

αὐτοβοί· αὐθημερόν. πάραντα. ἔτι τῶν βοῶν ἐν τοῖς ζυγοῖς ὄντων. ἢ αὐτοὶ βοῶντες, κράζοντες ἀπέκτειναν αὐτούς [87. 88]

αὐτογενής· αὐτογένεθλος, οὐκ ἔκ τινος γεννώμενος

αὐτόγυον (Hesiod. opp. 433)· μονόβολον [91]

αὐτοδακὴς μῆνις· † μικρά

αὐτοδάξ (Ar. Lys. 687. Eqq. 607)· παραχρῆμα, ἢ τὸ ἐκ τῶν χειρῶν ἀποδάκνειν

αὐτὸ δείξει· παροιμία ἔξω τοῦ ἐπιλόγου λεγομένη, ἧς μνημονεύει καὶ Πλάτων (Theaet.)

αὐτόδειπνος· ὅταν τις κεκλημένος ἑαυτῷ φέρῃ τὰ ἐπὶ τὸ δεῖπνον [96]

αὐτόδικοι (Thuc. V 18, 2)· οἱ ἑαυτοῖς δικασταῖς χρώμενοι, καὶ οὐκ ἀλλαχόθεν παραγινομένοις

αὐτόδιον (θ 449)· ἐξ αὐτῆς τῆς ὁδοῦ ἐληλυθότος(α)

αὐτοε...ρας· κόμας, ἢ καὶ κόσμους

αὐτοέντης (Soph. OT 106)· αὐτόχειρ

αὐτοετές (γ 322)· ἐν αὐτῷ τῷ ἔτει [8502. 3]

αὐτοὶ θύομεν· ἀντὶ τοῦ αὐτοὶ πίνομεν ἐνηλλαγμένως, παρόσον οἱ καλούμενοι εἰς ἑστίασιν λέγουσι· καὶ αὐτοὶ θύομεν· ἐπὶ γὰρ τῶν καλουμένων ὑπό τινων λέγεται. Ἀριστοφάνης Γηρυτάδῃ (fr. XXIII) [5. 6]

αὐτοὶ χελώνας ἔσθετε (Diogen. prov. I 36)· παροιμία. ἁλιεῖς γὰρ ἑλκύσαντες χελώνην μεγάλην καὶ ἀνα(σ)πάσαντες αὐτὴν διαμερίζονται τοῖς παρ(ι)οῦσιν .......

αὐτοκάβδαλα (v. Eupol. II 1 p. 505)· αὐτοσχέδια ποιήματα. εὐτελῆ

αὐτοκαλές (—άβδαλον)· τὸ ἐπιτυχόν, συμβεβηκός

αὐτόκαρνος· αὐτοζήμιος. Κάρνη γὰρ ἡ ζημία (q. v.)

αὐτοκασίγνητος (Β 706)· ὥρας μέτρον, οὐκ ἐπιδεόμενον ἢ θερμοῦ ......., τουτέστιν τὸ τοῦ ἀέρος αὐτόκρατον, εὔκραές

αὐτοκτί[σ]τους δόμους· οὐ κατεσκευασμένους, ἀλλ' ἐκ ταυτομάτου γεγενημένους, ἢ τοὺς οἰκουμένους. Σοφοκλῆς Κηδαλίωνι (fr. 308)

αὐτόκλητοι· αὐτεπάγγελτοι

αὐτόκλητον· ὅταν ἀρχὴν μὴ κληθὲν ὑπό τινος ἑαυτῷ δὲ ἀπαντῆσαι

αὐτόκρανα· αὐτόδηλα, ἑαυτὰ δηλοῦντα. ἢ κίονα μονόλιθον [17. 18]

αὐτόλαβον· ἑαυτοῦ λαβὴν ἔχον

αὐτολήκυθοι (Menand. fr. IV p. 99)· οἱ πένητες, οἱ μόνην λήκυθον ἔχοντες· ἢ δι' ἑαυτῶν βαστάζοντες τὴν λήκυθον, οὐ δι' οἰκετῶν (Demosth. 1261, 17) [21]

αὐτόλυσις· δέμα, ἐφ' ᾧ ἀγκύλη ἐφῆπται, καὶ οὐχ ἅμα γέγονεν

αὐτόμαρτυς (Aesch. Ag. 988)· ὁ ἑαυτῷ μαρτυρῶν

COD. 73 αὐτηκάμινος 80 δὲ μάλα πάραντα 85 |βοὶ bis 92 |δάκις 93 ἀποδεδώκασιν Bekk. 465, 13 94 αὐτοδείξει 8504 γαρυτά 12 |οκέρας ⟨18 ἀωρόλειον· λεῖον?⟩ ⟨19 (αὐτόκωπον·) αὐτόλαβον?⟩ 23 |ομάρ|

HES. 75 ἀυτήν (Λ 492)· κραυγήν, φωνήν, βοήν 76 ἀυτῆς (Β 97 al.)· κραυγῆς, βοῆς 77 αὐτῇ κεν γαίῃ (Θ 24)· σὺν αὐτῇ τῇ γῇ 78 αὐτῇσι ῥίζῃσι (Ι 542)· σὺν αὐτῇ τῇ ῥίζῃ 79 ἄυτη (Λ 258)· ἐβόα 87 αὐτόγε ⟨—σε⟩· ἐπ' ἐκεῖνον τὸν τόπον 88 αὐτογένεθλον· αὐτογέννητον 91 αὐτοδάϊκτος· ὁ ἑαυτὸν φονεύσας, ἢ καὶ κακοποιήσας (Greg. Naz. Arc. IV 53 p. 198) 96 αὐτοδικεῖ (Dinarchus)· αὐθεντεῖ. ὅταν αὐτὸς λέγῃ ⟨Moeris⟩ 8502 αὐτόθεν (Τ 77)· ἐκεῖθεν 3 αὐτόθι (Ι 613)· ἐκεῖσε. ἐν αὐτῷ τῷ τόπῳ. ἐπὶ τόπου 5 αὐτοῖο (Λ 360)· αὐτοῦ 6 αὐτοῖσιν (Λ 698)· αὐτοῖς 17 αὐτοκράτωρ· αὐτεξούσιος. ἢ κοσμοκράτωρ 18 αὐτόλειον· λειτόν 21 αὐτολόχευτος· θεὸς ἀγέννητος, αὐτογέννητος

†αὐτομάττιτα· σπέρμα ἀνδρός [25]
αὐτόματοι δ' ἀγαθοί· παροιμία (Crat. p. 111 Eupol. p. 542 Bacchyl. fr. 33)
αὐτόματον (Hippocr. I p. 581)· αὐτοφυές
αὐτομαχεῖν· αὐτοδικεῖν
αὐτόμοιρος· μονόμοιρος. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ (fr. 230)
αὐτόμολος· ὁ πρὸς τοὺς πολεμίους ἀπελθών, προδότης
αὐτομόλπως αὐτόμολπα ὁμοίως ἐκείνοις
αὐτομόλως· προδοτικῶς. Σοφοκλῆς Φαίδρᾳ (fr. 624)
αὐτονυχί (Θ 197)· αὐτῇ τῇ νυκτί
αὐτόξυλον (Soph. Phil. 34)· αὐτοδημιούργητον ξύλον. ἢ ξύλινα
†αὐτοξένειν· ἐν ἴσῳ τῷ προξενεῖν
αὐτόπαιδα (Soph. fr. 921 Trach. 827)· αὐτὸν τρόπῳ τινὶ παῖδα ὄντα
†αὐτοπέλις· κλῖμαξ
αὐτόπαστοι πύλαι· παστάδας ἔχουσαι, ποικίλαι
αὐτόπεδον καὶ αὐτοποδητί· τὸ ἐκ ποδὸς βαδίζειν
αὐτοποίητον· εὐτελές
†αὐτόπομα· ἐπίκληρον ⟨αὐτοπάμονα?⟩
αὐτοπόκιστον (Com. an. CCCXXVII)· μὴ κεκαρμένον. οἱ δὲ εὐτελὲς ἱμάτιον
αὐτόπρεμνος (e. c. Aesch. Eum. 401)· αὐτόρ(ρ)ιζος
αὐτόπτης· θεατής [45]
αὐτορέγμονος πότμου· ὅσον ἑαυτὸν ἔρεξε καὶ κατέθυσε. ἢ αὐτορέγμονος, παρὰ τὸ ὀρέγειν τὴν χεῖρα. Αἰσχύλος Κρήσσαις (fr. 112)
αὐτός· ἢ ἐγώ. ἢ σύ. ἢ ἐκεῖνος
αὐτόσε· ἐκεῖσε ⟨v. αὐτόγε⟩
αὐτόσιτον (Crobyl. fr. I p. 565)· τὸν ἑαυτὸν τρέφοντα. ἢ τὸν σὺν ἑτέρῳ δειπνοῦντα, καὶ ἑαυτῷ φέροντα τὰ ἐπιτήδεια πρὸς τὸ δεῖπνον
αὐτόσ(σ)υτον· αὐτοκέλευστον. Σοφοκλῆς Σκυρίοις (fr. 512)
αὐτοστέριφον· ἰσχυρόν. αὐτοφυές
αὐτόστυλον· αὐτοσκεύαστον
αὐτοσχεδές (Hermipp. fr. V p. 387)· ὑποδήματος εἶδος γυναικείου ⟨—σχιδές⟩
αὐτοσχεδιάζει· πάραυτα λέγει
αὐτοσχεδίῃ (Ο 510)· ἀπὸ χειρός. ἀπὸ τοῦ σύνεγγυς
αὐτοσχέδιον· τὸ εὐθὺς ῥηθέν, ἢ ὑπαγορευθέν, ἢ γενόμενον [57. 58]
†αὐτότεγον· ἀπηρτισμένον. πλῆρες, ὅσον δεῖ
αὐτόταγος μύλη· ἀδέσποτος, παρόσον οὐδεὶς ἤλαυνεν αὐτήν· [ἐν]ταγοὺς γὰρ τοὺς ἡγουμένους ἔλεγον. ἔνιοι δὲ αὐτάγγελον
αὐτοτελὲς ψήφισμα· τὸ μὴ προβεβουλευμένον
αὐτοτελής· τέλειος
αὐτοτελὴς δίκη· ἀφ ἧς μὴ ἔστι ἐφιέναι
αὐτοῦ· ἐκεῖ. αὐτόθι. ἐπὶ τόπου. εὐθύς [65]
αὐτουργός (Eur. Or. 918)· ὁ δι' ἑαυτοῦ ἐργαζόμενος
αὐτοφαρίζειν (Syracusani?)· αὐτοματεῖν
αὐτόφλοιον (Theocr. XXV 208)· αὐτόδερμον
αὐτόφορβος· αὐτοφάγος. Αἰσχύλος Κίρκῃ (fr. 109)
αὐτόφορτοι· αὐτοδιάκονοι. κυρίως δὲ οἱ ἐν τοῖς ἰδίοις πλοίοις. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ (fr. 231). ὁ δὲ Κρατῖνος ἐν Χείρωσι (fr. XX) τοὺς τὰ κοινὰ φορτιζομένους ἔφη
αὐτοφωρίᾳ· τὸ ἐπὶ αὐτῇ φωρᾷ
αὐτόχειρ· φονεύς
αὐτόχειρες (Xen. Hell. VII 3, 7)· οἱ ταῖς ἰδίαις χερσὶ φονεύοντες (Ar. Lys.)
αὐτόχειρι (Eur. Or. 1040)
αὐτοχειρίᾳ (e. c. Dem. 787, 26)· τὸ τῇ ἑαυτοῦ χειρὶ ποιῆσαί τι
αὐτόχειρος· ὁ ἑαυτὸν ἐγχειρίσας [77]
αὐτόχθων· ἐντόπιος, ἐγχώριος, πολίτης, γνήσιος
αὐτόχθων ἑστία (fr. trag. adesp. 165)· ἡ

COD. 25 |ήσαντες 29 αὐτόμαρος — θυέστη σικυωνία 35 τοῦ 39 αὐτοποδί? ⟨41 v. ἐπιπαματίδα⟩ 42 αὐτόποκον Bekk. 467, 18 κεχραμμένον 46 κατευθὺς ἑαυτορέγμονος — Κρ$^{τ}$ή 49 ἑταίρῳ 50 ἀκυρίοις 60 ἔλαυνεν [v. EM. 173, 47] 61 προβεβουλομένον 63 ἐφ' 70 θυέστη σικυωνία — χειρῶσι 71 αὐτοφορία — φορᾷ 76 |ήσας 79 αὐτοχθρῶν — χείρονος

HES. 25 αὐτοματίσαντες (Xen. Cyr. IV 5, 21)· ἀφ' ἑαυτῶν (τι) πράξαντες (Moeris p. 88) 45 αὐτορέγμων· ἑαυτὸν ἐργαζόμενος 57 αὐτοσχεδίως (Sapient. II 2)· αὐτομάτως. ταχὺν ἢ (ταχινῇ Cyr. 171) δυνάμει 58 αὐτοσχεδόν (Η 273)· ἐγγύς, ἐκ τοῦ σύνεγγυς. παράλληλα 65 αὐτοῦ ἐνεύναιον (ξ 51)· τὸ ἴδιον ἐγκοίτιον Ad 72 ὁ ἑαυτὸν φονεύων ⟨post 74⟩

τοῦ Χείρωνος, παρόσον ἐν τοῖς ὄρεσι διῆγεν [80]

αὐτόχρημα· αὐτὸ τὸ πρᾶγμα (gl. Vict. Ar. Eqq. 78) [82]

αὐτοχόωνον (Ψ 826)· αὐτοχώνευτον. ἀπ' αὐτῆς τῆς χωνείας τὸ τέλειον ἔχοντα, καὶ μὴ προσδεόμενον ἄλλου τινὸς εἰς συμπλήρωσιν. ἢ αὐτόχυτον. ὅλον στερέμνιον, οὐ κοῖλον

αὐτοχροιηδόν· πρὸς τὸν χρῶτα

αὐτόχρυσα· τὰ τίμια

αὐτώδης· ὑπέρφρων. ἰδιογνώμων ⟨EM. 173, 38⟩

αὐτώλης· ὑβριστής. αὐτόχειρ

αὔτως· μάτην (Hippocrates). ἁπλῶς. ὡς ἔτυχεν

αὔτως· ἐπὶ μὲν τοῦ ματαίου καὶ κατακένου·
αὔτως γὰρ ἐπέεσσ' ἐριδαίνομεν (Β 342)
ἐπὶ δὲ τοῦ ὁμοίως·
ὡς δ' αὔτως .... (Γ 339)
(καὶ)
φαγέμεν καὶ πιέμεν αὔτως (κ 143)

αὐχάν· καύχησιν

αὐχαλέοι· σεμνοί

αὖ χάττειν· ἀναχωρεῖν. καὶ τὸ ἐμμένειν (ἐγ)χάττειν [93]

αὐχένιοι· χιτῶνος εἶδος ὑπὸ Ἀντιφάνους (fr. 79 p. 157)

αὐχεῖν· καυχᾶσθαι

αὐχέω· εὔχομαι

αὐχήεις· σεμνός

αὔχημα (Thuc. II 62, 4 al.)· καύχημα, ἔπαρσις, ὑπερηφάνεια

αὐχήμασιν· ὑπερηφανείαις

αὐχήματα (Plat. Axioch. 365 A)· καυχήματα. σεμνολογήματα [8601]

αὐχήσασθαι· καυχήσασθαι

† αὐχῆτις· σεμνότης ⟨—ητύς⟩

αὐχθῇ· αὐξηνθῇ

αὐχμεῖν (Plat. Pol. X 606 D)· ξηραίνειν

† αὐχμεν.˜ς· ἀστεῖος

αὐχμηρόν· ξηρόν. σκοτῶδες (Eur. Alc. 950) [8]

αὐχμοί (Thuc. I 23, 3)· ἀνομβρίαι

αὐχμός (Ar. Plut. 839)· ξηρασία, ἀνομβρία. ἔνδεια. καυματινὸς ἀήρ. ἢ λιμὸς ἀπὸ ἀβροχίας γενόμενος [11]

αὐχμῶντα· ῥυπῶντα (cf. Anaxandr. com. p. 177)

αὔω· διαχέω. θερμαίνω· τὰ γὰρ προσηνῆ τοῖς θερμοῖς παρέβαλλον

ἄυως (Sapph. fr. 95)· ἡμέρα [15. 16]

ἀφάδ.ιος· ἐχθρός, ἀπὸ τοῦ ἀφανδάνειν. λέγεται δὲ καὶ † ἀνφάδιος ⟨v. ἀφόδιοι et ἀφραδέα⟩

ἀφαδίαν (Eupol. VII p. 438)· τὴν πολεμικὴν ναῦν, διὰ τὸ ἀφανδάνειν

ἀφάζει· ἀναδέχεται, ἀπὸ τῆς ἀφῆς

Ἀφαία (Nicand. fr. 67)· ἡ Δίκτυννα, καὶ Ἄρτεμις

† ἀφαιᾶσαι· ἀπαλγῆσαι. ἀπολειτουργῆσαι. καὶ ἀπολέσαι. ὁ αὐτὸς (Menander ? Ἀ)δελφοῖς

ἀφαιμοι· ἀπόγονοι. εὐγενεῖς ⟨συγγ—⟩

† ἄφακες· εὔηθες ⟨v. ἀφηκές et ἄμφηκες⟩ [24—28]

ἀφάκη (Arist. HA. VIII 12, 2)· ὄσπριον [30. 31]

ἄφαλος (Apoll. lex. 49, 8)· περικεφαλαία μὴ ἔχουσα φάλους. Φάλοι δέ εἰσιν οἱ λαμπροὶ ἧλοι, ἢ τὰ ποικίλματα

ἄφαλτοι· οἱ ἀναπηδῶντες

ἀφαμιῶται (Cretes)· οἰκέται ἀγροῖκοι, περίοικοι ⟨8728. 32⟩

ἀφανδάνει (π 387)· ἀπαρέσκει [36]

ἀφανές· ἀθεώρητον. μὴ φαινόμενον

ἀφανῆ· μὴ ὁρώμενον [39]

ἀφανίζειν· σήπειν. ἀπολλύειν [41]

Ἀφάνναι (v. Zenob. III 92)· χωρίον τῆς

COD. 84 |οἴνδόν (υν) 86 ὑπερόφρων 89 αὐτῶς — κατακείνου — αὐτὸς γὰρ 92 αὐχάττειν 8604 αὐξηθῇ ⟨6 ἀχμηνός (Cretici)· ἄσιτος ?⟩ 10 καῦμα τινὸς 14 αὔως 17 ἀφάδειος Cyr. Dr. 18 EM. 174, 50 Dorv. 19 ἀφ| 21 ἀφεᾶσαι· ἀπολῦσαι Cyr. 171 — Δελφοῖς 29 ἀφαή 34 πάροικοι

HES. 80 αὐτοχθὴδ· αὐτοποίητον 82 αὐτόχωνον· αὐτοχώνευτον 93 αὐχέε(ς Θ 230)· καυχομενοι ⟨sic⟩ 8601 αὐχήν (κ 559)· τράχηλος 8 αὐχμηρῷ (II Petr. I 19)· ξηρῷ. σκοτώδη ⟨ει⟩ 11 αὐχμώδης (Mich. IV 8)· ξηρός. ῥυπώδης 15 ἀφα[γ]νίσας· ἀποδύσας, ἢ συλήσας 16 (ἀφαγνίσασθαι (Num. VI 2)· καθιερώσασθαι, ἀφοσιώσασθαι 24 ἀφαιρεῖται (Α 182 ?)· ἀποσπᾷ 25 ἀφαίρημα (LXX)· ἀνάθημα. δῶρον 26 ἀφαιρήσασθαι (Α 161 Ψ 544)· λαβεῖν. στερήσασθαι 27 ἀφελοῦνται (Ezech. XXVI 16)· ἀποστεροῦνται 28 (ἀ)φαῖς (II Regg. VII 14)· πληγαῖς 30 ἀφελέον· συνηγμένον. κοινόν 31 ἄφαλον· φαλὸν μὴ ἔχον· ἀφάλονται (Κ 258) μήτε προμετωπίδα 36 ἀφαντος ⟨v. Moer. Att. p. 383⟩ 39 ἀφανίαν· συναγωγὴν ἑστιάσεως ⟨ἐράνια ?⟩ 41 ἀφανίσαι (gloss. Ezech. XXX 9)· σκεπάσαι. προνομεῦσαι (Ez. XXXVI 5)

† Δαμάρτιδος φυλῆς. πόρρωθεν (Epicharm. Bekk. 83, 29) [43. 44]

ἄφαρ (Α 349 al.)· ταχέως. ἢ εὐθέως (ῥᾳδίως) [46]

† ἄφαρβαν· ἐλεύθερον

ἀφαρεί (Hipponax) [49]

ἀφαρεύς (Arist. HA. V 9, 2)· τοῦ θήλεος θύ(ν)νου τὸ ὑπὸ τῇ γαστρὶ πτερύγιον

† ἀφαρκίδευτον· ἄγρευτον. ἀθυσίαστον

ἄφαρκτος· ἀφύλακτος

ἀφάρμακον χρῶμα Οἰδίποδος· ἄνευ ἄνθους. Ἄνθη γὰρ τὰ φάρμακα. καὶ τὰ βαφεῖα φαρμακῶν[τ]ας Σοφοκλῆς (fr. 1001) ἔφη

ἄφαρον (Callim. fr. CLXXXIII)· ἀνήροτον

ἄφαρ.οι· ἀνίματοι, ἀνένδυτοι [56]

ἀφάρτεροι (Ψ 311)· ταχύτεροι

ἀφάρυμος· ἄτο(λ)μος ⟨v. φάρυμος⟩

ἀφάρωτος· ἀναροτρίαστος

ἀφασία (Eur. IA. 837 Ar. Thesm.)· ἀφωνία. ἴασις ⟨ad ἀφεσία?⟩. στέρησις. σιωπή, ἀναυδία

ἀφάσσειν (Herod. III 69)· ψηλαφᾶν, παρὰ τὴν ἀφήν ⟨v. ἀφύσσειν⟩

† ἀφατῆλες· μαστοί, θηλαί

ἄφατον (Callim. Cer. 58 LM. 77)· ἀμήχανον. πολύ. ἄρρητον (Eur. Ion. 783). ἀμέτρητον. δεινόν

ἀφαυροῖσιν· ἀσθενέσι. ταπεινοῖς

ἀφαυρότατος (Ο 11)· ἀσθενέστατος. ταπεινότατος [66. 67]

ἀφάψαι· συνδῆσαι. † μῦξαι

ἀφέδιτος· ἡμέρα παρὰ Λάκωσιν, ἐν ᾗ θύουσιν [70]

ἀφεδνήν· ἀναιδῆ

ἀφεδρεῦσαι· ἐπὶ δίφρῳ καθίσαι [73. 74]

ἀφεθῆναι (Xenoph. Vectig. II 4)· ἀπολυθῆναι

ἀφειδήσας· μὴ φεισάμενος. καταφρονήσας, ὑπεριδών ⟨v. ἀφιδήσας⟩ [77—80]

ἀφελής (Soph. fr. 651)· ἀσινής. καθαρός. ὁλόκληρος, ὁ μήτε πλεονάζων μήτε δέων τι τοῦ σώματος (Solon Poll. I 29?). καὶ πεδία ἀφελῆ· τὰ σύνδενδρα [82. 83]

ἄφελμα (Cretice)· τὸ κάλλυντρον

ἀφελομένη· ἀπάρασα

ἀφέμενον· ἀποστάντα ἀντιλέγοντα. (τὸ ἐν μάχαις καὶ λοιδορίαις ἀφίστασθαι καὶ μεγαλοψυχεῖν Λακώνων)

ἄφενος (Apoll. lex. 48, 30)· ὁ ἐξ ἑκάστου ἐνιαυτοῦ πλοῦτος. ἢ ἄπενος, ὁ κεχωρισμένος πενίας

ἄφενος (Α 171)· ὁ ἐνιαυσιαῖος καρπός· (ἀφ)' ἑνὸς γὰρ ἐνιαυτοῦ. καὶ ἔνος ὁ ἐνιαυτός [89. 90]

ἄφεος· ἄφωνος [92]

ἀφέριστα· ἄχρηστα ⟨v. ἀφόρτιον⟩

ἀφέρτεροι· ἥσσονες

ἀφερτέρους· πολὺ φερτέρους. [96]

ἄφερτος (Aesch. Ag. 386)· ἀφόρητος

ἀφέσθαι· ἀποσχέσθαι

ἄφεσιν· ὕσπληγ(γ)α ⟨v. ἄππιρ⟩

ἄφεσις· ἀπόλυσις (Hippocr.). συγχώρησις

† ἀφεστακέναι· ἀπεσταλκέναι [8702—4]

† ἀφεστής· ἀγαθός [6]

ἀφ' Ἑστίας ἀρχόμενος· παροιμία. μετενήνεκται δὲ ἀπὸ τῶν περὶ τὰ ἱερὰ δρωμένων. ἔθος γὰρ ἦν τῇ Ἑστίᾳ τὰς ἀπαρχὰς ποιεῖσθαι [8]

ἀφετηρία· ἀρχή. ἡγεμονία

COD. 47 Cf. ἀφάρυμος 48 ἀφαρεῖ ⟨51 ἀφαρκίδωτον· ἀρρυτίδωτον?⟩ 54 |ρωστον 57 |ρος bis 59 ἀνδρειότατος ⟨62 v. ἀφλετῆρες⟩ 76 ἢ παριδών 81 cf. ἀφίλης ⟨82 Infra ἐφελγύνοντες⟩ 84 I. q. ὄφελμα 85 ἐπάρασα 87 ἀφέμενος 88 ἔνος — ἑνὰς ⟨91 ἀνεός?⟩ 97 ἀφέρτερος 8700 |λαυσις ⟨1 ἀφεσταλκέναι?⟩ 7 ἀφέστιος — δρομέων — αἰτία

HES. 43 ἀφάμαρτεν (Θ 119)· ἀπέτυχεν 44 ἀφαμαρτοεπής (Γ 215)· ἁμαρτάνων ἐν τῷ λέγειν 46 ἄσπετος· πολύς. ἄριστος. βοηθός [ῥᾳδίως] Ad 49 ἱδροῖ ⟨ad ἀφρεῖ; fallitur Bergk. Theogn. 716⟩ ἀνιμᾶται ⟨ad ἄφαροι q. v.⟩ 56 ἄφαρ· εὐθέως 66 ἀφαυροῦ (Η 235)· ἀσθενοῦς 67 ἀφαυρότερος (Η 457)· ἀσθενέστερος 70 ἀφεδρῇ· ἀποπνίγῃ ⟨v. ἔρξον⟩ 73 ἀφέδρῳ (Levit. XV 19)· ἀκαθαρσίᾳ 74 ἀφεδρῶν.. (Matth. XV 17)· σέλλαι, σελλάρια, σωτήρια (latrinae), ἀναγκαῖα 77 ἀφειδία (Coloss. II 23)· καρτερία ⟨v. 8780⟩ 78 ἀφεικνούμενος· παραγενόμενος 79 ἀφείλαντο (Iob. XXIV 10)· ἀπεστέρησαν 80 ἀφεῖλεν· ἦρεν (ξ 455). ἔκοψεν ⟨ad ἄφηνεν⟩ 82 ἀφελγύνουσα· κακοῦσα ⟨cf. 2852⟩ 83 ἀφελλίαι· μελανὸς ἀλφός ⟨v. ἀλφινία⟩ 89 ἀφεξέῃ (Μ 248)· ἀποστήσῃ. ἢ ἀποκωλύῃ. ἢ ἀπισχίσει ⟨l. ἐπίσχει Δ 97⟩ 90 ἀφέξομαι (τ 489)· ἀποστήσομαι 92 ἀφέρεμα (LXX)· ἀνάθημα. δῶρον. ξένιον Ad 95 ταχυτέρους 96 ἀφέρτερος· ταχύτερος 8702 ἀφέστατε (Δ 340)· ἀφεστήκατε 3 ἀφέστηκας (Ps. IX 21)· ἐμακρύνθης 4 ἀφεστηκώς (v. l. Iesai. XLII 19)· μακρυνθείς 6 ἀφεστός· ἀφειμένος 8 ἀφέτην (Δ 642)· ἀφήκαμεν

ἄφετοι (Plat. Prot. 320 A)· οἱ ἱεροβόαι ⟨—οἱ βόες⟩. καὶ ἀπολελυμένοι [11]

† ἀφεύς· ἀδύνατος ⟨v. ἀφῆς⟩

ἀφεψάλου· ἄνευ σπινθῆρος λαμπροῦ

ἀφεψεῖν· β[λ]άπτειν τρίχα

ἀφεψιασ[σ]άμην· ἀφωμίλησα. Σοφοκλῆς Ἀντηνορίδαις (fr. 135)

ἀφή (Plat. Pol. VII 523 E)· αἴσθησις χειρῶν, ἤγουν ψηλάφησις.

ἀφηγεῖσθαι (Eur. Suppl. 186)· διηγεῖσθαι

ἀφηγήμων· ὁ ἀφηγούμενος ὁδοῦ, ὁδηγός

ἀφηγητής· ὁμοίως

† ἀφηγοῦσα· μεταστρέφουσα [21]

† ἀφηκές· εὐήθες ⟨v. ἀφακές⟩ [23]

ἀφῆλιξ· καταδεὴς ἀκμῆς τὴν ἡλικίαν [25. 26]

ἀφήμενος (Ο 106)· ἄπωθεν καθήμενος

ἀφημιάστους ⟨—ίας· τὰς⟩· ἀγροικίας

ἀφημίζεσθαι· ἀθερίζεσθαι

ἄφημοι· ἀνώνυμοι, ἀκλεεῖς

ἀφήμονες· ἄρρητοι. οὐκ ὀνομαζόμενοι

ἀφημοῦντας· ἀγροίκους ⟨8634⟩ [33]

ἀφήμως (Thuc. III 104, 5)· ἐν κόσμῳ, ἡσυχῇ

ἄφηνα· ἔκοψα ⟨v. ἀφεῖλεν⟩

ἀφῆναι· τὸ τὰς ἐπτισμένας κριθὰς ταῖς χερσὶ τρῖψαι

ἀφηνιάζετο· ἐχωρίζετο

ἀφηνιάσαντες· ἀποχωρισθέντες. ἐκ μεταφορᾶς ἵππων ἁρμάτων ⟨—ατείων⟩

ἀφηνιαστήν· ὑπερήφανον, ἀνυπότακτον ⟨cf. Moer. Att.⟩

† ἀφηράαν· μακράν

ἀφήρημαι· ἐστέρημαι

† ἀφῆς· ἀδύνατος. † ἄλλος: ἢ ἐξ ἧς ⟨ad ἀφ' ἧς⟩

ἀφήσασθαι· ἅψασθαι

ἀφητορεία· μαντεία

ἀφήτορος (Ι 404)· προφητεύοντος. ἢ τοῦ τοξότου

† ἀφθίβορον· ὁ βορῶς ἐσθίων

ἄφθα· ἡ ἐν στόματι ἕλκωσις. καὶ φθόη δὲ τὸ αὐτό ⟨v. Foes. Oecon. Hippocr. p. 70⟩

ἄφθιτον (Β 46 al.)· ἄφθαρτον. θεῖον

ἀφθίτους γνώμας· ἀμεταστρέπτους. Σοφοκλῆς Μυσοῖς (fr. 382)

ἀφθονία (e. c. Plat. Leg. IV 718 D)· πλῆθος. καὶ κακία

ἄφθονον· πολύ. καὶ πλούσιον

ἀφθόνους· τοὺς ἅλας ⟨v. 2919. 2939⟩

ἀφίας· βωμός ⟨v. 1136⟩

ἀφῖγμαι (Eur. Tro. 58)· παραγέγονα

ἀφιγμένος (e. c. Arist. fr. XXXV vol. V p. 62)· παραγεγονώς, παραγενόμενος [56. 57]

Ἄφιδνα· δῆμος τῆς Πτολεμαΐδος (?) φυλῆς [59]

ἀφίδρυ[σ]μα· ἱερόν [61]

ἀφ' ἱερᾶς (Sophron. fr. 98)· οὕτως ἐλέγετο γραμμὴ ἱερὰ παρὰ τοῖς πεττεύουσιν

ἀφιερισμένα· περικεκαθαρμένα

ἀφιερωμέναι· αἱ τῷ θεῷ ἀνακείμεναι

ἀφιέρωσε· τῷ θεῷ ἀνέθηκεν

ἀφίζειν· ἀποκαθίζειν [67]

ἀφ' ἱκετηρίας· ἐπὶ τῶν κατασπουδαζομένων καὶ λόγου τυγχανόντων οὕτως ἔλεγον [69. 70]

ἀφικμῶντο· ἀπεσείοντο. ἢ ἀποελῶντο ⟨ἀπεψῶντο⟩

ἀφικομένῳ· παραγινομένῳ

ἀφικόμην (Eur. Phoen. 369)· ἀφῖγμαι

ἀφίκου (Eur. Ion. 316)· παραγενοῦ

ἀφῖκται (Anaxil. com. fr. I 6 p. 317)· παραγέγονεν

† ἀφικτόν· ἀκάθαρτον. μισητόν

Ἀφίκτορα (Aesch. Suppl. 1?)· τὸν ἱκέσιον Δία

† ἀφικτρός· ἀκάθαρτος. μιαρός [79. 80]

ἀφιλοικτίρμονες· ἀνελεήμονες

ἀφιλότιμος· ταπεινός. παρὰ τὸ μὴ φιλεῖν τιμὴν (ἢ) ἡττᾶσθαι .... [83. 84]

ἄφιξις· ἔφοδος ⟨v. ἔφοδος⟩. παρουσία

COD. 15 ἀντινορίδαις 24 ἀφήλιξ — ἀτμῆς ⟨28 v. ἐφημίαι⟩ ⟨36 v. ἦνας ἄναντα⟩ 42 cf. ἀφεύς et ἄφεος — ἐξῆς 45 τόξου 62 ἀφιερὰς — πιττεύουσιν 68 ἀφικετηρίας 71 ἀφικλῶντο ⟨cf. ἀπικμῶντο⟩ 77 ἀφικτορατὸν 81 ἀφιληκτίρμονες 82 φιλεῖν ἡττᾶσθαι τιμῇ

HES. 11 ἀφέ[υ]ξομαι· παύσομαι Ad 16 ἡ χροιὰ λέπρας (Levit. XIV. XV) 21 ἀφῆκεν (Κ 372)· ἐξέπεμψε 23 ἀφηλικεστέραν (Pherecr. fr. LXV)· νεωτέραν ⟨Moer. p. 83⟩ 25 ἀφήμαρτεν (Θ 119)· ἀπέτυχεν 26 ἀφημειῶν (Ε 158)· ἀφημῶν 33 ἀφ' ἡμῶν (Psalm. II 3)· ἄποθεν ἡμῶν 56 ἀφιγύοισιν εὐχέσι (Ν 147)· δόρατα ἑκατέρωθεν ἐστομωμένα 57 ἀφιδήσας· ἀφροντιστήσας 59 ἀφνιδρόν· ἀκοίμητον 61 ἀφίει (Α 25)· ἀπέπεμπεν 67 ἀφικάνει (Ζ 388)· παραγέγονεν 69 ἀφίκετο (Σ 395 al.)· παρεγένετο 70 ἀφικνεῖται· παραγίνεται 79 ἀφίλης· καθαρός. ὑγίης. ὁλόκληρος ⟨v. 8681. 9042⟩ 80 ἀφιλία (Coloss. II 23)· καρτερία ⟨v. 8677⟩ 83 ἀφινιάζει ⟨v. 8737⟩ 84 ἀφίζεται (Σ 270)· παραγενήσεται

ἄφιπποι· οἱ ἀπείρως ἔχοντες ἱππικῆς
ἀφίστησιν· σταθμῷ παραδίδωσιν
† ἀφλάσαι· ἀπολέσαι
ἄφλαστον (Ο 717)· τὸ ἀκροστόλιον, τὸ ἄκρον τῆς πρύμνης, ἀποτεταμένον εἰς ὕψος
† ἀφλετῆρες ⟨v. 8662⟩· μαστοί, θηλαί [91]
ἀφλοι(σ)μός (Ο 607)· ἀφρός
ἄφλους· ἄφλοιος
† ἀφνιδία· ἀφνίδαν, ἄφνω
ἀφνειός (Ε 9 al.)· πλούσιος
† ἀφνός (Aeschyl.?)· ἐξαίφνης
ἀφνύει· ἀφνύνει· ὀλβίζει
ἄφνω· ἐξαίφνης, αἰφνιδίως
ἄφοδος· ἀποχώρησις ἐπὶ τὸ ἀφοδεῦσαι
ἀφόδιοι (Dor.)· ἐχθροί ⟨v. ἀφάδειος⟩
ἀφοίβα(σ)τον· ἀκάθαρτον. Αἰσχύλος Νεανίσκοις (fr. 144)
ἀφοιδεῖν (Aeol.)· μὴ φροντίζειν
ἀφοίνους· φόνους. ὑγιεῖς [8804]
ἀφόπλισον· ἀπόδυσον
ἀφοπλίζεσθαι· ἀφαιρεῖσθαι
ἀφοπλίττονται ⟨—τη Boeoti⟩· ἀπολύονται στρατείας
ἀφόρητον· ἀβάστακτον, ἀνυπομόνητον ⟨II Macc. IX 10⟩
ἀφορήτως· δεινῶς, ἀβαστάκτως
ἀφορίαν· ἀκαρπίαν
ἀφόριος· θρασύς. ἄπιστος [12. 13]
ἀφορμή· ἡ νῦν ἐνθήκη λεγομένη. Ἀριστοφάνης (fr. CXXXVI)
μέλλει δὲ πέμπειν τοὺς εἰς ἀφορμήν
ἢ πρόφασις. ἢ αἰτία.
ἄφοροι· ἀσύλληπτοι
ἀφόρτιον· ἄχρηστον. ἀκάθαρτον [17]
ἄφορτος· οὐκ ἠγμένος τὴν Λυκουργ(ε)ίαν ἀγωγήν [19]
ἄφος· ἡ τραγάκανθα
ἀφοσιούμεθα· τὸ ὅσιον ποιούμεθα
ἀφοσιούμενοι· ἐν ὑποκρίσει θωπεύοντες, τιμῶντες
ἀφοσιούμενος· πληροφορῶν. ποιήσας τὴν ὁσίαν (Plat. Legg. IX 874 A)
ἀφοσιοῦν· καθαίρειν
ἀφοσιοῦσθαι (Aeschin. III 120 Bkk.)· ἀποκαθαίρεσθαι
ἀφοσιώματα· καθάρματα, καθάρσια. [27—29]
ἀφοσιώσεται· ἀπάρξεται ὁσίας χάριν
ἀφ' οὗ † γνωμηστός· ἀφ' οὗ μέμνημαι ⟨'γὼ μύστης — μεμύημαι⟩
ἀφόωντα (Ζ 322)· ψηλαφῶντα [33. 34]
ἀφραδέα· ἐχθρά, πολέμια ⟨Cretice? pro ἀφάδια⟩ † ἀδιαμέλητα ⟨ἀδιάλλακτα?⟩ μωρά
ἀφραδέες (λ 476)· ἀδιανόητοι [37. 38]
ἀφραδέως· ἀνεπιστημόνως. ἀπείρως (Γ 436). ἀδιανοήτως (Ψ 320) [40. 41]
ἄφρακτος· ἀφύλακτος. Σοφοκλῆς Αἴαντι μαστιγοφόρῳ (910)
ἀφράκτους οἰκήσεις (Thuc. I 6)· τὰς μὴ ἐχούσας περιβολάς
ἀφράσμων· ἀσύνετος. ἀμαθής. Σοφοκλῆς Τριπτολέμῳ (fr. 552) [45]
ἀφράσ(σ)ει (Hippocr.)· ἀσυνετεῖ
ἄφραστον· ἀπρονόητον, ὥστε μηδένα νοῆσαι. ἀνεκλάλητον, ἀνεκδιήγητον, ὃ μὴ † φράζον. ἄλεκτον
ἀφρατίας· ἰσχυρός. Κρῆτες
Ἄφραττος· ἡ Ἑκάτη παρὰ Ταραντίνοις
ἄφρεον (Λ 282)· ἤφριζον, ἵδρουν [51]
ἀφρίους· αἰθέρας
ἀφρῖνον· τάλαρον. τῶν ἐκ τῶν ἑλκυσμάτων τῶν ἐρίων
ἀφρίς· μύρτον
ἀφροδισία ἄγρα· Σοφοκλῆς Δανάῃ (fr. 170)· [γόνοιον μήλων] καὶ ἀφροδισίαν ἄγραν οἱ μὲν τοὺς πέρδικας· τῇ δὲ θηλείᾳ παλεύοντες αἱροῦσιν αὐτούς. οἱ δὲ πρὸς τὸν καθαρμὸν ἁρμόζουσιν, κακῶς δέ· χοίρῳ γὰρ καθαίρουσι καὶ ἀρνίῳ, ἀλλ' οὐ πέρδικι. λέγει οὖν τὴν τῶν συῶν· διὰ τὸ

COD. 93 ἀφλοῦς, ἀφλοῖο 8801 ἀνακάθαρτον ⟨v. schol. Eum. 237⟩ 5 ἀφόπλησον 16 ἀφόρδιον EM. 178, 23 23 θυσίαν 30 ὁσίαν 32 ἀφῶντα 44 ἀφράδμων 55 πέρδικας οἱ δὲ — ἁρμόζουσιν. τῇ ... αἴρουσιν ... καπραιέναν

HES. 94 ἀφλοισβός· ἀφρὸς ὁ ἐκ ταραχῆς ⟨Aesch. Prom. 792⟩ 8804 ἀφ.οισμός (Ο 607)· ἀφρός 12 ἀφωρισμένος (Rom. I 1)· ἐκλελεγμένος, διακεκριμένος 13 ἀφόριος· θρασύς. ἄπιστος 17 ἀφορολόγητον ⟨III Esdr. IV 50⟩· φόρον μὴ τελοῦν 19 ἀφορῶντες (Hebr. XII 2)· ἀποβλέποντες 27 ἀφοσίωσις 28 ἀφοσιωμέναι· ἀνόσιαι. ἄποθεν τοῦ ὁσίου γεγενημέναι. Σοφοκλῆς Θυέστῃ β' (fr. 233 v. ἀφωσ—) 29 ἀφοσώμενοι· τιμῶντες 33 ἀφραίνεις (Η 109)· μωραίνεις. παραφρονεῖς 34 ἀφραίνοντι (—α Β 258)· παρανοοῦντι. ἀσυνετοῦντι 37 ἀφραδέοντι (Ι 32)· παρανοοῦντι 38 ἀφραδέουσιν (η 294)· ἀφρονεύονται 40 ἀφραδίῃ (Β 368)· ἀπειρίᾳ. ἀμηχανίᾳ 41 ἀφραδίῃσι· μωρίαις, ἀνοίαις (Ε 650 al.), ἐξηχίαις (non Ar. Pac. 1064) 45 ἀφράσμων· ἀσύνετος 51 ἀφρήτωρ (Ι 63)· φρατίαν οὐκ ἔχων, οἷον συγγένειαν

καταφερὲς εἶναι τὸ ζῷον πρὸς συνουσίαν. Καρπᾶν γέ τοι καὶ κάπραιναν ἀπὸ τούτου. Δύναται δὲ καὶ τὴν τῶν αἰγῶν γονὴν δηλοῦν. καὶ γὰρ καὶ τοῦτο τὸ ζῷον λίαν ἐπτόηται πρὸς τὰ ἀφροδίσια· ὥστε καὶ εἰς ἑαυτὸ ὑβρίζειν

ἀφροδισιάζεσθαι (Philetaer. III p. 299)· γυναικίζεσθαι [57]

Ἀφροδίσιον· Ἀφροδίτης ἄγαλμα, ἢ Ἀφροδίτης ἔργον

ἀφροδίσιος ὅρκος· παροιμία, ἣν καὶ ἀναγράφουσιν· Ἀφροδίσιος ὅρκος οὐ δάκνει· πρῶτος δὲ Ἡσίοδος ἔπλασε τὰ περὶ τὸν Δία καὶ τὴν Ἰώ. Ὤμοσεν· ἀλλὰ .... (Callim. epigr. XXVI 3)

(Ἀφροδίτης·) περὶ μὲν τῆς θεοῦ Ἀφροδίτης·
ἐϋστεφάνου τ' Ἀφροδίτης (θ 267)
ἐπὶ (δὲ) τῆς συνουσίας·
καὶ ἐκλελάθοιντ' Ἀφροδίτης (χ 444)

Ἀφρόδιτος (Aristoph. fr. CXXXVII)· Θεόφραστος μὲν τὸν Ἑρμαφρόδιτόν φησιν, ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς † Παίων εἰς ἄνδρα τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει [62]

ἀφρόν· κυρίως θαλάσσιον. καὶ ἀφρῶδες δὲ διαχώρημα, ὡς Ἀριστοφάνης (Lysistr. 1259)·
πολὺς δέμα ς κατὰ τὴν ....

ἀφροντιστεῖν (Xen. Conv. VIII 33)· ἀμελεῖν

ἀφροντιστίας· ἀμελείας [66. 67]

ἀφύα (e. c. Aristonym. fr. II p. 699)· μεμβράς

ἀφυδραίνεσθαι (Eur. Ion. 97)· περ(ιρρ)αίνεσθαι. ἀπολούεσθαι

ἀφύει (Hippocr. II p. 498 K)· ἀπολευκαίνεται, καὶ ὥσπερ ἀφύης χρῶμα ἴσχει

† ἀφυζε· ἀπόλαβε

ἀφύη· τὰ μικρὰ (Aristoph. fr. X p. 1152) ἰχθύδια

ἀφυής (Xen. Cyrop. II 3, 4)· δυσχερής

ἄφυκα· ἀκαλλώπιστα· παρὰ τὸ μὴ ἔχειν φυκάριον, ὃ βάλλουσιν αἱ γυναῖκες πρὸς φιλοκαλίαν. ῥοϊδάριον

ἀφύκτοις (Eur. Med. 531)· † οἷς οὐκ ἔστιν ἐκφυγεῖν [76]

(ἄφυκτον·) ἀνεξάλειπτον ⟨—λυκτον⟩

ἀφύκτως· ἀνεξαλείπτως ⟨—λύκτως⟩ [79]

ἀφύλλου στόματος· ἄνευ ἱκετηρίας. Εὐριπίδης Ὀρέστῃ (383)

ἀφύλλωτον πέτραν· ἄ(σ)πορον. ἄδενδρον. οἷον λεωπετρίαν. Σοφοκλῆς Ἰοβάτῃ (fr. 276)

ἄφυλλον· λεῖον. ξηρόν. ἄνοζον. ψιλόν

ἄφυλλος † αὐχήν· οἱ δὲ ἄτρακτον ⟨ἄκαρπον? cf. Aesch. Eum. 785⟩ [84. 85]

† ἀφυρεῖν ⟨ἀφόρδιον⟩· ἀκαθαρσία

ἀφυσγετόν (Λ 495)· συρφετόν. ἀκαθαρσίαν. κόπριον [88]

ἄφυσσαν· τὴν κοτύλην (παρὰ) Ταραντίνοις

ἀφύσσειν· ἀπαρύεσθαι, ἀπαντλεῖν

ἀφύσσων (Α 598 ι 9)· ἀπαντλῶν. ἐκχέων

ἀφύστα· κοτύλη. στάμνος

ἀφύτρις· ἄρπαινα ⟨ἀρύτ—⟩

ἀφύων τιμή· τὸ ἔλαιον, ἐπεὶ ἐν τούτῳ ἕψονται. λέγουσι δὲ Ἀττικοὶ πληθυντικῶς τὰς ἀφύας, ἑνικῶς δὲ οὐδέποτε· λέγουσι δὲ καὶ αὐτὰς ἀφρὸν διὰ τὴν λευκότητα (e Didymo ad Ar. Eqq. 642)

ἀφωσιωμένε· (ἀνόσιε), ἄπωθεν τοῦ ὁσίου ἀφωρισμένε (γεγενημένε. Σοφοκλῆς Θυέστῃ β')

Ἀχαία· ἐπίθετον Δήμητρος, ἀπὸ τοῦ περὶ τὴν Κόρην ἄχους, ὅπερ ἐποιεῖτο ἀναζητοῦσα αὐτήν (Ar. Ach. 709). Λάκωνες δὲ ἀγαθά (Ar. Lys. 90. 91). οἱ δὲ ἔρια μαλακά ⟨v. ἀχιά⟩

† ἀχαίας· λύπας

Ἀχαιΐδα γαῖαν (Η 124)· τῶν Ἑλλήνων γῆ(ν)

ἀχαΐζειν· ἑλληνίζειν

Ἀχαιμένης (Herod. VII 11)· Πέρσης, ἀπὸ Ἀχαιμένους βασιλέως· καὶ Ἀχαιμενίδαι (Herod. I 125)· οἱ Περσ(ε)ῖδαι

COD. 59 ὤμοσεν 60 τῆς Ἀ. — ἐκλέλαθον τῆς Ἀ. 61 δὲ περὶ τὰ — παιάνισον
παρὰ
ἄνδρα 63 ἄφρον· κ. θάλλον 68 μέμβρας 69 ἀφαιδρύνεσθαι 74 πρὸς 87 ἀφύσγετον· σύρπετον. d. κ. συρφετόν 89 ἀφύσσαν 90 Post ἀφύσσειν: ψηλαφᾶν ⟨ad ἀφάσσειν⟩ 95 Cf. ἀφοσιωμέναι 96 Cf. Ἀχθεία ⟨97 τολύπας? an ἄχεα?⟩ 98 ἀχάει-
ει ες
δαγαῖα, ἡ 8900 δαι· αἱ περσίδαι

HES. 57 Ἀφροδίτη ψίθυρος 62 ἀφρονῆσαι (ψ 12)· ἄφρονα γεννῆσαι 66 ἀφρός (Υ 168) 67 ἄφρων (Λ 389)· μωρός, ἄνους 76 ἄφ[ε]υκτον (Moeris)· ἄφευκτον 79 ἀφύλλοις (Β 425)· ξηροῖς ⟨αῖς⟩ 84 ἄφυξιν (Α 171)· ἀπάντησιν 85 ἀφυπνίσας· ἀφύπνισεν ⟨Moer. p. 61; Eur. Rhes. 25⟩ 88 ἀφυσσάμενοι (Γ 295)· ἀντλήσαντες

ἀχαιῖναι (Arist. Byz. ex Aristot. HA II 11, 5. IX 6, 3)· ἐλάφων ἡλικίαι

ἀχαίνει· σαίνει. παίζει. κολακεύει

Ἀχαιοί (Α 22)· οἱ Ἕλληνες. κυρίως δὲ Ἀχαιοὶ οἱ κατοικοῦντες μέρος τι τοῦ Πελοποννήσου, τὴν καλουμένην Ἀχαΐαν (Apoll. lex. 50, 4)

ἀχαιομάντεις· οἱ τὴν τῶν θεῶν ἔχοντες ἱερωσύνην ἐν Κύπρῳ [5. 6]

ἀχάλκευτα τρύπανα· τὰ φρύγια, πυρεῖα. Σοφοκλῆς Φινεῖ βΦ (fr. 638)

† ἀχανά· κλήματα ⟨ἀχάν· ἠχήματα?⟩

ἀχάνας (Ar. Ach. 108)· τινὲς μὲν Περσικὰ μέτρα. Φανόδημος δὲ κίστας, εἰς ἃς κατετίθεντο τοὺς ἐπισιτισμοὺς οἱ ἐπὶ θεωρίας στελλόμενοι [10]

ἀχανές· ἡπλωμένον (πέλαγος)

ἀχάνη (Aristoph.)· μέτρον σίτου ἐν Βοιωτίᾳ, χωροῦν μεδίμνους μέ (Aristoteles)

ἀχανής (Hegesipp. v. 25 p. 480)· ἄφθογγος. μὴ ἀνοίγων στόμα [14. 15]

ἀχαρές· λυπηρόν ⟨cf. 8920. 9006⟩

ἀχάριστα· ἀγνώμονα

ἀχάριστα (θ 236)· ἀχαρίστως, ἢ ἄνευ χάριτος

ἀχαριστεῖν (Antipho)· μὴ χαρίζεσθαι

ἀχαρίστερον· ἀχαρι(σ)τότερον
δόρπου δ' οὐκ ἄν πως ἀχ.ρίστερον (υ 392)
οἱ δὲ λυπηρότερον

ἀχάρνα(ς· Arist. HA. VIII 4, 2. 20, 7)· εἶδος ἰχθύος

Ἀχάρνη.· δῆμος τῆς Ἀττικῆς

Ἀχαρνικαὶ πύλαι Ἀθήνησιν

Ἀχαρνικοὶ ὄνοι (Com. II I p. 502)· ἐπὶ τῶν μεγάλων οὕτως ἔλεγον [25—27]

ἄχειλον· ἄτροφον. πολύχορτον ⟨v. ἀγχιλὰ et εὔχειλον⟩

ἀχείμα[σ]τον (Aesch. Suppl. 136)· ἀτάραχον

ἀχείρωτος (Thuc. VI 10, 5)· ἀπόρθητος. ἀήττητος, ἀνίκητος. Χειροῦσθαι γὰρ λέγεται νικᾶσθαι

ἀχέλιον· τὸ λεπτομερές (τῶν ἀχύρων)

ἀχέλουρις· ποίμνη τις παρὰ Ταραντίνοις

Ἀχελῷος· ποταμὸς Ἀκαρνανίας. καὶ πᾶν ὕδωρ οὕτως λέγεται (Didym. p. 85) [34]

ἄχερδος (ξ 10)· ἄκανθα ποιά
καὶ ἐθρίγκωσεν ἀχέρδῳ

ἄχερνα· ἰχθῦς ποιός

ἀχερούσια· ὕδατα ἑλώδη (Aristoteles EM. 180, 55)

ἀχερωΐς (Ν 389)· δένδρου γένος ἀκάρπου. λεύκη

Ἀχέρων (κ 513)· ποταμὸς ἐν ᾅδου

† ἄχεται· στυγεῖ. μέμφεται ⟨ἄχθεται?⟩

ἀχέτας (Ar. Pac. 1159)· ὁ τέλειος, καὶ φωνήεις

ἀχέτης (Aristot. HA. IV 7, 7)· ὁ ἄρρην τέττιξ. ὁ λαλίστατος [43]

ἀχήν· ἄπορος

ἀχηνεῖς· κενοί

ἀχῆνες· πένητες ⟨v. 1440 et ἠχῆνες⟩

ἀχηνία (Aristoph. fr. VI p. 954 Aesch. Ch. 301)· ἀπορία, ἀπὸ τοῦ μὴ ἔχειν. καὶ οἱ πένητες ἀχῆνες· τινὲς δὲ ὅτι τὰ κενὰ ἠχεῖ ⟨v. μὴ 'π' ἀχην.⟩ [48. 49]

(ἀχηρὴς ὕπνος vide ἀλχηρής)

ἄχηρον· ἀκρίδα ⟨ἀχράδα⟩ Κρῆτες

Ἀχηρώ· ἡ Ἀχηρὼ καὶ Ὦπις καὶ Ἑλλ(ή)γηρις καὶ Γῆ καὶ Δημήτηρ ἡ αὐτή

† ἀχητεῖς· ἀζήτητοι. ἀσύνετοι: ἄποροι ⟨ad ἀχηνεῖς⟩

(ἀχθεινόν [Attici]· ἐπίπονον, ὀδυνηρόν)

ἄχθεος· βάρους [56. 57]

ἄχθεσθαι· βαρεῖσθαι

ἄχθεται· λυπεῖται [60]

ἀχθηδόνα (Thucyd. IV 40, 2)· λύπην. ὀδύνην. βάρος

† ἀχθηρές ⟨—όν? Antiphan. com. III p. 51, 3⟩· λυπηρόν

COD. 1 ἀχαίνε 2 πέζει 7 φηνεἰβω 9 θεωρίας [ἰόντες οἱ εἰς θεοὺς] τιλλόμενοι 12 ἀχανὴ — μέδιμνον ἕν 18 ἀνευχαρίστως ⟨21 cf. ἀκάρναξ et ἄχερνα; al. ἀχαρνώς⟩ 23 ἀχάρνι, καὶ 24 ἀχάρνικοὶ 32 ἀχέλουρις· τῶν ἀχύρων σ 33 ἀρκαδίας 35 ἀχέρδος — ἐθριγκῶσ ἐν 36 ἄχερλα ⟨v. 8921⟩ 37 ἀχερού 39 ἐλιάδου 41 φονηείς 52 ἀχειρὼ bis. Cf. ἔπωπίς, ἐγγῆρυς ⟨Ἐλήγηριν Eustath.⟩ et χειρογονία 54 Legebatur ἀχθινόν ⟨sic⟩ post 64 62 ἀχηρής EM. 181, 18.

HES. 5 Ἀχαιοῖς (Α 2)· τοῖς Ἕλλησιν 6 Ἄχαξ (LXX)· κατάσχεσις 10 ἀχαν[αν]εῖ (Sapient. XIX 16)· ἀνανοίκτῳ 14 (ἀχανής·) ἄφωνος e Moer. Att. 15 ἀχανόωσαν (Ψ 300)· ἐπιθυμοῦσαν 25 ἀχέα λύπη (Eur. Hel. 336) 26 Ἀχεής· γυνή ⟨Ἀχαιΐς⟩ 27 ἄχειν προτραπέσθαι (Ζ 336)· τῇ λύπῃ ὑπεῖξαι, καὶ οἷον ὑποχωρῆσαι 34 ἀχαιὸς νεφέλη (Ρ 591)· περιφραστικῶς λύπη 43 ἀχεύων (Ε 869). λυπούμενος 48 ἀχείμονα· ἀγνήν 49 ἀχειρές· ἀχρεῖον 56 ἄχητι· λυπήθητι ⟨ἄχθητι⟩ 57 Ἀχθεία· ἡ Δημήτηρ μυστικῶς ⟨Ἀχαία⟩ 60 ἄχθη· ἀκαθαρσία. ἀφρὸς θαλάσσης ⟨ἄχνη⟩

ἀχθήσας· γομώσας. ἤγουν πληρώσας

ἀχθηφόρος· νωτοφόρος. βάρη φέρων

ἀχθομένη (Ε 361)· βαρυνομένη

ἀχθόμενος (ι 225?)· βαρούμενος. λυπούμενος

ἄχθος (Homer.)· λύπη. βάρος

ἀχθών· κορμὸς ἐκ λιπαροῦ δαδίου. Λάκωνες [69—71]

Ἀχίλλειον πλάκα (Tragic. inc.)· τὴν Ἀχιλλέως νῆσον, τὴν Λευκὴν λεγομένην. (εἰσὶ δὲ καὶ Ἀχιλλέως δρόμοι (Eur. IT. 436. 7) περὶ ταύτην τὴν νῆσον)

Ἀχιλλείων· Ἱππεῦσιν (819) Ἀριστοφάνης καὶ Σοφοκλῆς Σκύθαις (fr. 504). Ἀχιλλείων ἔνιοι δὲ ⟨λέγουσι⟩ τῶν λευκῶν. τινὲς δὲ σπόγγον ⟨ων?⟩ φασί, οἷς τοὺς ὀφθαλμοὺς ἀποψῶνται [74]

†ἀχληρόν· ἀπεχθές ⟨v. 8962⟩ [76. 77]

ἀχλύν (Ε 127)· σκοτίαν. καὶ ἀορασίαν (η 41)

ἀχλυοέσσης· σκοτομήνης

ἀχλύς (Ε 696)· ἡ ἐν τοῖς ὀφθαλμοῖς λεπτὴ ἰλύς. ὁμίχλη. σκοτία. ἀμβλυωπία

ἄχνα(ς· Ε 499. 501) ἄχυρα λεπτά. ἀποβράσματα

ἄχναν· τὴν †οἴκησιν. καὶ τὴν ἐπὶ τοῦ σίτου λεπτὴν καλάμην

ἄχνη· τὸ ἄχυρον

ὡς δ' ἄνεμος ἄχνας φορέῃ (Ε 499)

ἄχνη δὲ καὶ ὁ ἐπιπολάζων ἀφρὸς τῷ κύματι τῆς θαλάσσης

ἄχνημος (Cretice?)· νῆστις

ἄχνην Λυδῆς κερκίδος· Σοφοκλῆς Αἰχμαλώτοις (fr. 49). Ἄχνην τὸ ἄκρον κατὰ τὴν ἐργασίαν ἄκρως ἔχον, ἢ ἀπὸ τῆς θαλασσίας ἄχνης· ἔστι γὰρ λαμπρὰ καὶ διαφανής. γράφεται δὲ καὶ Ἴχνη (Herod. VII 123)

ἄχνη πυρός (Aesch. fr. 327)· ὁ καπνός. καὶ Ἀριστοφάνης οὕτως ἄχνην (Vespp. 92) ὕπνου. ὁ δὲ Ἱπποκράτης (III p. 274 K) τοῦ λίνου ἄχνη· δηλοῖ δὲ [καὶ] τὸ λεπτὸν ξύσμα [87]

ἄχνυλα· κάρυα. Κρῆτες [89]

ἀχνῶδες· ἄχνῃ ὅμοιον [91]

ἄχορα (Aristoph. fr. XI p. 1120)· τὰ πίτυρα. ἔνιοι δὲ †κρανίον ⟨κήριον⟩ [93. 94]

ἀχόρους (Eur. Andr. 1038)· κακοχόρους

ἀχόρταστος (Menand. fr. CXLIV)· ἄπληστος

ἄχος (Hom.)· λύπη [98]

ἀχράδα· ἄπιον (Λάκωνες). καὶ βοτάνη

ἀχραδαμύλα· ὁ κοχλίας. Ταραντῖνοις

ἀχράδας (e. c. Eupol. fr. VIII p. 439)· τοὺς ἀπίους [9002]

ἀχραδῆναι ⟨—ῖναι⟩· ζῶά τινα ..... καὶ ξυλοφάγα

ἀρχανές· ἄρχαντον, ἀμόλυντον, καθαρόν, ἀμίαντον. Χραίνειν γάρ ἐστι τὸ μιαίνειν

ἄχρατοι (Cretice)· οἱ πολέμιοι

ἀχρέα· βλάσφημον. ἄμορφον. ἀχρεῖον. λυπηρόν

ἀχρεῖον ἰδών (Β 269)· εἰς οὐδεμίαν χρείαν ἐμβλέψας. σκυθρωπάσας, καὶ δια(σ)τρέψας τὴν ὄψιν. καὶ ἐπὶ τῆς Πηνελόπης·

ἀχρεῖον δ' ἐγέλασε (σ 162)

τὴν μὴ ἀπὸ γνώμης γελῶσαν δηλοῖ

ἀχρήματ†α· ἀδάπανον. Σοφοκλῆς Σκυρίοις (fr. 513)

ἀχρημοσύνη (ρ 502)· πενία. ἔνδεια. ἀπορία

†ἀχρήεις ⟨—ῆς⟩· μάταιος. ἐλαφρός. ἄχρηστος

ἄχρηστος· ὁ μὴ χρηστηριασάμενος [12—14]

(ἄχρι εἰς τὸν ὄλεθρον· μέχρι τοῦ ἐσχάτου καὶ ἀπεράντου) [16]

†ἀχρισατέες· ἀληθές

ἀχρο(ι)ΐην (Herod. I 74)· ὁμόχροιαν, καὶ συγχρωματισμόν

ἄχρονον· τὸ μὴ ἀρξάμενον ἐπὶ χρόνου

COD. 64 Cf. 8954 ⟨71 Cretice?⟩ 73 ἀχιλλίων — ἀχιλλίων. εἰσὶ δὲ — νῆσον. ἔνιοι 81 |βιάσματα 84 Pro ἄχμηνος; cf. χνισμός 85 λυδίς — ἡ ἐπὶ. Cf. Steph. Byz. 342, 17 86 λιμοῦ 92 ἀχόρα 95 ἀχώρους· κακοχώρους 9000 ἀχραδάμυλλα; cf. ἀκραμύλα et χραμαδοῖλαι 5 Pro ἄκρατοι 7 εἰδῶν 10 Post ἄχρηστος legebatur ἀχρήϊστον ὄλεθρον [9015] 18 |άτιστον

HES. 69 ἀχι· ποῦ (Α 607). ἡ χόρτῳ χλωρῷ (Sirac. XL 16) 70 ἀχιά· ἔρια μαλακά ⟨v. ἀχαία⟩ 71 ἀχίκητα (Ρ 75)· ἀκατάληπτα 74 Ἀχινάων (Β 625)· τῶν Ἐχινάδων 76 ἀχλυδιᾶν· θρύπτεσθαι ⟨v. χλοιδῶσι⟩ 77 ἀχλύμενος (Α 103 al.)· λυπούμενος 87 ἀχνητόν· δαψιλές. ἄφατον. πολύ. ἄφθονον ⟨l. ἀχύνετον⟩ 89 ἀχνύμενος (Α 103 al.)· λυπούμενος 91 ἄχολον· ἀποσκευαζόμενον τὴν ὀργήν. κωλυτικὴν ὀργῆς δύναμιν ἔχον νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων (δ 221) 93 ἀχώρητος· ὁ μὴ χωρούμενος 94 ἀχώριστος· ὁ μὴ χωριζόμενος 98 ἄχουσα (Φ 340)· κραυγάζουσα 9002 ἀχράδα· ἄπιον Λάκωνες 12 ἀχρήμων (Eur. Med. 461)· πένης. καὶ αὐτάρκης 13 ἄχρης ἀπελύησεν (Δ 522)· παντελῶς ἀπέκοψεν 14 ἄχρι (σ 369)· μέχρι. ἕως: ἄχρις ⟨e Moeride⟩ 16 ἄχριον· ἄχριστον

ἀχρονοτριβές· σύντομον. ταχύ. παρὰ τὸ μὴ τετρῖφθαι ἐν χρόνῳ, ἢ χρόνον πολὺν διατρῖψαι

ἄχροοι· πυρραὶ ἡμίονοι

† ἄχροον· πονηρόν. Λάκω(νες) νόθον

(ἀ)χύνετον (Nic. Alex. 174)· πολύν, (δαψιλές, ἄφατον, ἄφθονον)

ἀχυρμιαί (E 502)· τόποι, εἰς οὓς τὰ ἄχυρα ἐκπίπτει λικμώμενα

ἄχυρος (Ar. Vespp. 1310)· ὁ ἀχυρών. ἀχυ-(ρ)οδόκη (Xen. Oec. XVIII 7)· ἀποθήκη . τῶν ἀχύρων

ἀχώνευτον· ἄχαυστον

ἄχωρ· τὸν ἄχορα (Aristoph. fr. IX p. 1120). εἴρηται δὲ ἀποπιτυρίασις κεφαλῆς

ἄχωρος· ἐν κατάρᾳ λέγεται ὁ μήτε τάξιν βίου μήτε κατάστασιν οἰκίας ⟨—είαν⟩ ἔχων

ἀψ (A 60)· πάλιν. εἰς τὰ ὀπίσω. ἐκ δευτέρου

† ἀψάκειν· ἀποτυχεῖν

ἄψαλα· ἀψοφητὶ πορεύεται

ἀψάλακτος (Cratet. fr. XI p. 250)· ἀκίνητος. ἀψηλάφητος. ἀκράτητος. Σκύθα(ις) Σοφοκλῆς (fr. 505)

ἀψάμαθον· ἀψ... ον

ἅψασθαι (ι 397)· ἀναφθήσεσθαι· ἅψασθαι, χλωρός περ ἐών

ἀψάσθην (K 377)· ἐπελάβοντο· χειρῶν (δ') ἀψάσθην

ἀψαυστον· ἀπροσπέλαστον. ἀνέπαφον (Thuc. IV 97, 3). ἀψηλάφητον [37—40]

ἄψεκτον· ἄμωμον, ἀμεμπτον. [ἀψευδές]

ἀψελές· ὑγιές ⟨8681. 8779⟩

† ἄψερον· ὕστερον. πάλιν

ἀψεφές· ἀφρόντιστον. Σοφοκλῆς Φαίδρᾳ (fr. 625)

ἀψεφέων· ἀμελῶν

ἀψηλάφητον· ἀνέπαφον ⟨spur.?⟩

† ἄψητος· ἀνυπότακτος

ἄψηφον· πολύ. μέγα. ἰσχυρόν

ἀψίαι· ἑορταί. Λάκωνες ⟨v. ἐψίαι⟩

ἀψῖδες· τὰ κύκλα τῶν τροχῶν. αἱ περιφέρειαι. ἢ καμάραι

ἀψίκορον (Plat. Ax. 369 A)· ἄπλησμον. ἢ ἅμα τῷ ἅψασθαι κορεννύμεναι καὶ ταχέως

ἀψίκορος· καματηρός. ταχέως ὀλιγωρῶν, καὶ κόρον λαμβάνων

ἀψικόρως· εὐμεταβλήτως

ἄψιλον· ἄπτερον, ἢ πολύπτερον

ἀψιμαχία· συναφὴ μάχης

ἀψίμαχος· ἐπίμαχος. ἐπίφορος μάχης

ἀψιμισία· πρὸς ὀλίγον διαφορά

† ἀψίον· τὸ πρόσωπον

† ἀψίορ· μέγα. πλατύ. πολύ. ἰσχυρόν [60]

ἀψῖσι λίνου (E 487)· ἅμμασιν. ἀπὸ τῆς συναφῆς [62]

ἄψοος· θηρίον τι κατεσθίον ἀμπέλους

ἄψορρον (Soph. Ai. 369)· ὀπισθόρμητον

ἄψορρον (Δ 152 al.)· παλινόρμητον, ἐξ ὑποστροφῆς

ἀψορρόου (Σ 399 υ 65)· ἀνάπαλιν ῥέοντος. ταχυρ(ρ)όου

ἀψοφητί· ἠρέμα. ἡσύχως ......... Κόλαξι (Com. IV p. 155)

ἀψόφητος (Soph. Ai. 321)· ἄνευ κραυγῆς

ἀψυθές· ἀληθές, οὐ ψευδές

ἀψυχίη (Hippocr. II p. 216 K)· λειποθυμία

ἄψυχον (εἰκὼ Eur. Med. 1162)· εἴδωλον μὴ ἔχον ψυχήν

ἄψυχος· δειλός. καὶ ὁ τῶν Πυθαγορικῶν βίος

ἄψω· προσεγγίσω. δήσω. Κρατῖνος (fr. LV p. 196)

ἀῶ· † ὑγείᾳ. ἡμέραν (Theocr. XVIII 14)

ἀωδυνεῖν· ἀπονεῖν. ὑγιαίνειν

ἀῷος· πρωϊνός, ὀρθρινός

† ἀώλυπον· τὸ οὐκ ἀπολλύμενον

ἀών (Epicharm. fr. 34)· ἰχθῦς ποιός

Ἀῷοι· θεοὶ οἱ ἐκ Δρόμου μετακομισθέντες εἰς Σαμοθράκην (ἢ) Λῆμνον. καὶ Κίλικες ἀπὸ Ἀώου τοῦ Κεφάλου (ἢ) τοῦ παραρέοντος ποταμοῦ

ἀωρεῖν· ὀλιγωρεῖν. ἀπειθεῖν. φυλάσσειν ⟨ad γαωρεῖν?⟩ [81. 82]

ἄωροι (μ 89)· εἰ μὲν δασέως γράφει τὸ ω ὦμοι· ὥριμοι γὰρ οἱ πέπειροι· εἰ δὲ ψιλῶς ἀφύλακτοι. βέλτιον δὲ οἱ μὴ δυνάμενοι ὀρούειν· ἐνερρίζωνται γὰρ ταῖς πέτραις ἡ Σκύλλα καθάπερ οἱ κοχλίαι

COD. 20 ἄντομον 22 λακωνόθον 23 Cf. ἀχνητόν 27 ἀχώρατον — ὅτι πυρίασις 30 ἀψακεῖν Cyr.; cf. ἀπαρκτεῖν 34 περεωνί 45 Cf. καταψέφει, ψέφει 50 ἀψίδες 52 χαυματινός 53 ἀμετ| 57 ἀψιμεσσία 66 ἀψόρροον — ταχυρόου 67 κολακείᾳ 69 ἀψηθές 73 ἀψῶ· προσαγγίσω 78 ἀῶν 79 λίμνην — περιρ|

HES. 37 ἄψ ἀπιών (K 289)· πάλιν ὑποστρέφων 38 ἄψ αὖθις (Θ 335)· πάλιν ἐκ δευτέρου (O 364) 39 ἂψ δέ (A 220)· πάλιν δέ 40 ἄψεα (δ 794)· αἱ συναφαὶ τῶν μελῶν. οὐχὶ τὰ μέλη (Greg. Naz. Carm. IV 6 p. 207) 60 ἀψῖσι· συναφαῖς 62 ἀψίτω (α 276)· ἐπανίτω 81 ἀώρησις· κρέμασις 82 ἀωρία (gl. Ps. CXVIII 147)· σκοτία. μεσονύκτιον. ἄπρακτος ὥρα

ἄωροι (Callim. fr. CCCXXV)· ὠμοί. ἄγριοι. σκληροί
ἄωρον· ἀπρεπές. ἄχαρι. ἄκαιρον (Eur. IA 1218 et v. οὐκ ἄωρον). ἄμορφον (Plat. Pol. IX 574 C)
(ἄωρος· ἄϋπνος (ὁ ὕπνος?) Μηθυμναῖοι
ἄωρτο (Γ 272)· παρήρτητο) [88]
(ἀωτεῖς· ἀπανθίζεις. κοιμᾷ Κ 159)
ἀωτεῖτε (κ 548)· ἀπανθίζετε τὸν ὕπνον
ἀωτεύειν· ἀπανθίζεσθαι
ἄωτοι· ὦτα μὴ ἔχοντες
ἄωτον· ἔριον. ἄνθος
ἀώτου θεσπεσίοιο (ι 434)
ἐρίου θείου. Ἄωτον (Ι 657) γὰρ τὸ ἄνθος
ἄωτος (Theocr. XIII 27)· τὸ ἄνθος, ἀρσενικῶς. ἢ μὴ ἔχων ὦτα
ἀωτοῦσιν· ἀνθοῦσιν

## B.

Βαβάζειν· τὸ (μὴ) διηρθρωμένα λέγειν. ἔνιοι δὲ βοᾶν
βαβαί (Comici)· θαυμαστικὴ φωνή
βάβακα· τὸν γάλλον
βαβάκινος· χύτρας εἶδος
βάβακοι· ὑπὸ Ἠλείων τέττιγες· ὑπὸ Ποντικῶν δὲ βάτραχοι
βαβάκτης (Cratin. fr. XXII p. 182)· ὀρχηστής. ὑμνῳδός. μανιώδης. κραύγασος. ὅθεν καὶ Βάκχος
βάβαλον· κραύγασον Λάκωνες
βάβαλον· αἰδοῖον (βάμβαλον)
βάβαξ (Archil. fr. 32)· μάταιος, λάλος, φλύαρος. ἐνθουσιῶν. ἀναιδής
βαβάξαι· ὀρχήσασθαι
†βαβήρ· ὁ ἄρης (ἀήρ) [12]
βαβράζων· κεκραγὼς συντόνως
βάβρηκες· τὰ οὖλα τῶν ὀδόντων. οἱ δὲ σιαγόνας. οἱ δὲ τὰ ἐν τοῖς ὀδοῦσιν ἀπὸ τῆς τροφῆς κατεχόμενα
βαβρήν· ὑπόστασις ἐλαίου κατὰ Μακεδόνας
βαβύας (Tarentini)· βόρβορος, πηλός
Βαβύη (—κη?)· χείμαρρος. οἱ δὲ πόλις (ποταμός?)
Βαβύκα· γέφυρα
Βαβυλώνιοι· οἱ βάρβαροι παρὰ τοῖς Ἀττικοῖς
βαβύρτας· ὁ παράμωρος (baburrus)
βαγαία· mαταία. Λυσικράτης· — βαγαία γὰρ ὅστις ἐπικουρεῖ
βαγαῖος· ὁ μάταιος. ἢ Ζεὺς Φρύγιος. [μέγας. πολύς, ταχύς; cf. βαλαιόν]
βαγαρόν· χλιαρόν. Λάκωνες [24]
†βάγιον· μέγα
βάγος· κλάσμα ἄρτου, ... μάζης: καὶ (ἀβαγός) βασιλεὺς καὶ στρατηγός. Λάκωνες [27]
βαδάς· κίναιδος, ὡς Ἀμερίας
βαδελεγεῖ (Macedones)· ἀμέλγει
βάδην· σχολῇ. κατὰ βῆμα. βαδόν, περιπάτῳ ἔρχομαι (Ar. Lys. 254) [31—35]
βάδομαι· ἀγαπῶ
†βάδηδοι· ἠχεῖοι (βαδύ· ἡδὺ Ἠλεῖοι) [38]
βάζειν (Ξ 92 al.)· λέγειν [40—45]
βαθάλη· κρήνη. Ἀμερίας
βαθμίδες λόγων· ἀρχαί
βαθμοί· ἴχνη. πόδες. καὶ δίφροι παρὰ †τραγικοῖς

COD. 84 ἀώριοι 85 ἄμορφον. ἄωρτο· ἐκρ. 86 Cf. 5736 90 ἀωτεῖται· ἀπανθίζεται 93 ἐρεῖον — ἐρείου. mox post ἄνθος legebatur ἀωτόρ· παρήρτητο 95 Post ἀνθοῦσιν legebatur ἀωτεῖς· ἀπ. κοίνα (9089) 3 γάμον 14 βάβριχες 16 Cf. βαχύας et EM. 186, 1 18 βαβύκτα 22. 25 Ad βουγάϊος? 27 δ' μή 30 βάδην· ἠρέμα (N
oo
516) σχ. (30 βαστακτικῶς περιπάτῳ ἐρχόμενος Cyr.) 32 λι διμη 36 βάδδομαι Cyr. Dr. (38 βαθρακίζων?) 48 δίφρου (οἱ παρὰ τοῖς στρατηγοῖς δίφροι Bekk. 224, 3)

HES. 88 ἄωρτο (Γ 272)· ἀκρέματο 12 βαλβῖδες· αἱ θύραι τοῦ ἱππικοῦ. καὶ βαλβίδες 24 βαγεῖ· εἰσελθοῦσαι (βᾶσαι Cyr. 63) 27 βάδος· ὁ καὶ βάτος (Luc. XVI 6). ν' ξέσται. ἤγουν λίτραι μή 31 βαδδίν (Daniel X 5 XII 6. 7)· βύσσινον ἔνδυμα ἐξερέας (ἐξαίρετον) 32 βάδος (Epiphan. de pond. p. 178)· ὁ καὶ βάτος. ν̄ ξέσται, ἤγουν λίτραι μή 33 βαδίζει (Baruc. II 13)· περιπατεῖ 34 βάδος· υἱός (Σαβάδιος· εὔϊος) 35 βάδιστοι (Ψ 310. 530)· βαδύτατοι 38 βαθακίζων· κακῶς ἕρπων (v. βαθάκων) 40 βάζομεν (γ 127 v. l.)· (ἐ)λέγομεν 41 βαθεῖαν (Υ 440)· κεκρυμμένην 42 βαθείης· ὑψηλῆς. μελανῆς. δαψηλοῦς. ἢ (βαθέης) ἐξάλλεται (Ε 142)· κεκρυμ(μ)ένης 43 βάθιστον (Θ 14)· βαθύτατον 44 βάθρων· ἐμμελίων (θεμε—). ἢ ἀγαλμάτων 45 βαθάκωνβ, κακῶς (v. βαθακίζων)

βάθρα· ἀγάλματα ⟨—ατος⟩. βάσεις

†βάθος· στίχος ⟨Suid.⟩. ἐπίστάσις ⟨ἐπὶ βάθος (Thuc. V 68, 3)· στάσις⟩. καὶ τὸ βαθὺ καὶ μέγα. καὶ ὑψηλόν. καὶ μέλαν

βάθρον· βῆμα, βάσις. ὑποπόδιον (καὶ ἀνδριάς ⟨—άντος βάσις⟩)

βαθύγλωσσοι· ἐλλόγιμοι [53]

βαθύζωνοι· εἰς βάθος ζωννύμεναι τοὺς χιτῶνας

βαθυζώνους (γ 154 I 590)· ἐν βάθει ζωννυμένας

βαθὺ κομῶσαν· ἐν βάθει ἔχουσαν στάχυας

βαθύκολπος· ἀρχαία. παλαιά. κοίλη [58—60]

βαθύμαλλον· κνεωροῦ †τοῦ μήλωνος χάπης. ἀπὸ ἱστορίας, ἀπὸ κνεωροῦ φυτοῦ, ᾧ ἐχρῶντο πρὸς κάθαρσιν. ἀπὸ δὲ τοῦ αὐτοῦ αὐχμηροῦ

Βαθυμίδαι· γένος παρὰ Λυδοῖς

βαθυπέπλων (Apoll. lex. 50, 26)· καλὰ ἱμάτια ἐχόντων

βαθύρρη· γαλῆ. ἰκτῖνος ⟨ἢ κτίς⟩ ὑπὸ Λυδῶν

βαθύρ(ρ)ιζοι· βαθεῖαι [66]

βαθυρ(ρ)ίζου πέτρας· τῆς ὑψηλῆς

βαθυσπόρος· βαθεῖα(ν) σπείρων γῆν

Βαιάγις· ἑορτὴ παρὰ Ἀσσυρίοις, ὡς Λέων ὁ Ἀλαβανδεὺς ἐν τρίτῳ

βαίβυκος· πελεκᾶνος Φιλητᾶς, Ἀμερίας (δὲ) βαυκάλας

βαίδειον· ἕτοιμον Ἠλεῖοι

βαιδυμῆν· ἀροτριᾶν Βοιωτοί

βαίεσσα· βότρυς

βαιῇσι· μικραῖς [75]

βαῖκαν Κρῆτες

βαίκυλος· προβατώδης ⟨βάκηλος⟩ [78]

†βαίμεναι (θ 518?)· βαίνειν [80]

βαίνειν· φιλεῖν. κολακεύειν ⟨ad σαίνειν?⟩. βιβάζειν. πορεύεσθαι. περιπατεῖν

βαίνετον· βαδίσατε. δυϊκῶς [83—85]

βαιόν· ὀλίγον. μικρόν. Σοφοκλῆς δὲ Οἰδίποδι Τυράννῳ (750) ἀντὶ τοῦ †ἄφθονος καὶ πολλός. †βαιὼν ἐκβαλών. καὶ ἐν Αἰχαλώτισι (fr. 39) βαῖον, εν ⟨l. βαιὸν ἕν⟩ [87. 88]

βαισήνης· παρ' Ἰνδοῖς τὸ στρατόπεδον.

βαίσηνος· ὁ στρατός

βαισσόν· βάθος ⟨pessum?⟩

βαίταν Ἕλληνες [93. 94]

†βαιτρεύειν· ἀροτριᾶν [96]

βαίτη (Soph. fr. 102)· δερμάτινον ἔνδυμα. ὅπερ ἔνιοι σισύραν· ἔνιοι δὲ σκηνὴν δερματίνην· οἱ δὲ διφθέραν

βαίτυλος· οὕτως ἐκαλεῖτο ὁ δοθεὶς λίθος τῷ Κρόνῳ ἀντὶ Διός [99. 100]

βαιῶμφαι· αἱ αἶγες ἐν ἱερατικοῖς

βαιών (Epicharmus)· ἰχθῦς †οὕτως. καὶ μέτρον παρὰ Ἀλεξανδρεῦσι ⟨ad βαίθ III Regg. V 11?⟩

Βαιῶτις· Ἀφροδίτη παρὰ Συρακουσίοις

†βακάϊον· μέτρον τι

βάκηλος· ὁ μέγας. ἢ ἀνόητος. ἢ ὁ ἀπόκοπος, ὑπ' ἐνίων γάλλος. οἱ δὲ ἀνδρόγυνος. ἄλλοι παρειμένος, γυναικώδης, παρὰ Μενάνδρῳ Ὑμνίδι (fr. IX) καὶ τὸ σύνηθες ἡμῖν

βάκκαρις (Arist. Thesm. fr. IV)· μύρον ποιὸν ἀπὸ βοτάνης ὁμωνύμως· ἔνιοι δὲ ἀπὸ μυρσίνης· ἄλλοι δὲ μύρον Λύδιον (Hippocr. II p. 549 K al.). ἔστι δὲ καὶ ξηρὸν διάπασμα τὸ ἀπὸ τῆς ῥίζης [7]

βάκοα· βάθρον ⟨= 125?⟩

COD. 54 |νοι τοὺς χιτοὺς χ. 56 λήϊον· ἐν ⟨γῆν· ἐν Meineke⟩ 62 |ῆδαι — ἐπὶ
o
λύδοις 63 ἔχων 64 βαθυρρηγάλη 70 βαβυκώς, πελεκάν, ὡς — ἀμεριάσας ⟨v. βαυβυκάνες⟩ 73 Cf. βλήσσαν et βεῦσα Cyr. 171 76 κρῆται ⟨supplent αἶγα⟩ 86 γράμμα [Βαιθήλ (Aquila ad Genes. XXVIII 10)· οἶκος θεοῦ] βαιὼν — αἰχμαλώτησι 99 Infra βλέτυς 102 βαίων 5 Cf. βαίκυλος κάβηλος κάληβος

HES. 53 βαθυδίνης (Υ 73)· ἐν βάθει ἔχων τὰ ῥεύματα, ἢ βαθείας δίνας ἔχων, ἢ μελάγα ῥεύματα 58 βαθυκόλπων Ἡρωίδων (Σ 122)· ἀπὸ τοῦ μεγέθους. καὶ βαθυζώνων 59 βαθὺ λήϊον (Σ 550)· πολύκαρπον πεδίον 60 βαθύλιμον (I 151)· βαθὺν λειμῶνα ἔχουσαν 66 βαθυρρόου (Η 422)· βαθέως καὶ ταχέως ῥέοντος 75 βαίην· ὀλίγην, μικροῦ ⟨μικράν⟩. ἢ ἔβησαν, ἢ ἐπορεύθησαν ⟨ad βάτην Λ 327⟩ 78 βαιμάζειν· βασιλεύειν ⟨ad βαννάζειν?⟩. ἢ βαστάζειν ⟨βλι—⟩ 80 βαίνη· ὕβρις ⟨v. βλίμη⟩ 83 βαῖνον (I 589 non B 510)· ἐξέβαινον 84 βαίνοντα (δ 653)· ἐπιβαίνοντα 85 βαίομαι (Χ 431)· βιώσομαι 87 Βαρκάθοις ὄχλος (Soph. El. 729)· Λιβυκός ⟨—αίοις⟩ 88 βαΐς· ῥάβδος φοίνικος. καὶ βαΐων (I Macc. XIII 51) 93 βαιτάς· εὐτελὴς γυνή. †ἀρχαία δὲ ἡ λέξις ⟨βλιτάς⟩ 94 βαιτάδα· εὐτελὴς γυνή ⟨βλιτάδα⟩ 96 βαίτιον· βοτάνη ἐμφερὴς δικτάμνῳ, ἤγουν γλήχωνι ⟨βλίτον⟩ 99 βαίτυξ· βδέλλα ⟨βλίτυξ⟩ 100 βαιτῶνα· τὸν εὐτελῆ ἄνδρα ⟨βλίτωνα⟩ 7 βακνίδες· εἶδος ὑποδημάτων ⟨βαυκίδες? βασιλίδες?⟩

†βακόν· πεσόν. Κρῆτες
βάκται· ἰσχυροί
βακτηρία· ῥάβδος
?βακοίας· πηλός (Ταραντῖνοι)
βάκτρον· †κάμηλος ⟨καμπυλ—⟩ [14]
βακχᾶν· ἐστεφανῶσθαι κισσῷ
Βακχέβακχος (Ar. Eqq. 408)· ὁ Διόνυσος οὕτως ἐκαλεῖτο ἐν ταῖς θυσίαις
Βακχεῖα (Ar. Rann. 357)· ἑορτὴ Διονύσου
βακχεύει (Aesch. fr. 57)· μαίνεται. τραγῳδεῖ
βακχευθεῖσα· †ἐξιχευομένη, ἐξεστηκυῖα
βακχεύοντες· μαινόμενοι. σειόμενοι
†βακχεῖον· τελεστήριον· νάρθηξ
Βάκχη· γένος ἀπίου (Nic. Ther. 512). ἡ μία τῶν Βακχῶν. ἡ τοῦ Διονύσου (βακχεύτρια)
Βακχιάδαι (Herod. V 92)· οὐ μόνον οἱ Μιλήσιοι, ἀλλὰ καὶ Κορίνθιοι, ἀπὸ Βάκχιδος
βακχίη (Archilochus)· μανία
βακχόαν· βόθρον. Αἰολεῖς ⟨v. 108⟩
βάκχος· ὁ ἱερεὺς (Eur. fr. 475, 15) τοῦ Διονύσου. καὶ κλάδος ὁ ἐν ταῖς τελε[υ]ταῖς ...... οἱ δὲ φανὸν λέγουσιν· οἱ δὲ ἰχθῦν (Dorio Athen. 118 C)
Βάκχου Διώνης· οἱ μὲν βακχευτρίας Σεμέλης· οἱ δὲ Βάκχου τοῦ Διονύσου καὶ Ἀφροδίτης τῆς Διώνης. παρόσον διωνυμία περὶ τὰς θεάς. Πράξιλλα δὲ ἡ Σικυωνία Ἀφροδίτης παῖδα τὸν θεὸν ἱστορεῖ (fr. 8)
βάκχυλον (Nicand. fr. 121)· σποδίτην ἄρτον. Ἠλεῖοι
βάκχον· κλαυθμόν. Φοίνικες
†βάλαικες· δεσμωτήριον καὶ βαλαικάκες
†βαλαιόν· μέγα, πολύ. οἱ δὲ ταχύ h. e. βαλιόν
βαλανάγρα (Herod. III 155)· κλείς
βαλανεύειν· λαμπροφωνεύεσθαι, παρόσον οἱ βαλανεῖς, ὅταν παραχέωσιν τὸ ὕδωρ, κραυγάζουσιν
βαλανεύς (Aristoph. fr. VIII p. 1129)· πολυπράγμων, περίεργος. καὶ παραχύτης
βαλανιομφάλους· οὕτω Κρατῖνος (Fugit. fr. IX) ὠνόμασε τὰς ἐχούσας ὀμφαλοὺς ἄνευ προσώπων, ὁποῖοι οἱ θόλοι ἐν τοῖς βαλανείοις. οἱ δὲ ἀπὸ τῶν ὀμφαλῶν τῶν ἐν τοῖς πυέλοις
βάλανοι· τὰ ἐξηρτημένα τῶν ὅρμων περὶ τὸν τράχηλον (Ar. Lys. 410). καὶ (κ 242) τῶν δρυῶν ὁ καρπὸς (κυρίως. ὑπὸ Ξενοφῶντος [An. I 5, 10]) καὶ ὁ τῶν φοινίκων. καὶ κλεῖδες ...... ⟨Bekk. 225, 10. 13⟩ καὶ ἰατροὶ τὰ ἐντιθέμενα τῇ ἕδρᾳ βαλάνους λέγουσιν (Hippocr. II p. 87 K)
βάλαρες· οἱ βλαισοί. Βαλάρα ⟨βανά⟩ γὰρ γυνὴ παρὰ Βοιωτοῖς
†βαλάσαι· ἀγοράσαι
βαλαύστιον (Disc. I 155)· εἶδος ῥοιᾶς, φέρον ἄνθος ἁρμόζον πρὸς θεραπείαν
βαλβιδοῦχον· τερματοῦχον [41—43]
βαλβίς· ἀφετηρία. καὶ ἡ ἀρχὴ τῆς εἰσόδου καὶ ἐξόδου. καὶ ἡ ἄφεσις τῶν ἵππων. καὶ ἡ θύρα τοῦ ἱππικοῦ. ἔνιοι δὲ καμπτῆρα. καὶ παρὰ Ἱπποκράτει (III p. 273 K) βαλβῖδες τὸ ἔχον ἑκατέρωθεν ἐπαναστάσεις. ἔστιν δὲ καὶ βαθμός. καὶ ἔρεισμα
βάλε· [ῥίψαι. ἢ] ὄφελον (Alcman. fr. 21) [46—52]
βαλήν (Aesch. Pers. 659)· βασιλεύς. Φρυγιστί [54]
βαλία· ὀφθαλμία. καὶ τὸν βάλιον πηρόν Κρῆτες ⟨EM. 186, 27; βάνος, βλάνος⟩
†βαλίαδος· μαινόμενος
Βαλιαρίδες· νῆσοι αἱ περὶ Κύρνον (Paus. X 17, 9). αἱ δὲ αὐταὶ καὶ Γυμνήσιαι
βαλικιώτης· συνέφηβος. Κρῆτες
βαλιῶται· πρόγονοι [60. 61]
βάλλαι· βαθμοὶ ὑπὸ Κυπρίων
βά(λ)λ' ἐς Ἄκραν· οἱ μὲν Ἄκρα(ν) πλησίον Λέσβου· οἱ δὲ Ἀκτήν
βά(λ)λ' ἐς Μακ(α)ρίαν· Ἡρακλέους θυγάτηρ Μακ(α)ρία, ἣν λόγος κατὰ τὴν Εὐρυσθέως .... (cf. Ar. Eqq. 1151)

COD. ⟨9 ἀβάκιον· πεσσόν?⟩ 12 Cf. gl. β 16 17 Διονύσου βακχεύτρια 22 ἡ μία] ἡ μήτηρ? 23 ἀπὸ βάκχου 24 βακχία ⟨26 Bekk. 224, 32⟩ 27 διώνυμα — τραξίλα — συκιωνία 30 Mox βάλεκες ⟨βαλέκ Zonar., alii βάλάκές, βαλάδες, βάλαδε⟩ 31 Cf. βάγιον Post 31 leguntur 141—151 33 παράγωσιν 35 βαλανειο| — ὁποίας οἱ θ. ἐπὶ τῶν ὀφθαλμῶν τῶν ἐ. τ. π. ἐν τοῖς βαλ. 36 τῶν τραχήλων — ἱδρύων — κλίδες 51 ἐλαφρὸν post ταχύν 53 βαλλήν 62 pro βηλοί

HES. 14 βακτρεύμασιν (Eur. Phoen. 1539)· τοῖς ἐρείσμασιν † στηριζομένοις 41 βάλανοι· δρύες. φήμην 42 βαλάντιον· μαρσύππιον ⟨Moer. 96⟩ 43 βαλβῖδες· ὕσπληγες ⟨Moer. 103⟩ 46 βάλλειν (Ν 387)· τρῶσαι, πλῆξαι 47 βάλεκες· δεσμωτήριον ⟨v. βάλαικες⟩ 48 βάλλε (Λ 52)· ἐτίτρωσκεν 49 βάλλετο (Β 43)· περιεβάλλετο 50 βάλλετον· βάλλουσιν. δυϊκῶς 51 βαλίαν ἔλαφον (Eur. Hec. 90)· κατάστικτον, ποικίλον. [Κρῆτες.] ταχύν. [πηρόν, βάλιον] 52 βαλῆ· ...ρα. ἀχρεῖα ⟨l. ἀβαλῆ· νωθρά⟩ 54 βάλλεκα· ψῆφον ⟨balluca, ballux?⟩ 60 βαλαντιοτόμος (non Ar. Ran. 772)· κλέπτης 61 βάλαρις· βοτάνη τρίφυλλος ⟨Ducang.⟩

βαλλήσομεν (Ar. Vespp. 222)· βαλοῦμεν

Βαλλητύς· ἑορτὴ Ἀθήνησιν, ἐπὶ Δημοφῶντι τῷ Κελεοῦ ἀγομένη (Ath. IX 406 D) [67—69]

† βαλοιτήσειρον· παρὰ τὸ διεστραμμένον εἶναι τοὺς πόδας

βαλόν· (tragici) οὐδόν. καὶ οὐρανόν. καὶ βαλός

βάλσαμον· ἀρωματικὸν ἄνθος

βᾶμα· βάσις, βῆμα

βαμβαίνων (Κ 375)· τρέμων τοῖς ποσίν, ἢ τοὺς ὀδόντας ......

βαμβακεύτριαι (Cilices)· μαγγανεύτριαι. οἱ δὲ φαρμακίστριαι. οἱ δὲ ..... λαλοῦσαι· τὸ δὲ βαμβακ(ε)ίας χάριν· φαρμακ(ε)ίας χάριν

βάμβαλα· χειμερινὰ ἱμάτια

βαμβάλειν· τρέμειν. ψοφεῖν τοῖς χείλεσι

βάμβαλον· ἱμάτιον. καὶ τὸ αἰδοῖον. Φρύγες ⟨v. βάβαλον⟩

βαμβαλύζει· τρέμει. τοὺς ὀδόντας συγκρούει. ῥιγοῖ σφόδρα (Hipponact. fr. 17?)

βάμμα· τὸ χρῶμα. καὶ μύρου τι γένος. καὶ τὸ ἔμβαμμα. Συρακούσιοι

βάμμα Κυζικην(ικ)όν (Ar. Pac. 1174)· Κυζικηνοὶ διὰ τὸ Ἴωνες εἶναι ἐκωμῳδοῦντο ἐπὶ μαλακίᾳ

βάμμα Σαρδιανικόν (Ar. Ach. 112 Pac. 1176)· τὸ φοινικοῦν. διάφορα γὰρ ἦν τὰ ἐν Σάρδεσι βάμματα

βανά (Corinn. fr. 21)· γυνὴ ὑπὸ Βοιωτῶν [84]

βαναυσία· πᾶσα τέχνη διὰ πυρός. κυρίως δὲ ἡ περὶ τὰς καμίνους. καὶ πᾶς τεχνίτης χαλκεὺς ἢ χρυσοχόος βάναυσος

βανῆκας· γυναῖκας Βοιωτοί ⟨v. βάττικες et βαλάρα⟩ [87. 88]

† βάνισος· εἶδος θυμιάματος

† βανκόν· μωρόν [91]

βάννας· βασιλεὺς παρὰ Ἰταλιώταις. οἱ δὲ μέγιστος ἄρχων

βαννάται· αἱ λοξοὶ καὶ μὴ ἰθυτενεῖς ὁδοὶ παρὰ Ταραντίνοις. τὸ δὲ αὐτὸ καὶ βάννατροι

βάννεια· τὰ ἄρνεια. καὶ βάννιμα (—να?) τὸ αὐτό ⟨v. βρίννια⟩

βάνος· μωρός. καὶ τυφλός ⟨v. βλανός⟩

† βανθῶσαι· σκοτοδινιᾶσαι

βανούς· ὄρη στρογγύλα ⟨βουνούς?⟩

βανύσει· μωραίνει, ἐπιμαίνεται

βάξις (e. c. Aesch. Pers. 663)· λόγος, φωνή, κληδών

βᾶξον· κατᾶξον. Λάκωνες

βαπαίνει· παρακαλεῖ ⟨cf. p. 180, 20—22 et 322⟩ [202]

βαπτάν (Eur. Hippol. 123)· ἀντλουμένην.

βαπτόν· ......

βάρα· νόσημά τι χαρηβαρικόν. ἢ θρέμματα. Λάκωνες [6. 7]

βαράγχια (Hipponact. fr. 106)· τὰ βραγχία τῶν ἰχθύων

βάρακες (Epilyc. fr. II p. 887)· τὰ προφυράματα τῆς μάζης (Eratosth.). Ἀττικοὶ δὲ βήρηκας. δηλοῖ δὲ καὶ τὴν τολύπην (Lycophro)

βάρακος· ἰχθύς ποιός

† βάρακον· τὸν ἄνουν, καὶ βάρβαρον ⟨v. 1163⟩

βάραξ· ἱέραξ παρὰ Λίβυσι. καὶ φύραμα στρογγύλον, ἀφ' οὗ αἱ μάζαι γίνονται. καὶ ἐρίων τολύπη

βάρβαρα (Aesch. Pers. 634)· ἀσύνετα. ἄτακτα

βαρβαρόφωνοι· οἱ Ἠλεῖοι καὶ οἱ Κᾶρες, ὡς τραχύφωνοι καὶ ἀσαφῆ τὴν φωνὴν ἔχοντες [15—17]

βάρβιτος· εἶδος κιθάρας, ἢ ὀργάνου μουσικοῦ. ἢ λύρα. ἐν Θεσμοφοριαζούσαις (137). οὕτω καὶ βαρβίτῳ ⟨—ιτιῶ Aristoph. fr. CXLI⟩

† βαρβός· μύστρον [20—23]

COD. 70 περὶ — πόδες βάλον  73 βάμα. Deinde ordo erat hic: 76. 78. 77. 74. 75  79 ῥυγᾷ. Cf. παμφαλύζει  80 βάμβα — τι μέρος  83 βάννα. Cf. γάνα et βάλαρες  90 βαῦκος· μωρός Cyr. Dr.  93 βαμβάκτης idem  94 bis —εῖα  95 βάνος, κλάσμα ⟨ad βάγος⟩ μ.  200 βάξον, καταξιον  8 βαράχνια ... ἰχθύων. βάρβαροι· .... μύστρον. βάρακες  9 βήρικας  12 βάρβαξ (Cf. ἄρακος) — ἐρύοντολύπη  15 Cf. 208  18 μουσικόν

HES. 67 βαλλήιαι· οἱ ἀκροβολισμοί  68 βαλμός· στῆθος (Ducang.)  69 βαλλομένων (Ι 574)· καταστρεφομένων  Ad 81: καὶ τὸ ἔμβαμμα. Συρακούσιοι. καὶ μύρου τι [μέρος, ἢ] γένος  84 βαναυσίας· ἰδιωτ(ε)ίας. ἢ ἀλογίας  87 βανοί· τέχναι  88 βανόν· λεπτόν ⟨μανόν? ἐανόν?⟩  91 βαθίοι· τόποι  202 βάρ (v. l. 1 Sam. II 18)· μικρόν  6 βάραθρον· ὄρυγμα. βάθος. γῆς βόθρος  7 βαρακινῆσιν (Iudic. VIII 16)· ἀκάνθαις. σκόλοψι  15 βαρβαρύπην ⟨βαρυόπαν⟩· βαρύφωνον  16 βάρβαροι· οἱ ἀπαίδευτοι  17 βαρβαρισμός· παράτονος διάλεκτος  20 βάρακος· βάτραχος ⟨rec.⟩  21 βαρακίς· γλαύκινον ἱμάτιον ⟨rec.⟩  22 βαρακάκαι· ἅγιοι διαφέραι παρὰ Κελτοῖς ⟨βράκκαι· αἴγειοι διφθέραι⟩  23 βάρδιστοι (Ψ 310)· βραδύτατοι κατὰ ἀντίθεσιν τοῦ ρ̄, ὡς κραδία ἡ καρδία

βαρδῆν· τὸ βιάζεσθαι γυναῖκας Ἀμπρακιῶται
βαρδοί· ἀοιδοὶ παρὰ Γαλάταις
βαρεῖα χείρ· ἡ μιαιφόνος [27. 28]
⟨βαρίβαν (Soph. fr. 471)· τὸν ναυσιβάτην, ⟨ἢ⟩ ἐν ναυσὶν ἐλθοντα⟩
βαρινακέδα· τὸν δούριον ἵππον
† Βαρθει· γένος ἰθαγενῶν ⟨v. Βύρθακες⟩
βάριον· πρόβατον.
βᾶρις· πλοῖον (Herod. II 96). ἢ τεῖχος. ἢ στοά. ἢ πύργος
† βαρισίκται· οἱ μὴ γεννῶντες ⟨βᾶρις· οἰκία [οἱ μὴ γεννῶντες ad 235?]⟩
βάριχοι· ἄρνες ⟨v. col. 227, 28⟩ [36]
† βαρκίων· βοτάνη τις ἐν Αἰγύπτῳ
Βαρκαίοις ὄχοις (Soph. El. 729)· Λιβυκοῖς. οὗτοι γὰρ ἐσπούδαζον περὶ ἱπποτροφίαν. φασὶν αὐτοὺς καὶ πρώτους ἅρμα ζεῦξαι διδαχθέντας ὑπὸ Ποσειδῶνος, τὸ δὲ ἡνιοχεῖν ὑπὸ Ἀθηνᾶς, ὡς Μνασέας ἐν τοῖς περὶ Λιβύης ⟨gl. 87⟩
† βαρμίγκαλλος· ὑπέρκαλ[λ]ος
Βᾶρος· ὄνομα κύριον
βαρρεῖ· ἀπολεῖ (?)
βαρραχεῖν· ἠχεῖν (Paphii?). σκιρτᾶν [43]
βαρύ· τινὲς μέν φασι θυμίαμα εὐῶδες, τὴν βαρεῖαν. δηλοῖ δὲ καὶ μέγα, καὶ χαλεπόν, καὶ ἰσχυρόν, καὶ ἀναιδές
βαρυβρόμου· μεγαλοφώνου
βαρυγέτας (Comicus)· βάρος μὲν ἔχοντας, ὄντας
Γέτας δὲ ὄνομα
βαρύες· δένδρα [48]
βαρυθυμήσαντος· ὀλιγωρήσαντος
βαρύθων· βαρυνόμενος [51. 52]
βαρύκαν· σφῦραν
βάρ(υ)κα· αἰδοῖον παρὰ Ταραντίνοις. καὶ περον .... [55]
βαρὺν ἀστράγαλον· δυσκίνητον
βαρύνει· ὀδυνᾷ κωλύων [58]
βαρύνθην· (βαρυνθῆναι). Αἰολικῶς [60]
βαρύς· κακός. ἀηδής. σκληρός
βαρύστονος· κακοδαίμων
βαρυσυμφορώτατος (Herod. I 45)· βαρέως ⟨βαρυτάτας⟩ φέρων τὰς συμφοράς
βαρὺ τὸ σκαφίον· τοῦτο λέγεται ἐπὶ τῶν δυσαρεστουμένων [65. 66]
† βασαγεῖ· ἀλεσχοῖ [68]
† βασαγικόρος· ὁ θᾶσσον συνουσιάζων. παρὰ Ἱππώνακτι (fr. 107)
βασανεύεται· διελέγχεται. ἢ διακρίνεται. βασανίζεται
βασανιστής· ὁ δημόκοινος. † τί πολλὰ δὲ ὁ διαιτητής, καὶ παρὰ τῶν ἀνδραπόδων τὴν ἀλήθειαν πυνθανόμενος
βασανίτης λίθος (Soph. fr. 925, Antipho)· οὕτω λέγεται Λυδικοῦ λίθου γένος. καὶ λίθος βάσανος, ᾧ παρατρίβοντες τὸ χρυσίον ἐδοκίμαζον
βάσανος· δοκιμασία
† βαθανίαν· νεοσσείαν. Κρῆτες [75]
βασίλειοι δικασταί· παρὰ Ἡροδότῳ (III 14) οἱ βασιλεῖ παράνομον ἐργαζομένῳ ἐναντιούμενοι
βασίλεια· ...... γένος ἰσχάδων (Philemo)
βασίλειον (Cratet. fr. II p. 234)· εἶδος [τυροῦ, καὶ] μύρου
βασίλειος στοά (Dem. 776, 20)· δύο εἰσὶν Ἀθήνησιν † βασίλειοι στοαί, ἥτε τοῦ λεγομένου Βασιλέως † Διός, καὶ ἡ τοῦ Ἐλευθερίου
βασιλειῶντα· βασιλείᾳ ἐπιβαλλόμενον
βασιλεύς· ἄρχων τις Ἀθήνησιν, μυστηρίων προνοῶν

COD. 29 Post 264 legebatur βαρύδανιν, βαρύδαν, τὸν ... ἐλθόντα ⟨30 βᾶριν Ἀχαΐδα? βᾶριν κέλητα?⟩ ⟨37 βαρίων an βαρκί?⟩ 38 ὀχοῖς — ἁρμαζεῦξαι — κνασέας — παρὰ Λιβύοις ⟨cf. 87⟩ 41 Cf. γερρῶ et γάρρης ⟨42 Cf. κάρραξον⟩ 45 βαρυδρόμου 46 EM. 206, 23 βαρυγέταν 49. 50 = 50. 49 49 βαρυθημ| |ίσαντος 50 βαρυζήμενος 62 ὀδυνάων. 63 β. βαρυνθεῖν Αἰολικῶς 66 ἀειδὴς 67 βαρυτοσκαφίον — |ομένων Cf. 229 ⟨69 infra βαστιζακρολέα⟩ Ἱππονάκτῃ 72 βασανιτὴς — χρόμα ⟨74 κάσσης· νεοττείας schol. Lycoph. 131⟩ 76 βασιλεῖς, οἱ δ. 77 imo β. (σῦκα, ὅθεν καὶ βασιλίδες) γ. l. 80 βασιλείαν περιβ|

HES. 27 βαρ (Daniel VIII 2) πύργος, πορμεῖο περὶ ἀμφωδῶν ⟨πορθμεῖον, περιάμφοδον⟩ 28 βαρείας (Α 89)· ἰσχυράς. βλαβεράς Ad 32: καὶ τὸ βαρύ (recens). καὶ τὸ βράδιον ⟨ad βάρδιον⟩ 36 Βάρκη· πόλις Λιβύης ⟨schol. Soph. El. 729⟩ 43 βαρύαρον· ἰσχυρόν. στερέμνιον 48 βαρυκάν· σου ⟨nata e 253⟩ 51 Βαρούχ (I Regg. XXV 32)· εὐλογημένος 52 Βαρθολομαῖος (Matth. X 3)· υἱὸς κρεμάσας ὕδατα 55 βαρυκάρδιοι (Psalm. IV 3)· ἀσύνετοι, μωροί (Greg. Naz. Or. X p. 174) 58 βαρυνθέν (Θ 308) 60 βαρύκτυπος· μεγαλόηχος, μεγαλόψοφος 65 βάς (Ζ 65)· ἐπιβάς 66 βασά· αἰσχύνη. ὅ ἐστι δρῦς (Zachar. XI 2) 68 βασάν (Ps. LXVII 23?)· αἰσχύνη (בושה) 75 βασιλεύει (Matth. II 22)· κρατεῖ, ἄρχει

*βασιλέως ὀφθαλμός* (Arist. Ach. 92 al.)· ἐπέμπετό τις ὑπὸ βασιλέως ἐπίσκοπος, ὃς ἐφεωρᾶτο (τὰ) πράγματα, τοῦ(τον) *βασιλέως ὀφθαλμὸν* ἐκάλουν

*βασίλη*· βασίλεια. Σοφοκλῆς Ἰφιγενείᾳ (fr. 289)

*βασιλίδες*· ὑπόδημα γυναικεῖον, καὶ αὐλητικόν, ὡς Ἐρατοσθένης (p. 206), ἀπὸ τοῦ βασιλέως κληθέντος [85]

*βασιλίνδα*· παιδιᾶς εἶδος, ᾗ βασιλέας καὶ στρατιώτας ἀπομιμούμενοι ἐχρῶντο

(.........) παρὰ Ταραντίνοις δὲ καὶ ἡ Ἀφροδίτη *Βασιλίς*

*βάσιμα*· ἐπίβατα

*βάσιμον*· ἑδραῖον, βέβαιον, στάσιμον. ἢ πορευτικόν

*βάσις*· ὁ ῥυθμός (Pind. Pyth. I 4). δηλοῖ καὶ τὴν πορείαν. καὶ βῆμα. καὶ ὁδόν

*βάσις*· στήριγμα. ἕδρα. στάσις [ad 91]

*βάσκα*· μάκελλα. ⟨v. μάσκη⟩

*βασκαίνει* (Pherecr. fr. VIII p. 343)· λυπεῖ. φθονεῖ. μέμφεται

*βάσκανος*· φθονερός. Σοφοκλῆς (fr. 926) δὲ ἰδίως τὸ *βάσκανος* ἐπὶ τοῦ ἀχάριστος. καὶ ὁ συκοφάντης παρὰ τοῖς ῥήτορσιν (Demosth. 307, 22)

*βασκαρίζειν*· σκαρίζειν. Κρῆτες

*βασκᾶς* (Ar. Avv. 885)· ὄρνεόν τι

† *βάσκε πικρολέα*· πλησίον ἐξαθόαζε. Λυδιστί ⟨v. 269. 315⟩

*βάσκε*· πορεύου (Apoll. lex. 50, 25). λέγε. ἀνάστηθι (Aesch. Pers. 663)

*βάσκειν*· λέγειν. κακολογεῖν. καὶ ἀνίστασθαι

† *βασκευταί*· φασκίδες. ἀγκάλαι [301]

*βάσκιοι*· δεσμαὶ φρυγάνων

*βάσκιλλος*· κίσσα

*βάσκον*· χῶρον ⟨ἐχώρουν⟩

*βάσκου*· πορεύου (?) [6]

*βασσαίας*· τὰς ἐν βήσσῃ γεγονυίας. ἔλεγον δὲ *βήσσας* τοὺς κοίλους καὶ δενδρώδεις τόπους. ἔνιοι τοὺς βασίμους τῶν ὀρῶν

*βασσάραι*· χιτῶνες, οὓς ἐφόρουν αἱ Θρᾴκιαι Βάκχαι ........

*βασσάρη*· ἀλώπηξ. παρὰ Κυρηναίοις

*βασσάρια* (Herod. IV 192)· τὰ ἀλωπέκια οἱ Λίβυες λέγουσιν

*βᾶσσος οὐδετέρως*· ἡ βῆσσα [12]

*βαστά*· ὑποδήματα. Ἰταλιῶται

*Βάστας ὁ Χῖος*· Δημοκρίτου ἐπώνυμον, καθὰ καὶ Εὔπολις ἐν Βάπταις (fr. VIII). ἔστι δὲ ἱστοριογράφος

† *βαστιζα κρόλεα* (Hipponax?)· θᾶσσον ἔρχου. Λυδιστί ⟨269. 297⟩

† *βαστραχηλίζει*· τραχηλίζει

*βάστραχας*· τοὺς τραχήλους. Βοιωτοί

*Βάτα Κάρας*· δύο ταῦτα ὀνόματα. ἐπιγέγραπται δὲ ἐπὶ ἀναθήματος ἐν Σάμῳ ἐν τῷ τῆς Ἥρας ἱερῷ οὕτω· *Βάτα Κάρας Σάμιος Ἥρῃ τήνδε θήρην ἀνέθηκε*

*βάστακας*· τοὺς πλουσίους καὶ εὐγενεῖς ⟨βίστακας q. v.?⟩

*Βάταλος* (Dem. 288, 17 al.)· καταπύγων καὶ ἀνδρόγυνος. κίναιδος. ἔκλυτος

*βατάνια* (Eubul. vol. III p. 223. 265)· [τὰ] λοπάδια. ἡ δὲ λέξις Σικελική [22]

† *βαθάρα*· πυκλιή Μακεδόνες. πυρλός Ἀθαμᾶνες

*βάτας*· ὁ καταφερής. Ταραντῖνοι ⟨v. βαδὰς⟩

† *βατήν*· αἰχμὴν [ad 25]

*βατήρ*· βαίνων. βαδιστικός

*βατῆρα*· τὸ ἄκρον τοῦ σκάμματος τῶν πεντάθλων, ἀφ' οὗ ἅλλονται τὸ πρῶτον (Seleucus)

*βατηρίαν* (cf. Herod. iambogr. fr. 10 et schol. Nic. Th. 377)· ῥάβδον. καὶ *βακτηρίαν*

*βάτης*· πίθηκος. ἀναβάτης

*βάτια*· ὁ τῆς συκαμίνου καρπός (Salaminii). καλεῖται δὲ καὶ *ἄβρυνα* καὶ *μόρα*

COD. 82. 83 = 83. 82  83 *βασίλ*, ἡ βασιλεία  84 ἐπὶ  90 ὀρθμός  92 μακέλη [βασκανία]  93 φθονερὸς [ἀχάριστος συκοφάντης] Σ. βάσκανος ἔπειτα  96 *βάσκας*
τ
⟨105 ἐποχεύου Meinek. Callim. p. 139⟩  7 *βασσέας*  9 *βασσαρίς*, ἀ. καὶ βασσά π. Κ.  10 bis |εια  11 βάσσος  14 *βαστα.όχειος*  Post 14 legebantur 18. 19  15 Cf. κρολίαζε  16 *βαστραχαλίσαι* EM. 191, 11  18 Cf. 14 *Βάστα* bis.  23 ἀθάμαντες ⟨πύελος?⟩  24 *βατάς*  25 *βατήν*· τὴν γῆν Μεσσήνιοι EM. 192, 13  29 *βατία* — καλάμης — ἄβρυνα ἢ μορέα

HES. 85 *βασιλῆα* (*Α* 331)· βασιλέα  Ad 91 ῥυθμός. πορεία. βῆμα. ὁδός  301 *βάσκ' ἴθι* (*Β* 8 al.)· ἐκ παραλλήλου πορεύου  6 *βασμός* (Soph. fr. 1020)· βαθμός ⟨Moer. Att. p. 97⟩  12 *βασταγή*· βάρος ⟨rec.⟩  22 *βαταίνει*· καλεῖ ⟨cf. 201⟩  Ad 25 ἐπορεύετο (*Ε* 778) ἐβάδιζεν ⟨ad βάτην⟩

βατίδες (Epicharm. fr. 30)· εἶδος ἰχθύος πλατὺ ἡ βατίς· διαφέρει δὲ τοῦ βάτου ἰχθύος, ὡς Ἀριστοτέλης (HA. XI 10, 4. 7) ποιεῖ φανερόν [32]

βατίη· φιάλη. οἱ δὲ εἶδος ποτηρίου

Βατιῆθεν· ἐκ δήμου Βατῆς, τῆς Αἰγηΐδος φυλῆς ⟨Βατῆθεν?⟩

† βατῆρος· ἐξ ἐχίνου σφάκελος

βατόν· βάσιμον, ἐν ᾧ δύναταί τις ἐπιβαίνειν

† βάτνος· αὐλός. Μεσήνιοι

βάτος καὶ βατίς· ἰχθύες διαφέρουσιν ἀλλήλων (Epicharm. fr. 30). καὶ ἀκάνθης εἶδος (ω 229) [39—43]

† βάτρα· βάσις, βασιλέως

βατραχίς· ἱματίου εἶδος ⟨schol. Ar. Eq. 1406⟩

βατραχίς· ἱματίου χρῶμα, ὃ βάπτεται ὑπὸ βατραχίου πόας

βατραχίσκοι· μέρος τι τῆς κιθάρας

βάτραχος· ἐσχάρας εἶδος ⟨v. παρφυσίδες⟩

βατταρίζειν (Hipponact. fr. 108)· ἐμοὶ μὲν δοκεῖ κατὰ μίμησιν τῆς φωνῆς πεποιῆσθαι, ὡς τὸ ποππύζειν. λέγουσι δέ τινες ἀπὸ Βάττου τοῦ ἰσχνοφώνου πεποιῆσθαι, ᾧ καὶ ἡ Πυθία εἶπεν·

Βάττ' ἐπὶ φωνὴν ἦλθες (Herod. IV 155)

ἔστι δὲ (παρα)φθέγγεσθαι, ποππύζειν, τραυλίζειν

βατταρισμοῖς· φλυαρίαις

βάττικες· γυναῖκες. Βοιωτοί ⟨v. βαυῆκες⟩

Βάττος· βασιλεύς, τύραννος. Λίβυες: τραυλόφωνος, ἰσχνόφωνος

Βάττο(υ) σίλφιον (Ar. Plut. 925)· παροιμία ἐπὶ τῶν τὰς ὑπερβαλλούσας τιμὰς εὑρισκομένων. Μετενήνεκται δὲ ἀπὸ τοῦ Κυρηναίου(ς) ἑνὶ τῶν Βαττ(ι)αδῶν μεταδοῦναι ἐξαίρετον (τὸ) σίλφιον, ὃ ἐκτετ(ί)μηται παρ' αὐτοῖς, ὥστε καὶ ἐν τῷ νομίσματι ὅπου μὲν Ἄμμωνα, ὅπου δὲ σίλφιον ἐγκεχαράχθαι

Βάττου σκοπιά· χωρίον Λιβύης, ἀπὸ Βάτ(τ)ου

βαῦ· εἶδος ἄνθους

βαυβᾷ· κοιμίζει ⟨—εται?⟩

βαυβᾶν (Trag. adesp. fr. 136)· καθεύδειν

βαύβυκες (Macedones)· πελεκᾶνες

Βαυβώ· τιθήνη Δήμητρος. σημαίνει δὲ καὶ κοιλίαν, ὡς παρ' Ἐμπεδοκλεῖ

βαύζειν· ὑλακτεῖν. ἀσαφῶς λέγειν

βαῦθει· μασᾶται ⟨cf. μάθυιαι⟩

βαυκά (Ararot. fr. II p. 275)· ἡδέα

βαυκαλᾶν· τιθηνεῖν. παιδία μετ' ᾠδῆς κοιμίζειν [64]

βαυκαλιζόντων· τιθηνούντων

βαυκίδες (Arist. fr. XXIII p. 1087)· εἶδος ὑποδήματος γυναικείου

βαυκίζεσθαι· θρύπτεσθαι

βαυκιζόμενον (Alexid. fr. IV p. 486)· τρυφερὸν καὶ ὡραϊστήν

βαυκίσματα· τρυφερώματα

βαυκισμός· Ἰωνικὴ ὄρχησις. καὶ εἶδος ᾠδῆς πρὸς ὄρχησιν πεποιημένον

βαύνη· κάμινος ἢ χωνευτήριον

βαῦνοι· χυτρόποδες καὶ κάμινοι (Eratosth. p. 142). ἔνιοι δὲ καὶ ἐφ' ὧν ἐπικαθίζουσι

βαῦνος· χυτρόπους

βαφά· ζωμός. Λάκωνες

βάφιον· ὀξύβαφον. Ταραντῖνοι

βαχία· τελετή, ἔνοχος χορεία ⟨pro βακχεία⟩

† βάχθει· τέλμα ὕδατος. ἢ βάθος

βάψας (Ar. fr. XXIV p. 1041)· δεύσας. πλεύσας, ἢ (τοι) τὴν κώπην βάψας [79]

βδαλῆται (Hippocr.)· θηλάζηται. ἢ (ἀ)μέλγηται

βδαροί· δρύες. δένδρα ⟨v. βάρυες et δάρυλλος⟩

βδέλλα· εἶδος σκώληκος. ἢ βδέλλιον

βδαλοί· ῥαφίδες θαλάσσιαι. καὶ φλέβες κρισσώδεις (Hippocr. I p. 211 K) [84]

βδελυγμίαις· δυσωδίαις

βδελυγμίαν (Xen. Mem. III 11, 13)· ναυσίαν [87. 88]

βδελυρά· μίσους ἀξία

COD. 31 ἡ βατία 33 βατιθῆ 44 βάτθρα Ross *gr. Inselr.* I S. 61 — ἡ βασίλισσα ⟨ad βαννάτρα⟩ Cyr. 171 45. 46. 47. 48 = 48. 45. 46. 47 ⟨48 Cf. Niclas ad Geopon. p. 1104⟩ 53 ἐπὶ τοῦ 54 ἐπὶ βάτου 58 βαυβυκάνες, πελεκάνες. Cf. 70 59 βαυμῶ — ὥσπερ ἐν πεδοκλεῖ 64 βαυκανιζόντων 68 |εύματα Bekk. 225, 27 74 βάφα 76 τελευτὴ ἐνόχιος ⟨77 Ross *gr. Inselr.* IV p. 210⟩ 80—83 = 83. 80. 81. 82 ⟨80 Cf. Erotian. p. 106⟩ 82 Confundit βελόναι (cf. βέλλαι) et βδέλλαι 85 βδελύγμασι Cyr. 63 86 |ίαι bis 88 |ζη

HES. 32 Βατίεια (Β 813)· πόλις Τρωϊκή 39 βατός· διαπεράσιμος τόπος. ἡ δὲ ἄκανθα βάτος 40 βαταῖς· πορφυρῆσιν ⟨—ίσιν ad βαπταῖς⟩. ἢ ὁδοί⟨οῖς⟩ 41 βαταρισταῖς· τοῖς βαταρίζουσιν ⟨βαττ—⟩ 42 βατεῖν· πορεύειν. πορεῖν 43 βατολογία· ἀργολογία. ἀκαιρολογία ⟨βαττ—⟩ Ad 63: βαυκαλᾶν] κατακοιμίζειν ⟨Moeris⟩ 64 βαυκανήσεται· βοήσεται [βοήσει] ⟨v. βρυκανήσομαι⟩ 79 βδάλλει· ἀμέλγει ⟨Moeris⟩ 84 βδέλεσθαι· κοιλιολυτεῖν 87 βδελυκτός (II Macc. I 27)· μισητός. ἐξουδενημένος. καὶ βδελυρός 88 βδελύξῃ (Sirac. XI 2)· (........)

βδελυροί· μισητοί. κακοί. ἐξουδενημένοι
βδελυρῶν· ὑφορωμένων. μισητῶν [92]
βδελυσσόμενοι· μισοῦντες
βδελύττεται· μισεῖ (Apollod. Cyren.). ὑφορᾶται [95]
βδύλλειν· δεδιέναι, τρέμειν. † βδένεσθαι, κενοῦσθαι κοιλίαν [97]
βεβαδικώς· παρών [99]
βέβαιον· ἀσάλευτον, ἀμετάβλητον
βεβαιῶ· κυρῶ
βεβαιώσεως δίκην· ἐπὶ τῶν ὠνησαμένων τὸ μετὰ ταῦτα ἀμφισβητούμενον
βέβακεν, οἴχεται (Eur. Or. 971)· ἀπέθανεν
βέβακται (ϑ 408)· εἴρηται
βεβάμεν (P 359. 510)· βεβηκέναι
† βέβασις· τὸ † εὐζόμενον
βεβαώς· ἱστάμενος [406]
βέβηκα· ἵσταμαι
βεβήκει· ἥδραστρο, πεπαγίωτο
βεβηκός· ἀσφαλές
βεβηκότας (Archiloch. fr. 58, 3)· βεβαίως ἐνεστηκότας
βέβηλον· τὸ μὴ ἱερόν (Aesch. Suppl. 509). καὶ ἄθεον. καὶ ἀβέβηλον ......
βέβηλος· ἀνίερος. ἀμύητος [15. 16]
βεβίωκα· ἔζησα
βεβιωμένα (Demosth. 315, 5)· ἃ ἐπράξαμεν [19. 20]
βέβλεσθαι· μέλειν. φροντίζειν [22]
βεβλυχασμένον· μεμολυσμένον [24]
βέβλωκεν· ἠρεμεῖ. φύεται [26. 27]
βεβοημένα· διαβόητα
βεβουκόλημαι· πέπαιγμαι. πεπλάνημαι
βεβράδα (Nicostr. III p. 283)· ἀθερίνην
βεβράξαντα· συντόνως κεκραγότα ⟨cf. 13⟩. Λέγουσι γὰρ τὸ ἔνδον τῶν σιαγόνων μέρος βέβρηκας
βεβραμένων· εἱμαρμένων ⟨ἐμβραμένων?⟩
(βεβρασμένων)· τετιναγμένων [34]
βεβρεγμένος (Eubul. fr. V p. 263)· ὑπομεθύων
βεβρενθυ † όμενον· παρὰ Ἱππώνακτι (fr. 109) ὀργιζόμενον
βεβρίθασι (ο 333)· βεβαρημέναι εἰσίν, οἱ δὲ πεπληρωμέναι. Βρῖθος γὰρ τὸ βάρος καὶ ἡ ἰσχύς [38. 39]
βεβριθώς· βαρούμενος
βέβροξ ⟨Macedones?⟩· ἀγαθός, χρηστός, καλός
βεβρός (Hipponact. fr. 64?)· ψυχρός. τετυφωμένος ⟨v. βεμβρός⟩
βεβροτωμένα (λ 41)· ἠματωμένα. μεμολυσμένα [44]
βεβρυχότες· † θυμῷ φωνοῦντες [46]
† βεβηκῶσθαι· πεπρῆσθαι, Θετταλοῖς
βεβυλλῶσθαι· βεβύσθαι ⟨1317⟩
βεβυσμένη· πεπληρωμένη. πεφραγμένη
βεβυσμένον (Ar. Ach. 462)· πλῆρες
(βεβῶσα· βεβηκυῖα ἢ περιβεβηκυῖα (υ 14)
βεβῶτα· βεβηκότα
† Βεβέηκος· ὁ Ἠριδανὸς ὑπὸ τῶν Ἐνετῶν
(βέθρον [Euphorio]· βάθος, δεσμωτήριον)
βειέλοπες· ἱμάντες, οἷς ἀναδοῦσι Λακεδαιμόνιοι τοὺς νικηφόρους (Didymus) [55]
βεικάδες· δέρματα θρεμμάτων νόσῳ θανόντων. Λάκωνες
βείκατι· εἴκοσι. Λάκωνες [58. 59]

COD. 94 Malim (βδύλλει Ar. Eq. 224)· βδ. μ. Vide schol. ⟨96 βδέννυσθαι Cyr. 171⟩ 402 βεβαιώσω. δ. τὸ ἐ. τ. ἠγησαμένων Post 7 legebatur 451 18 |μένων 21 μέλλειν
ά ος
⟨25 φαίνεται Bekk. 223, 28⟩ 29 πέπεγμαι 30 βέβραδα· ἀθα| ⟨cf. 508⟩ 31 τὸ — μέρη ⟨cf. πεφλάζω⟩ 35—40 = 36—40. 35 40 |θῶς — |ένως 43 αἱματώμενα 45 θυμοφονοῦντες 51 βεβαῶσα. Legebatur post 407 53 Βέδεκκος? 53b Cf. βλέορον

HES. 92 βδελύσσεσθαι· κενοῦσθαι τὴν κοιλίαν ⟨v. 396. 384⟩ 95 βδέλλων· τρέμων. ἢ βδέων Ad 96: τρέμειν] ἢ βδεῖν ⟨Moeris⟩ 97 βεβάασι· βεβήκασιν. ἐνεστήκασι. παρεληλύθασι (B 134) 99 βεβαίαν (Hebr. VI 19)· ἀσάλευτον, μέσουσαν Ad 400: β. ἀ.] ἀσφαλές (Sapient. VII 23) Ad 7] β. βεβηκώς (Ξ 477) 8 βέβηκεν· οἴχεται. τέθνηκε (Eur. Alc. 393). πεπόρευται Ad 10] β. ἐπορεύετο (Δ 221) 15 βεβηλοῦνται (Ps. IX 26)· μιαίνονται. ἁμαρτάνουσιν 16 βεβίηκε (K 145. 172)· βεβίασται 19 βεβλημένος (Λ 591)· τετρωμένος 20 βεβλήκει (Δ 108)· ἔβαλε 22 βέβλειν· μέλλειν ⟨v. βέλλειν⟩ 24 βέθηλον (Genes. XXVIII 19)· οἶκος θεοῦ ⟨cf. 86⟩ 26 βεβολημένος (I 9)· βεβλαμμένος. βεβουλευμένος. ἠπορημένος. τεταραγμένος. ἢ τετρωμένος 27 βεβόληντο (I 3)· τέτρωντο 34 βέβρηκες· τὸ ἔνδον τῶν σιαγόνων μέρος ⟨cf. 431 et 14⟩ 38 βέβριθε (Π 384)· βεβάρηται 39 βεβριθυῖαι (v. l. Δ 282)· βαρεῖαι. ἰσχυραί 44 βέβρυχεν (P 264)· ἤχησε 46 βεβρώθοις (Δ 35)· καταφάγοις 55 βείκας· μακράν ⟨βεκάς q. v.⟩ 58 Βεζέκ· ἀστραπή τις. Ἰεζεκιήλ (I 14 spur.) 59 βεικάσθων· κατ' ὀλίγον προβάς ⟨βιβάσθων⟩

βειλαρμοστάς. βειλάρχας. Ταραντῖνοι [61—63]

βείρακες· ἱέρακες

βειράκη· ἡ ἁρπακτική

βεῖριξ· ἔλαφος ⟨v. βέρκιος⟩

βειρόν· δασύ ⟨v. βέῤῥον et βίρροξ⟩

† βειχηλά· νωχελῆ. ἀχρεῖα. Λάκωνες [69—71]

βεκάς· μακράν ⟨v. 455⟩

βεκκεσέληνος· σεληνόπληκτος

βεκός· ἀνόητος

βέκος (Herod. II 2)· ἄρτος. Φρύγες

βεκῶς· μακρόθεν ⟨βεκόσα?⟩

βέλα· ἥλιος, καὶ αὐγή, ὑπὸ Λακώνων

† βελάς· εἴρων, καὶ καταγελαστής

Βελβίνα (cf. Herod. VIII 125)· κώμη Λακωνική

Βελέβατος· ὁ τοῦ πυρὸς ἀστήρ. Βαβυλώνιοι ⟨v. Δελέφατ⟩

† βελεβέκη· βελόνη [82]

βέλεμνα (Ο 484)· βέλη, τόξα (Apoll. lex. 51, 1) [84. 85]

βέλεκος (Aristoph. fr. CXLIII)· ὄσπριόν τι ἐμφερὲς λαθύρῳ μέγεθος ἐρεβίνθου ἔχον

βελλάσεται· ἡλιωθήσεται ⟨βελασῆται Ahrens⟩

βέλλειν· μέλλειν ⟨v. βέβλειν⟩

Βέλλερος· ὑπὸ Βελλεροφόντου κτανθείς. ἢ ὁ Βελλεροφόντης (lex. rhet.)

βέλλιον· ἀτυχές. Κρῆτες ⟨v. γελσόν⟩

† βέλλιαι· εὐκίνητοι [92]

βέλλιρ· τρυφαλία. Λάκωνες [94]

βελλούνης· τριόρχης. Λάκωνες

βελόναι (Ath. VII 319 C)· ῥαφίδες θαλάσσιαι

βελονοποικιλτής· ὁ τῇ ῥαφίδι ὕφη ποιῶν καὶ ζωγραφῶν

βέλος· μάχαιρα. τραῦμα (Ξ 439). ἀκίς. καὶ πᾶν τὸ βαλλόμενον (ι 495. schol. Aesch. Sept. 255). καὶ τὴν ἀλγηδόνα βέλος λέγει (Λ 269)

Βέλτη· χωρίον Φρυγικόν [500]

βελτιωτ(έρ)ας· τὰς βελτίους. Τελέσιλλα (fr. 6)

βελτός· ὁ βλητός

βεμβικίζει· ῥομβεῖ. στρέφει. διώκει ⟨v. βιμβικίζεται⟩

βέμβικος δίκην (app. prov. I 53)· ῥόμβου τρόπον. ἐπὶ τοῦ τὸν φεύγοντα μὴ (ἐπ᾽) εὐθείας τὴν φυγὴν ποιεῖσθαι, ἀλλ᾽ εἰλεῖσθαι

βέμβιξ· ῥόμβος (Callim. ep. I 9). στρέβλα. δίνη. ἡ συστροφὴ ἀνέμου. (κῶνος. τροχός) [6. 7]

βεμβίδιον ⟨βεμβραδιόν⟩· ἰχθύδιον λεπτόν

βέμβλωκεν· ἐντυγχάνει. ἕστηκε. πάρεστι ⟨μεμβ—?⟩ [10. 11]

βεμβρός (Hippon. fr. 64)· τετυφωμένος. πάρετος ⟨v. 442⟩ [13. 14]

Βενδῖς· ἡ Ἄρτεμις, Θρᾳκιστί· παρὰ δὲ Ἀθηναίοις ἑορτὴ Βενδίδεια (Plat. Civ. I 354 A)

βένθεσι (Ν 21)· βάθεσι

βένθος· βάθος (Σ 38). πυθμήν ⟨v. 1112⟩

βερβίνια· ξύλα καθηλωμένα, ἐξ ὧν τὰς ληκύθους ἐκρέμων. οἱ δὲ γένος τι Ἀρκαδικὸν τοὺς Βερβενίους

Βεργαῖος· ὁ ἀπὸ πόλεως Βέργης

Βέργιος· ποταμὸς ἐν Λιβύῃ

βέρεθρον· βάθος. βάραθρον (Θ 14). κατώτατον. ἔσχατον. ἢ πηλώδης τόπος (Apio) ἢ κοίλωμα καταχθόνιον

Βερεκύνδαι· δαίμονές ⟨v. Βρεκύνδαι⟩ τινες. καὶ ῥόμβοι

Βερεκύνται· Φρυγῶν τι γένος. καὶ πρότερον Βερεκυντία ἡ Φρυγία. καὶ αὐλὸς Βερεκύντιος· Βερέκυντα βρόμον Φρύγιον αὐλόν. Σοφοκλῆς Ποιμέσιν (fr. 468)

COD. 60 |όσται Post 68 legebantur 612. 13 ⟨71 β[ε]ίχους Cretice?⟩ 73. 74. 75. 76 = 75. 76. 73. 74 75 βεκός· ἀ. ἢ ἄβητος Φ. 79 βελαίνα 86 βέλλεχυς Post 87 βέλλαι· ῥαφίδες θαλάσσιαι ⟨cf. βδαλοί et βελόναι⟩ 91 βελβός· εὐκίνιτος Cyr. Dr. 501 |ώτας 4 βεμαικός 3. 4. 5. 6 = 5. 4. 6. 3 15 βένδις — βενδιδία 18 λικύνθους 20 βέλγιος 23 |εκύντα βόμον

HES. 61 βείη· ζήσεις (Ω 131). βιώσεις. βιώσῃ (Π 852). πορεύσῃ 62 βείομαι· πορεύσομαι. ζήσομαι (Χ 431) 63 βείωμεν· πορευθῶμεν (Κ 97). ζήσωμεν 69 βείω (Ζ 113)· πορευθῶ 70 βείωνται (λ 503)· καταπονῶνται 71 βεικοὺς (Xen. Cyrop. I 9, 25)· τοὺς πίθους ⟨βίκους⟩ 82 Βελγαῖος· ἀπὸ πόλεως Βέλγης ⟨v. Βεργαῖος⟩ 84 βελέων (Δ 465)· βελῶν 85 βέλεα (Θ 159)· βέλη 92 Βελίαρ (II Cor. VI 15)· δράκων 94 βεελφεγώρ (Num. XXV 3)· εἴδωλον 500 βέλτερον, βέλτιον (Ο 511), κρεῖσσον (Ξ 81), ἄμεινον, κάλλιον 6 βεμεῖ· δονεῖ ⟨ῥέμβει⟩ 7 βεμβεύει· δινεύει ⟨ῥεμβεύει⟩ 10 βεμόλετο (Φ 516)· ἐφρόντισε 11 βεβροντῆσθαι· παραπεφρονηκέναι 13 βεμόριξ· κῶνος. συστροφὴ ἀνέμου. ῥόμβος. στρέβλα. τροχός ⟨βέμβιξ⟩ 14 βεμβρεῖ· βεμβρεύει. δινεύει ⟨ῥεμβ—⟩

*Βερεκυντίας* (Aristoteles)· *ἄνεμος οὕτως καλούμενος*

*Βερενίκης πλόκαμος· τοῦτον κατηστερίσθαι φησὶ Κόνων*

*Βερενίκη· πόλις. καὶ βόλος δέ τις ἀστραγάλων οὕτω καλεῖται*

*Βερενικίδαι· δῆμος Πτολεμαΐδος φυλῆς*

*βερενικίδες· (εἶδος) ὑποδήματος γυναικείου*

*βερενίκιον· εἶδος βοτάνης*

*βέρκιος· ἔλαφος ὑπὸ Λακώνων* ⟨v. *βεῖριξ*⟩

*†βρέκται· φυσσῆται* ⟨*βύκται?*⟩

*†βερκνίς· ἀκρίς*

*†βερνώμεθα· κληρωσώμεθα. Λάκωνες* ⟨*μεριώμεθα?*⟩

*βερρεύει· δραπετεύει*

*βέρρης· δραπέτης*

*βέῤῥον· δασύ* ⟨v. *βειρόν* et *βίρροξ*⟩

*βέῤῥεαι· κληρῶσαι* ⟨*κληροῖ?* an *μέρσεαι· κληρώσῃ?*⟩

*†βερωνετῶν· ἀλλὰ ἀνετῶν*

*βέσκεροι· ἄρτοι ὑπὸ Λακώνων*

*†βεσόν· ἔθος. καὶ ὁ τῶν ἐθῶν ἔμπειρος. Λάκωνες δὲ βεστικὸν τὰ ἔσον* .. [41. 42]

*Βεῦδος· στέμμα τι, καὶ ἱμάτιον γυναικεῖον* (Sapph. fr. 155 Callim. fr. CLV). *καὶ πόλις* (Liv. XXXVIII 15). *καὶ ἄγαλμα* (Hermionenses)

*βῆ· ἔβη, ἐπορεύθη* (Hom.) [45]

*βηβήν· πρόβατον* (cf. Cratin. fr. V p. 40)

*βήζει· φωνεῖ* [48. 49]

*†βῆκα· ἀναδενδράς*

*βῆθι· βάδιζε. μέτρει* (Bekk. 85, 21)

*†βῆμα· πρόβατα*

*βήκη· χίμαιρα*

*βηκώνιον· εἶδος βοτάνης*

*βὴ λέγει* (Aristoph. fr. CVII)· *βληχᾶται. ἢ θύεται*

*βήλημα· κώλυμα. φράγμα ἐν ποταμῷ. Λάκωνες*

*(Β)ήλθης· ἡ Ἥρα. ἢ Ἀφροδίτη* ⟨*Βῆλθις*⟩

*†βηλήσσει· βληχᾶται* ⟨v. 566⟩

*Βῆλος· οὐρανός. καὶ Ζεὺς (καὶ) Ποσειδῶνος υἱός*

*βηλός· οὐδὸς οἴκου. σταθμός*

*βηλοῦ* (*Λ* 591)· *σταθμοῦ* [62. 63]

*βῆμα· πλείονα μὲν σημαίνει κοινότερον. (....) δὲ οὕτως καὶ τὸ λογεῖον, ὥσπερ ἐν ἐκκλησίᾳ* (Dem. 247, 4) *καὶ δικαστηρίῳ* (Ar. Eccl. 678). *σημαίνει δὲ λαὶ τὸ ἐκκύκλημα. ἦν δὲ καὶ ἐν Ἀρείῳ πάγῳ* ..... [65]

*βηματίζει· τὸ τοῖς ποσὶ μετρεῖν. ἔστι δέ πως ἡ λέξις Μακεδονική*

*†βηνῶσα· ἡ φωνὴ τῶν προβάτων* ⟨v. 558⟩

*βήξ* (Hippocr. III p. 671 K)· *βηχίον*

*βήρ· τὸ φρέαρ. Σύροι*

*βηράνθεμον· νάρκισσος. οἱ δὲ Fηράνθεμον λέγουσι* [71]

*†βήρβη· κωδία μήκωνος* ⟨*διὰ μήκωνος;* cf. *βορβύλα*⟩

*βήρηκες· μᾶζαι ὀρθαί. οἱ δὲ ἁπλῶς μάζας. ἄλλοι μάζας ἄνωθεν κέρατα ἐχούσας* ⟨v. *βάρακες*⟩

*βηρίδες· ὑποδήματα, ἃ ἡμεῖς ἐμβάδας λέγομεν* [75]

*βηρίχαλκον· τὸ †μάρανθον Λάκωνες*

*βήρυλλος· λίθος. ἢ βοτάνης εἶδος*

*βῆρυς· ἰχθῦς* ⟨*scarus*⟩

*†βηρυσσεύειν· σπείρειν*

*Βῆσσαι· κλίμακες, κοιλίαι. καὶ ὑδρηλοὶ τόποι. κρημνοί. καὶ τὰ βάσιμα ὄρη. καὶ πόλις* (*Β* 532). *καὶ βάσιμοι τόποι τῶν ὀρέων* [81—84]

*βησ(σ)ίον· ποτήριον*

*βήχιον* (Diosc. III 126)· *βοτάνης εἶδος* [87]

*βητάρμονες* (*Θ* 250)· *ὀρχησταί, οἱ διὰ τῶν ποδῶν ὀρχούμενοι. ἀπὸ τοῦ ἡρμοσμένως βαίνειν*

*βηχίον* (Hippocr. III p. 671)· *νόσος ἐν λάρυγγι* [90. 91]

COD. 25—29 *Βερον*| 25. 26 Verba *Βερονίκη πόλις* legebantur post *Βερονίκης* 34—36 = 35. 36. 34 ⟨34. 35 *βέρης βερεδεύει* EM. 294, 17 40 *βέστον· τὸ ἱμάτιον ὑπὸ Λακώνων, οἱ δὲ βέττον* Diogen. EM. 195, 46 42 *βαίτης crupla* Gl. 52 *βηκίοις· προβατίοις* Galen.⟩ 55 *βήλγει — θύει* 56 *βέλημα* ⟨59 Schol. Hom. *Λ* 591⟩ 64 *λόγιον — δὲ καὶ τὸ κυκλῆσαι γράφεται δὲ καὶ κυεκκλῆσαι* 70—72 = 72. [71.] 70 70 *τηράνθεμον* 77—79 = 79. 78. 77 80 *κοῖλαι*

HES. 41 *βέτεθρον· βάθος* ⟨*βέρεθρον*⟩ 42 *βέτης· τὸ ἀπόκρυφον μέρος τοῦ ἱεροῦ* בית־אל 45 *βεβῆσαι* ⟨*ζῆσαι*⟩· *τὸ βιῶσαι βιῶναι* 48 *βῆ δ' ἄρ'* (*Β* 18)· *ἐπορεύθη* 49 *βῆ δέ* (*Λ* 34)· *ἐπορεύθη δέ* Ad 60 *οἴκου*] *ἀπὸ τοῦ μαίνεσθαι. ὀδός* 62 *βλοσέμεν· σκοτωθῆναι* 63 *βηλῷ* (*Ψ* 202)· *βαθμῷ. βατῆρι. οὐδῷ* 65 *βῆνος· κιβωτός* ⟨*ἴβ—*⟩ 71 *βήραξ· μᾶζα μεγάλη* 75 *βῆρι, μέναι* (*π* 341)· *ὥρμησαν ἰέναι* 81 *βήσσας* (*Ρ* 283)· *ὁμοίως* 82 *βήσσατο* (*Γ* 262)· *ἐπέβη* 83 *βησίσεις* (*Λ* 87)· *τόπους βασίμους τῶν ὀρέων* ⟨cf. *οὔρεος ἐμβήσησις*⟩ 84 *βήσεται* (*Β* 339)· *ἀποβήσεται* 87 *βήσσομεν* (*Λ* 144)· *ἐπιβηβάσωμεν, ἐμβηβάσωμεν* 90 *βία· δύναμις, ἰσχύς, ἀνάγκη* 91 *βιάζεται* (*Λ* 588)· *βιαίως κρατεῖται*

βίαιος· παράνομος
βία πυρός· δύναμις πυρός, ἡ ἀνάγκη
† βιάτωρ· κυάθιον μικρόν, ἤγουν κοχλιάριον
βιᾶται· γυναῖκας βιάζεται
βιβάζει· ὀχεύει, ἐπὶ τῶν θρεμμάτων. ὑβρίζει
βιβάς· βαίνων. ἕρπων
† βίβασις· κοίτη. στιβάς [99—601]
βίδην· εἶδος. κροῦμα. Σοφοκλῆς Ἀκρ(ισίῳ· fr. 57) [603]
ὡς ἐπιψάλλειν βίδην τε καὶ ξυναυλίαν. ἄλλοι βίθυν ⟨cf. βυδοί⟩
† βιζῆαι· κοῖται. στιβάδες [5—7]
ὡς Πολέμων (p. 94 Pr.) ἐν Ἐρατοσθένους ἐπιδημίᾳ
Βῖκας· Σφίγγας (Macedones?)
βῖκος (Hippon. fr. 26 Herod. I 194)· στάμνος ὦτα ἔχων ⟨v. 471⟩
βιμβικίζεται· περικρούεται ⟨βεμ—⟩
Βίμβλινος· εἶδος οἴνου (Hesiod. Opp. 587). καὶ γένος ἀμπέλου ἐν Θρᾴκῃ. καὶ ὁ παλαιὸς οἶνος. Ἐπίχαρμος δὲ ἀπ' ὀρῶν Βιμβλίνων· ἔστι δὲ Θρᾴκης
(βινεῖν· παρὰ Σόλωνι τὸ βίᾳ μίγνυσθαι. τὸ δὲ κατὰ νόμον ὀπύειν)
(βινητιᾶν· τὸ πασχητιᾶν. καὶ τὸ ὄρεξιν ἐπὶ συνουσίαν ἔχειν, Ar. Lys. 715) [14. 15]
(βίον μεμαγμένον· ἐπὶ τοῦ εὐδαίμονος βίου)
βιός (Δ 125)· τόξον, ἀπὸ τῆς κατὰ τὴν ἔντασιν βίας
βίος· ζωή. περιουσία
(βιόσσαο (ϑ 468)· τὸ ζῆν ἔδωκας, βιῶσαι ἐποίησας) ⟨v. ἐβιώσαο⟩ [20]
βιοτεύειν· ζῆν. Θουκυδίδης (I 130)
βιοτῆς (Ar. Vespp. 1452)· ζωῆς
βιοτεύων (Xen. Cyr. IV 6, 2)· συζῶν. συναναστρέφων [24]
βίοτος· τὸ ζῆν, ἡ ζωή. καὶ τὰ πρὸς τὸ ζῆν
βίοτον κατακείρ(ετε δ 686)
† βιορρός· δουλεία ⟨εἴρερος⟩
βιότου· βίου
βιόωνται (λ 502)· καταπονοῦσι. βιάζονται ⟨cf. 470⟩
βιπτάζειν (Sophro Epicharm.)· ἐπιβάπτειν
βίρρη· πυράγρα. οἱ δὲ δρέπανον
βίρροξ· δασύ. Μακεδόνες ⟨v. 536. 467⟩
† βιρρωθῆναι· ταπεινωθῆναι
βίσβην· δρέπανον ἀμπελοτόμον λέγουσι Μεσάπιοι. καὶ ἑορτὴν Βισβαῖα, ἣν ἡμεῖς κλαδευτήρια λέγομεν
† Βίσσαιον· ὄνομα ἐν Ἰλίῳ πολεμ.... [35]
βίσταξ· ὁ βασιλεὺς παρὰ Πέρσαις ⟨v. βάστακες⟩
βιστήνη· ἡ καρδία
Βιστονίς (Herod. VII 109)· Θρᾳκίς [39. 40]
Βισύρας· ἥρως Θρᾷξ. Θεόπομπος δὲ Χερσοννησίτην λέγει † Βισσύρας
βίσχυν (Eupol. VII p. 483)· ἰσχύν. σφόδρα ὀλίγον. Λάκωνες
βιωμένων· βιαζομένων [44]
βιώνης· ὁ τὰ δημόσια ἀγοράζων [46—48]
βίωρ· ἴσως. σχεδόν. Λάκωνες
† βλαί· βλητή. Λάκωνες [51]
βλάβεται (Τ 82)· βλάπτεται
βλάβη· λύμη. φθορά [54]
βλαβυρίαν· εἰκαιολογίαν
βλαβύσσειν· βλάπτεσθαι
βλαγίς· κηλίς. Λάκωνες
βλαδά· ἄωρα. μωρά. ὠμά
βλαδάν· νωθρῶς (ἔχουσαν)
βλαδαρά· ἄωρα. μωρά. ὠμά

COD. 602 βιδῆν· ἰδεῖν Λάκωνες EtG. 104, 13 4 ἀποδημίᾳ 8 βίκας 11 ὁ ἀπολός — ἀπὸ ῥοιῶν ⟨v. EM. 197, 42⟩ 12. 13 Legebantur post 468 βείνειν — σμίγνυσθαι — σοπύειν. βεινητιᾶν (ubi σ valet σημείωσαι) 16. 19 Legebantur post 626. 27 21 βιωτεύειν, τοῦ 22 βιωτῆς 23 βιωτεύων, συνζῶν 25 βίωτος — τὶ πρὸς τὰ — βίωτον Post 26 : 16, post 27 : 19 27 βιωτοῦ βίου quod potest verum esse 41 χέρσαννισυτην ⟨42 Com. Gr. V p. LXXV⟩ 49 βίω, ῥίσως 55 εἰκεο|

HES. Ad 97: διαβαίνων (Η 213) 99 βιβάσσων (Ν 809)· βίᾳβαίνων 600 βιβλία ω (Dem.)· βυβλία. ἐπιστολαί ⟨Moeris⟩ 601 βιβοῦντα· διαλαμβάνοντα 3 Βηρσαβεέ· μήρ Σολομῶντος (II Sam. XI 3). καὶ τόπος περὶ τὴν ὀρεινὴν τῆς Παλαιστίνης 5 βίην Ἡρακλήιην (Ε 638)· περιφραστικῶς τὸν Ἡρακλέα 6 βίῃ (Λ 404)· δυνάμει. ἡ δύναμις (Γ 45) 7 βίηφι (Δ 325)· δύναμις. βία 14 βιοῖο (Α 49)· τοῦ τόξου 15 βιόν (Κ 260)· τόξον 20 βιώτοιο (Η 104)· τῆς ζωῆς 24 βιοῦν καὶ βιωτεύειν ....· βιοῦν μὲν τὸ διάγειν ⟨ἐξάγειν cod.⟩, τὸ ζῆν, βιωτεύειν δὲ τὸ πορίζειν τὰ πρὸς τὸν βίον 35 βίσκαρις· εἶδος βοτάνης ⟨βάκκαρις⟩ 39 Βίστρας· Θράκιον ὄνομα ⟨Βισύρας⟩ 40 βιστιαρίον· τόπος, ἐν ᾧ τὰ χρήματα τίθενται καὶ τὰ ἱμάτια τοῦ κοινοῦ 44 βιῶ (Ζ 113)· βῶ, πορευθῶ 46 βιῷ· τῷ τόξῳ. ἡ τῇ ζωῇ 47 βιῶναι (Κ 174)· ζῆσαι 48 βιώτω (Θ 429)· ζήτω 51 βλάβεν (Ψ 545)· ἐσφάλησαν. ἐστέραντο. ἐβλάβησαν 54 βλάβος· βλάβη ⟨Moer. p. 103⟩

βλαδαρόν· ἐκλελυμένον. χαῦνον
βλαδόν· ἀδύνατον ⟨v. βράδων⟩
βλαδεῖς· ἀδύνατοι ἐξ ἀδυνάτων
βλάζειν· μωραίνειν
† βλαβύρει· πτερύσσεται
βλᾶθρον· φυτὸν πτέρει ὂν ὅμοιον, ὅπερ ἔνιοι βλάχρον ⟨—χνον?⟩ [67]
βλᾶκα· τὸν ἀργὸν Ἀθηναῖοι. ἔνιοι προβατώδη
βλᾶκα· μωρόν
βλακεία· μαλακία
βλακεύει· διατρίβει. ληρεῖ, μωραίνει. νωθρῶς τι ποιεῖ (cf. Hippocr. III p. 96 Khn.). ῥαθυμεῖ. μαλακίζεται ⟨ex onomastico?⟩
βλακεύειν (Xen. An. II 3, 7)· μωραίνειν. εἴρηται δὲ ἀπὸ ἰχθύος τοῦ καλουμένου βλακός
βλακίας· ἰχθῦς ποιός ⟨cf. 677⟩
βλακικώτερα· εὐηθικώτερα
βλάξ (Xen. Cyr. I 4, 12)· μωρός, ἀπό τινος ἰχθύος † δασώδους ⟨μυξώδους⟩. ἢ ὁ διὰ νωθ(ρ)είαν ἡμαρτηκὼς ἐν τοῖς προδήλοις (Plat. Gorg. 298 A)

λ
βλάσκει· λέγει ⟨βάσκει?⟩. καπνίζει
† βλασκείας· ἰχθῦς ποιός ⟨cf. 673⟩
βλάστα (Nic. Alex. 332)· βλαστήματα. πλαταγώνια. Σικελοί [79. 80]
βλάστην (Antiph. com. III p. 129)· φυήν. βλάστημα. βλαστός
βλασταρίζουσα· ἐπικροτοῦσα [83]
† βλάτταν· χόρτος. ἢ λάχανον ⟨v. βλήσσανον, βλίτον, βαίτιον⟩
βλαττοῖ· παιδαριεύεται (οἱ δὲ βλακεύει)
βλαῦδες· ἐμβάδες. κρηπῖδες. σανδάλια. ὑποδήματα ⟨v. βλύδιον⟩
Βλαύτη· τόπος Ἀθήνησι. (οἱ δὲ ὑπόδημά τι)

βλαυτοῦν· ὑποδέειν. ἢ πλήσσειν σανδαλίῳ.
βλαύρια· σανδάλια ⟨βλαυτία⟩
βλαχάν· ὁ βάτραχος ⟨βλίχανος?⟩
βλαχρόν· πόα τις ⟨βλάχνον vel βλᾶχρον⟩

ν σ
† βλαστά· βλαστή Κύπριοι
βλεερεῖ· οἰκτείρει. Βοιωτοί
βλείης (Epicharm. fr. 154)· βληθείης. καὶ βλεῖο (Ν 288). ἔτι
† βλεθράνασιν· ἰχθῦν
βλεκέμυξος· βλακώδης. μυξώδης. εὐαπάτηρος [97]
βλένα (Hippocr. II p. 221 K)· μύξα. οἱ δὲ διὰ τοῦ π̄ πλένα καὶ πλέννα τὰ ἀσθενῆ καὶ δυσκίνητα
βλεννόν (Sophro)· νωθῆ. μωρόν [700. 1]
βλεπάζοντες· βλέποντες
βλεπεδαίμων (Com. anon. IV p. 625)· ὁ ὑπὸ νόσου κατεσκληκὼς καὶ κακόχρους ὑπὸ δαιμόνων
βλεπετύζει· σκαρδαμύττει. βλέπει
βλέπησις· βλέψις (Aristoph. fr. p. 1215)
βλέτυγες· φλυαρίαι. οἱ δὲ βλέκυγες
βλέτυες· αἱ βδέλλαι
βλεφαρίδες (Ar. Eqq. 373)· αἱ ἐν τοῖς ὀφθαλμοῖς τρίχες
βλῆ (Lacones)· βλίσσει. ἀμέλγει. βλίζει
βλήδην· μετὰ τοῦ βάλλειν
βλῆθα· ἄρτος ἐντεθρυμμένος ⟨v. σίβληθρα⟩ [12—14]
βλῆναι· † ἀληθεῖς ⟨βληθῆναι?⟩
βλῆρ· δέλεαρ. τὸ δὲ αὐτὸ καὶ αἶθμα. παρὰ Ἀλκμαίων ἡ λέξις
βλῆραι· αἱ κνῖδαι
HES. 41 διαβάτειν· 42 διαβαίνει (Ios. III 11)· διαπερᾷ 44 διαβήματα (LXX)· πορείας. περιπατήματα 50 διάβουλοι· διπλοῖ. δίβουλοι ⟨δίβολοι· διπλαῖ⟩ 51 διαβουλία (LXX)· ἀμφιβολία: ἐνθυμήματα, διαλογισμοί (LXX; cf. τὰ διαβούλια) 60 διαγγέλλει (Exod. IX 17 Rom. IX 17)· ἀπαγγέλλει. διαδραμεῖ 61 διαγγέλλω· ἀπαγγέλλω, διέξειμι τῷ λόγῳ 62 διάγει (Sirac. XXXVIII 27)· διατρίβει 63 διαγενής· εὐγενής ⟨v. διά⟩ 69 διαγνῶναι (Η 424)· ἐπιγνῶναι 70 διάγνωθι (Deuter. II 7)· νόησον 71 διάγνωσις (Isae. p. 36, 27 St. ap. Moer.) Ad 78] ἀπαλείφειν ⟨Plato ap. Moer.⟩ 80 διαγραφάριος· ὁ ἀπαιτῶν δημόσια Ad 82: διαίρεσιν. διανομήν ⟨ad ΔΙΑΚΟΠΑΝ⟩ 85 διαδέχεται (Sapient. VII 30) 86 διάδηλοι (Genes. XLI 20)· φανεροί Post 87: ἤγουν στέφανος ἢ βασιλέως σύμβολον (I Macc. XIII 32) Post 92: διάδοχος ⟨διάδοκος· διάδοχος? an Sirac. XLVI 1?⟩ Ad 93: ὑπόθεμα τῶν δοκῶν, πλάγιον ὑπόθεμα 97 διὰ δουρός (Γ 61)· διὰ τοῦ ξύλου, καὶ δέρματος ⟨v. ὑπ' ἀνέρος⟩ 98 διαδράκοι (Ξ 344)· θεάσοιτο 1000 διὰ δρυμά (Δ 118)· δι' ὕλην

διαδύει· διαφθείρεται
διαδῦν· διαφυγεῖν [3—5]
διάζευξις· διαχώρισις
διαήσει· διαπνεῖ (ε 478?) [8. 9]
διαθέει· διαφεύγει. διατρέχει
διαθέντε· διαθέμενοι. δυϊκῶς
διάθεσις· σχῆμα. ἀγάπη. ἀπόδοσις (Isocr. 11, 14). προαίρεσις
διαθέσει (Phrynich. com. fr. VIII p. 601)· διακοσμήσει [14]
διαθήκη· συνωμοσία· ἑνικῶς, οὐ πληθυντικῶς τὰς διαθήκας ἔλεγον· δηλοῖ δὲ καὶ διάστασιν, διαίρεσιν, διάκρισιν, διάθεσιν [16]
διαθήσει· τιμωρήσεται, κολάσεται: πράσει ⟨ad διαθέσει (Isocr. Busir. § 14)⟩
διαθήσομαι· †συντελέσω
διαθλέοιμεν· διαγωνιζοίμεθα, κάμοιμεν, ἐργαζοίμεθα· ἆθλος δὲ τὸ ἔργον καὶ τὸ ἀγώνισμα καὶ τὸ ἔπαθλον [20]
διαθρήσαντα· διϊδόντα
διαθρυλλῶ· διαομιλῶ. διαψιθυρίζω [23]
διαίνεται· βρέχεται. δακρύει
διαίνεσθαι ⟨—ε Aesch. Pers. 258⟩
διαιολᾶν· ἐξαπατᾶν. ποικίλλειν
διαιρεῖν (Eur. fr. 103)· διακρίνειν. ἐξακριβοῦν. διαμερίζειν
διαιρῶσα (Dorice)· διαιροῦσα [29]
δίαιτα· θεσμός. διαγωγὴ τροφῆς [ad 30]
δίαιτα τοὐρανοῦ· τὸ φαγεῖν, τὸ πιεῖν
διαιτ(ε)ομένη (Hippocr. II p. 661)· τρεφομένη
διαιτηταί· Ἀθήνησιν ἕτεροί τινες τῶν δικαστῶν, οἷς ἐπέτρεπον οἱ ἀμφισβητοῦντες τὰ ἐγκλήματα, καὶ αὐτοὶ διῄτων· ........ εἰ δὲ μή, ἀνέπεμπον ἐπὶ τοὺς δικαστάς. οἱ δὲ περὶ ἑξήκοντα ἔτη γεγονότες διῄτων [34]
διαιτητής (Menand. fr. V p. 182)· κριτής. βασανιστής
†διαιτητός· ὁ μὴ κατὰ κλῆρον δικαστής [37]
δίαιθρον· διαφανές. καθαρόν. δίυγρον ⟨v. 712 et διερόν⟩
δίαιτρον (Hippocr. II p. 475 K)· δίοπτρον. διαφανές ⟨v. 712⟩ [40]
†διακαλαμάσαρκες. παρὰ Ῥοδίοις ἔριφοι οὕτως εἴρηνται ἐν νόμῳ τινί, οἱ τὴν καλάμην τῶν σπερμάτων ἐπιβεβοσκημένοι
†διάκινον· δυσκίνητον. Κρῆτες ⟨v. 1061⟩
διακαυνιάσαι (Ar. Pac. 1081)· διακληρώσασθαι· καυνὸς γὰρ ὁ κλῆρος [44. 45]
†διακεισομένων· διακειμένων ⟨διακΕCΚομένων?⟩ [47]
διακεκρίσθω· ἀφοριζέσθω
διακέρσαι (Θ 8)· διακόψαι. παραβῆναι
†διακεχειρεῖσθαι· πορθεῖσθαι
διακεχλοιδώς (Comic. II 2 p. 728)· διαρρέων ὑπὸ τρυφῆς ⟨1075⟩
διακίγκλισον (Arist. fr. VIII p. 955)· διάσεισον. κίγκλος δὲ ὄρνεον ἡ σεισοπυγίς
διακλιμακίσας (Plat. com. II p. 656)· διαπαλαίσας. κλιμακες γὰρ καὶ κλιμακισμοὶ παλαισματος εἶδος [54]
διακλονῶν· διασείων. δονῶν
διακναιόμενον (Aesch. Prom. 539)· διαπονούμενον. φθειρόμενον
διακνᾶσθαι (Hippocr. II p. 781 K?)· διαφθαρεῖν [58]
διακομισθείς (Plat. Legg. X p. 905 B)· διελθών. βασταχθείς [60]
†διακόνιν· δυσκίνητον. Κρῆτες [62]
διακονῆσαι· κατεργάσασθαι. ἀπολέσαι. βλάψαι
διακόνιον (Pherecr. fr. VI p. 342)· μάζα ἢ

COD. 1001 διαδύνειν ⟨7 διάη· διαπνεῖ. διαήσει· διαπέμψει Cyr. 39 12 πρᾶσις Eudemus⟩ 13 |θέσειν Post 14] 19 διαθέλοιμεν 15 συμωσία 31 τοῦ οὐρανοῦ 32 ζ ἔτη 32 legebatur post 35 ⟨38. 39 Philol. II p. 217, 8 43 διακαυκανιάσαι 51 |δῶς· διαρέων 52 ἢ σεισοπύλης 53 καίμακες 59 διακοσμιθείς 61 Cf. 1042 62—65 legebantur post 71

HES. 3 διὰ δώματα (Α 600)· διὰ τὰ οἰκήματα 4 διαείσεται (Θ 535)· διαγνώσεται 5 διαειπέμεν (δ 215)· διαλεχθῆναι 8 διαείδεται (Ν 277)· ῥαίνεται ⟨φαί—⟩ 9 διέζετο· διεσχίζετο ⟨v. δαΐζει⟩ 14 δῖα θεάων (Hom.)· ἀντὶ τοῦ διοτάτη 16 †διαθήσεις ⟨μαθήσεις⟩· νοήσεις 20 διάθονται (Herod. I 104 διαθέωνται) 23 διαθρύψεις (Levit. II 6)· συγκόψεις 29 διαίρεσις· τομή, μερισμός Ad 30: ἡ καθημερινὴ τροφή (Iudith. XII 15) 34 διαιτεῖν· διατρέχειν ⟨h. e. διάττειν⟩. διανύειν 37 διαιτός· κριτής ⟨Moer. p. 133?⟩ 40 διαίνεται· βρέχεται, ὑγραίνεται. διαχεῖται, ὑπὸ ὄμβρου βρέχεται 44 διὰ κενῆς (Ps. XXIV 3)· ματαίως 45 διακένῳ (Num. XXI 5)· κούφῳ 47 διακεκριμέναι (ι 220)· διακεχωρισμέναι (non Bacchyl. fr. 44) 54 διακλῶν (Thren. IV 4)· θρύπτων 58 διακοιρανέοντα (Δ 230)· βασιλικῶς ἐπερχόμενον, ἢ ὡς κοίραγγον διαπορευόμενον, διέποντα 60 διακομισθείημεν (Β 126) 62 διακοινώνησον (Ar. Vespp. 1169)· διασείσθητον ⟨—τι⟩ ἐν τῇ πορείᾳ. ἔνιοι πόνησον ⟨δαπάνησον⟩

ζωμός, καὶ ἡ κρηπὶς τοῦ πλακοῦντος. οἱ δὲ πέμματα ἐξαπτόμενα τῆς εἰρεσιώνης (Menecles)

διακονίς· ἐπὶ ὑφῆς ἱματίου † ἀνομάλου, ὅ φαμεν † κονίζειν. καὶ ἄνθρωπος ὁ μὴ πυκνὸς διακονίς

διακονουμένων. ὑπηρετούντων. ἡ ἀποκρίσεις τινὰς ἐκπληρούντων

(διακοπάν· διαίρεσιν, διανομήν) cf. 982 [68]

διακορεῖς Plat. Legg. VIII p. 810 E)· κεκορεσμένοι

διακορεύει· τὴν κόρην διαφθείρει

† διακόρισται· διαπαρθενεύεται [72]

διακοσμησαμένω· διακοσμησάμενοι, δυϊκῶς

† διακορίζεσθαι· βλέπειν, ἀτενίσαι ..... [75. 76]

διακραδαίνοιντο· κινοῖντο. κραδαίνειν γὰρ τὸ κινεῖν

Διακριεῖς· οὐ μόνον Εὐβοέων τινές, ἀλλὰ καὶ Ἀθηναίων· καὶ τόπος τῆς Ἀττικῆς καὶ ἡ χώρα Διακρία, ἡ ἀπὸ Πάρνηθος ἕως Βραυρῶνος

δι' ἄκριας (ι 400)· κατὰ τὰς ἀκρωρείας [80]

διακριδόν (Ο 108)· ἐν διακρίσει ἄριστον. διακριδόν

διακριθέντες (Herod. VIII 18)· χωρισθέντες. (διαστάντες. χωρὶς ὄντες) [83—85]

διακρινομένω· διακρινόμενοι, δυϊκῶς

διακρινομένων· μαχομένων

διακρίνουσιν· διαχωρίζουσιν. μεσιτεύουσι [89]

διακρότως· σκληρῶς. ἀποκρότως

διακρούεσθαι· ἐξωθεῖν. ἢ ὑπερτίθεσθαι, καὶ ἄλλοτε ἄλλως διαναβάλλεσθαι (Demosth. 351, 15)

διακρουόμενοι· διαφεύγοντες

διακρούσασθαι (Demosth. 711, 18)· ἀπορρῖψαι [94]

διάκτορος· ἄγγελος, ἀπὸ τοῦ διάγειν τὰς ἀγγελίας· ἢ οἷον διατόρως καὶ σαφῶς διαλεγόμενος [ad 95] [96]

διακυδόμεναι· διαχεόμεναι

διακυκῶσι· διαταράττουσιν

διακυνοφθαλμίζεται (Com. inc. fr. CXVI)· δινοβλέπεται. διανεύει. ἡ ἀναιδῶς ἀνθίσταται ⟨v. κυν—⟩

διακυρίττεσθαι· ἀντιμάχεσθαι· κυρίως δὲ κριῶν

διακωδωνίσαι· δοκιμάσαι

διακωδωνισθέντες (Lysias EM. 267, 30)· διαφημισθέντες. ὡς ἐπιτοπλεῖστον δὲ ἐπὶ τῶν διαπαιζομένων καὶ χλευαζομένων λαμβάνεται

διακωμφδῶ· διατραγῳδῶ

διακωνῆσαι· διακλύσαι· ἀπὸ τοῦ κωνῆσαι, ὅπερ ἐστὶν πίσσῃ χρῖσαι

διάλ· τὴν ἔλαφον Χαλδαῖοι ⟨אַיָּל⟩

διαλαβεῖν (Ar. Eqq. 262)· παλαιστρικόν τι (σχῆμα)

διαλαβών· διαγινώσκων, [1108] διαχειρίσας, δεξάμενος [ad 1107] [1109] διελών

διαλάμπει· ὡραΐζεται [11]

δι' ἅλα πορφυροειδῆ (Eur. Tro. 124)· διὰ τῆς μελα(ί)νης θαλάσσης

διάλας (Cretice)· τὰς δήλας καὶ φανεράς

διάλαυρος· οἰκία μεγάλη πανταχόθεν λαύραις διειλημμένη, ἡ λεγομένη περιάμφοδος ⟨v. διέλθυρις⟩

διαλεγδόν· διαφερόντως

διαλέγειν· ἀνακαθαίρειν (Xen. Oec. VIII 9). οἱ † δέον ⟨δὲ ?⟩ ἀπιέναι, ἢ ἐκπλεῖν· ἀπὸ δὲ τῶν πεσσῶν ἡ μετραφορά

COD. 74 διακουράζεσθαι EM. 267, 25 78 διακρεῖς, μόνον εὐ. έων — ἀθῆναι — εἰς βαλυλῶνος 79 ἀκρίας — |ρίας 81 post ἄριστον] διακριδόν διαστάντος χωρίσαντος Post 95 legebatur διάκτορσι (sic etiam Cyr. 63). Cf. διατάκτορσι 1102 διαπεζ| 4 διακωνίσαι διακλαῦσαι — κωνῆσαι 7 διαχειρήσας — διελθών 10 ὀραΐζεται ⟨13 v. δάελος, δίαλος⟩ 16 πεσῶν

HES. 68 διακοπή (LXX)· διαίρεσις. διαχωρισμός 72 διακόσμησις (II Macc. II 29) 75 διακεχλιδέναι· θρύπτεσθαι ⟨v. 1051⟩ 76 διακόχλω (Thuc. III 87)· ὁ μεταξὺ χρόνος, καὶ διάστημα χρόνου ⟨v. διοκωχή⟩ 80 διακριβοῦν (II Macc. II 28)· ἀκριβῶς σαφηνίζειν 83 διακριθήται (Γ 102) διακριθείηται, διαλυθείηται 84 διακρινθήμεναι (Γ 98)· διακριθῆναι, χωρισθῆναι 85 διακρῖναι (Psalm. L 4)· διαχωρίσαι 89 διάκρισις· διαίρεσις. φθορά. διάλυσις ⟨ex onomastico, vid. διάλυσις⟩ 94 διὰ κτῆσιν δατέοντο (Ε 158)· τὴν οὐσίαν διεμέριζον Ad 95: ἄγγελος ὁ θεὸς γράφεται διακτόρως εἰρηνικῶς 96 διάκτωρ· διάκονος, ἡ ἄγγελος ἀπαγγέλλων ⟨ficticium⟩ 1108 διαλλαγή· φιλία Ad 1107 δεξάμενος] ἀγαθὸς ἔνδοξος ⟨ad δεξιός⟩ 1109 διαλλακτής· φιλιώτης, μεσίτης 11 δι' ἅλα· διὰ τῆς θαλάσσης

διαλέγεσθαι (Aristoph. fr. XXIV p. 1078)· ἐπὶ τοῦ συνουσιάζειν [18]
διαλεκτικός· πολύλαλος
διάλεκτος· ὁμιλία. λαλιά [21. 22]
διαλελημμένων (Ar. Eccl. 1090?)· διαδεδεμένων. ἢ διακρατουμένων ἑκατέρωθεν ⟨—ένον ter?⟩
διαλελοίπασιν· ἐπαύσαντο [25—28]
διαλέξαι (Ar. Vespp. 350 Ddf.)· διορύξαι
διαλήξεις (Antipho Harp. 57, 22)· διαιρέσεις κλήρου [31]
διαλλαγαί· μεταβολαὶ καὶ διαλλάξεις [Λάκωνες] ἐπὶ τῆς ἔχθρας (Menand. fr. CCIII p. 279)
διαλλαγῶ· διαχωρισθῶ [34]
† διαλλύος· ὁ ἀντὶ ἄλλου διακονῶν [36]
διάλογος· λόγος. ποίημα
δίαλον (Cretes)· φανερόν ⟨1013⟩
διαλύγισμα· διαπλοκή [40]
διαλυγίσαντες· κάμψαντες. περικλάσαντες
† διαλαός· οἱ μὲν ἐπιμύλιδιον δαίμονα· ἄλλοι δὲ παιδιᾶς εἶδος, ἐν ᾗ διαλέγουσι τὰς ψήφους. βούλεται δὲ λέγειν ὁ Κρατῖνος (fr. LVII p. 196) τὸν ἔσχατον τῶν πόρνων
(διαμαξαμένη· διασμηξαμένη. διαψησαμένη)
διαμαρτάνει· ἀποτυγχάνει
διαμαρτυγία· δίκη τις ὁμοία τῇ παραγραφῇ· ταύτῃ δὲ ἐναντία ἡ εὐθυδικία
διαμαρτών· ἀποτυχών, ἢ διασφαλείς
† διάμαστος θεός· καὶ διάματος
διαμάττειν (Ar. Avv. 463)· διαφυρᾶν τὰ ἄλφιτα πρὸς τὸ ποιῆσαι μάζας
διαμάχη (Plat. Legg. I p. 633 D)· μάχη [51]
διαμέλλει (Thucyd.)· ἀναβολῇ χρῆται
διαμεμετρημένην ἡμέραν (Dem. 378, 7. 1252, 12)· ἐπὶ τῶν μεγάλων δικῶν τὴν ἡμέραν ἐμέριζον εἰς διαστήματα (Aristot. Harp.)
διάμεσοι· οὕτως ἐλέγοντο παρὰ Ἀθηναίοις οἱ μέσοι τῶν πλουσίων καὶ πενήτων
διαμέσταν· ἀλαζόνα. ἐξαλλάκτην ⟨1158⟩
διάμετρος· ὄργανον γεωμετρικόν. καὶ τὸ διδόμενον εἰς ἀκουσίας λόγον τοῖς τοὺς σιτικοὺς καρποὺς μετροῦσιν (διάμετρον λέγεται. Dinarchus) [57]
διαμεύστας· ἀλαζόνας [59. 60]
† διαμέττης· ψεύστης, ἀπατεών
διαμηρίσαι· τοῦτο καὶ ἐπὶ παίδων ἀρρένων καὶ θηλείων ἔλεγον (Ar. Avv. 1254)
διάμοιος· ὁ ἀντ' ἄλλου διακονῶν ⟨1135⟩
διαμοιρᾶσαι (Eur. Hec. 1077 Hippol. 1376)· διαμερίσαι
διαμοιρωμένα· διαιροῦσα, καὶ διαμερίζουσα ......
διαμπάξ (Xen. Hell. VII 4, 23)· διόλου, καθόλου. διηνεκῶς. ἐξεναντίας (Eur. Bacch. 993)
διαμπείρας· διακεντήσας ⟨1206⟩
διαμπερές (Hom.)· διόλου. † παραγύρως. σαφῶς (Aesch. Cho. 380). τελείως. διαμπάξ (Xen. An. IV 1, 13)
διαμπερέως (Nic. Ther. 495)· σαφῶς. τελείως
διαμύθησις· παραλογισμός
διαμυλλαίνειν (cf. Ar. Vespp. 1355)· χλευάζειν. ἐπὶ τοῦ τὰ χείλη διαστρέφειν. διαμωκᾶσθαι [72. 73]
διαμφίδιον μέλος· ἀλλοῖον, διαπαντὸς κεχωρισμένον· ἀμφὶς γὰρ χωρίς. Αἰσχύλος Προμηθεῖ δεσμώτῃ (555)
διαμώμενοι (Thuc. IV 26, 2)· διϊστάντες
διαμῶσαι (Eur. Bacch. 709)· † ζητοῦσαι
Δῖαν· μεγάλην ἢ ἔνδοξον· τὸν οὐρανὸν Πέρσαι (Herod. I 131)· καὶ τὴν νῦν καλουμένην Νάξον (λ 325)
διᾶναι· σμῆξαι. πλῦναι [79]

COD. 30 διαλέξεις, διαλέξεις δ. κ. 32 καὶ διαλέξεις 35 διακονῶν (Λάκωνες?) Cf. διάμοιος Post 38 legebatur διαλουφῶν (v. διολουφῶν) 41 διαλυτίσαντες 43 παιδείας 44 legebatur post 50: διαμαψαμένη 51 διμέλαι Cyr. 174 244 διμελαὶ Cyr. Dr. οἰκέται λεπροί. 55 διαμέσταs 62 |ῆσαι — θηλυιῶν 63 διάμοιμος? Theognost. II 65, 2 ἀμοιμὸς κατὰ ἐναλλαγὴν στοιχείων ἀπὸ τοῦ ἀμοιβός ⟨64 schol. l. c.⟩ Post 71] διαμπετρονήσει κτλ.; cf. διαπετρονήσει 75 δεσπότῃ 78 σμῖξαι

HES. 18 διαληχ[μ]ᾶσθαι· διασύρειν. διαμωκᾶσθαι ⟨ex Aelio Dionysio Eustath. 1208, 42⟩ 21 διαλαχόντα· κληρωσάμενα 22 διάλλασσε· διάλυε (monost. 122) 25 διάληψιν· ἐνθύμησιν. ἢ γνῶσιν ⟨φρόνησιν διαγόρευσιν Cyr. 171⟩ 26 διάλημμα· διάστημα 27 διαλήμματος· τοῦ διαχωρισμοῦ 28 διαληλιμμένη· ἠλ(ε)ιμμένη, κεχρισμένη ⟨v. α 2968⟩ 31 διάλεξις· ὁμιλία 34 δι' ἀλλήλων (Ζ 226?) 36 διαλογισμοί· (Rom. I 21)· ἀδολεσχίαι 40 διάλυσις· διάκρισις. φθορά. διαχωρισμός ⟨ex onomastico; cf. 1090⟩ 51 † διαμελεοί· οἰκέται ⟨αἱ αἱ μέλεοι⟩ 57 διαμετρητῷ (Γ 344)· διαμεμετρημένῳ 59 διαμῆσαι· διαθερίσαι. διακόψαι, διατεμεῖν 60 διάμησε· διέκοψε (Γ 359), διέτεμε. διεθέρισε (Η 253) 72 διαμπραθέειν (Η 32)· διαπορθῆσαι ⟨v. διαπρ—⟩ 73 διαμφάδιον (Aesch. Prom. 555)· ἀλλοῖον ⟨v. δημοφάλιον. διαφράγιον⟩ 79 διανκυῦ ⟨διακνυοφθαλμίζεται⟩

διανάπαυσις· οἷον ὁ μεταξὺ χρόνος [81]

† διανδής· πολυχρόνιος. Κρῆτες

διανεῖμαι (Xen. An. VII 5, 1. 13)· διαδοῦναι

(διανείμαντε· διανείμαντες. δυϊκῶς)

διανεκές (A^li^ci)· διαπαντός

διανέμεται· μερίζεται [87]

διανεύει· (σ)τρέφει. κυκλεῖ

(διανεῦσαι (Plat. Parmen. p. 24, 7 Bk.)· διαπλεῦσαι)

διανηξάμενοι· διακολυμβήσαντες. διαπεράσαντες

διανίζει· κρουνίζει. διακλύζει. πλύνει ⟨v. λανίζει⟩

διανίζεται· νίπτεται. καθαίρεται

διάνιον· κονία [94. 95]

διανοοῦμαι· λογίζομαι [97]

διανυκτερεύοντες (cf. Xen. Hell. V 4, 3)· ἀγρυπνοῦντες πᾶσαν τὴν νύκτα

διανυσθῆναι· τελειωθῆναι ⟨v. ἄνυται⟩

διαξιφίσασθαι (cf. Ar. Eqq. 781)· ξίφεσι διαγωνίσασθαι (κυρίως. ἤδη δὲ) καὶ (τὸ) μαχέσασθαι

διὰ πάντων κριτής· Βόηθός φησι ἐν τοῖς περὶ Πλάτωνος (Civ. IX 580 A), ὅτι ὁ νομοθέτης ἐκέλευσε τοῖς κρίνουσιν γράφειν τὰ κεφάλαια ἕκαστον ⟨—α⟩

διαπαρθενεύει· φθείρει κόρας [1208]

διαπατταλευθήσει (Ar. Eqq. 371)· τρόπῳ βύρσης διαταθήσῃ παττάλοις

διαπεπαρμένον· τοῖς ἥλοις πεπηγμένον

διαπείραντες· διακεντήσαντες ⟨1167⟩

διαπέπλιχε· διαβέβηκε· πλίγματα γὰρ βήματα

(διαπεπλίχθαι· διηλλάχθαι τὰ σκέλη, καὶ ἀντιβαίνειν)

διαπεπλιχώς (Hippocr. II p. 838 K)· διεστώς. κεχηνώς ⟨—ός⟩

διαπερᾶναι (Plat. Legg. I p. 625 B)· τελειῶσαι

διαπερδικίσαι (Com. inc. fr. CXVII)· διαλινῆσαι. καὶ διαφυγεῖν ⟨1412⟩

διὰ περιόδων· διὰ κύκλων

διαπεττεύων· μεταφέρων· μετῆκται δὲ ἀπὸ τῶν πεττῶν

διαπεττεύεσθαι ⟨—εῦσαι?⟩· πεττοῖς ἀποπαῖξαι. ἤδη δὲ καὶ τὸ συντελέσαι

(διαπερονήσει· διατρήσει † διατμήσαι, διακόψει, διακεντήσει, προσηλώσει)

† διαπνεύστας· παραλογιστικῶς

διαπέφλοιδεν (Hippocr.?)· (χαίρει) διακέχυται

διαπεφρούρηται βίος· Αἰσχύλος Φρυξίν (fr. 258). οἷον ἡ διὰ τοῦ βίου φρουρὰ συντετέλεσται· ἢ διελήλυθεν ὁ χρόνος [19]

διαπεφυκέναι· διεσχέφθαι. καὶ καθεωρακέναι

διαπηνικίσαι (Cratin. fr. XXIV p. 184)· διακεφαλαιῶσαι. Πηνίκη γὰρ γένος περικεφαλαίας. οἱ δὲ τὸ ἀπατῆσαι, ἀπὸ τῆς πηνίκης [22]

διαπιδύει· διαπηδᾷ

διαπίνειν (Herod.)· προπίνειν. Ἐπιγένης

διαπληκτίζονται· διαμάχονται, φιλονεικοῦσι

† διαπλήσσειν· διέλκειν. διαπλέκειν

διαπλήσσοντες (Aristarch. Ψ 120)· διασχίζοντες

διαποδίζων· βασανίζων, ἐπιμελῶς ἐξετάζων ⟨col. 141, 18⟩ [29]

διαπονδαρίζει (Com. inc. CXVIII)· διαναβάλλεται, διαναρρίπτεται ⟨διαπυδαρίζει?⟩ [31]

διαπόρησις· ἀμφιβολία, ἀπορία

διαπορθμεῦσαι (Herod. V 52)· διαπεράσαι

διαπορθμεύων· διακομίζων [35]

διαπορπακίξαι (Lacones)· διὰ τοῦ πόρπακος; [ad 36] διενεῖραι τὴν χεῖρα [37. 38]

διαπρέπειν· διαφέρειν. προκόπτειν

COD. 84 διανεύματε legebatur post 88 89 διαναῦσαι legebatur post [81]; cf. schol. p. 329 1200 |ήσασθαι 5 |λευθείσῃ — |τεθείσῃ 8 legebatur post 11 11 |ῆσαι, διαλαλῆσαι et q. s. legebantur post 14 15 Cf. post 1171 18 φθορὰ 20 |φρυκέναι 21 διαπηνηκίσαι — πηνήκης 23 διαπηδύει 24 Περιγένης ⟨Com. V p. 93⟩ 36 |ίσσαι — τὸ δισυνείρηται χεῖρα

HES. 81 διάνδιχα (Α 189)· διαφερόντως. χωρίς. ἢ διχῶς 87 διανεμηθῇ (Act. Ap. IV 17)· διαδοθῇ 94 διανοητικόν 95 διανοηθείς (Genes. VIII 21)· μεταμεληθείς. ἐνθυμηθείς 97 διαντεθῆναι· τελειωθῆναι ⟨h. e. ΔΙΑΝΥCΘΗΝΑΙ⟩ 1203 διαπεριτριβαί (I Timoth. VI 5)· ἐνδελεχησμοί, ἐνδελέχειαι 19 διαπέφρυδεν· ἐγείρει ⟨χαίρει⟩. διακέχυται ⟨1217⟩ 22 διαπεφωνήκαμεν (Ezech. XXXVII 11)· ἀπολλώμεθα 29 διαποδισμός· εἶδος ὀρχήσεως, ἢ ἀλμοῦ ⟨v. διποδία⟩ 31 διαπονηθείς (Act. Ap. XVI 18)· λυπηθείς Ad 33: πραιδεῦσαι 35 διαπρήσσειν· κατεναντίον διελθεῖν. καὶ τάσσειν. ἢ σπεύδειν Ad 36: τῆς λαβῆς τὸ 37 διαπραθέειν (Η 32 al.)· ἐκπορθεῖν 38 δι' ἀπορρήσεων· δι' ἀμφιβολιῶν ⟨διαπορήσεων· ἀμφιβολιῶν?⟩

διαπρεπής· ἔκδηλος, ἐπίσημος [41—43]

† διαπρίεται· † διαγοράζει. μαίνεται [45—50]

διαπρύσιον (Hom.)· διαπορεύσιμον. μακρόν (P 247). διὰ πάντων δ(ι)εξιόν. ἐξάκουστον (Θ 227). μέγα (M 439). διάτονον [52]

διαπταῖσαι· σφαλῆναι [54]

διαπτερῶσαι (Hippocr. II p. 57 K)· ἀνευρῦναι. διαστῆσαι. διαπτύσαι ⟨—ξαι⟩

διάπτυε· ......

διαπτύει· ......

(διαπυδαρίζει cf. διαπονδ—)

διαπύλιον (Aristot. Oec. II 14)· τέλος τι παρ' Ἀθηναίοις οὕτως ἐκαλεῖτο

διαπυνθάνεται· ἐρωτᾷ

διαπυρισθέντα· διοργισθέντα

διαπύρσιος (Soph. OC. 1479 ?)· μέγας. διαβόητος

διάπυρος (Alexid. fr. V 7 p. 440)· θερμός ⟨cf. 1425⟩

διαρθρούμενον· ἀκριβούμενον

διαρθροῦν· διαδηλοῦν. (ὁμολογεῖν)

διαριθμουμένην· διαλογιζομένην

διαρικνοῦσθαι (Cratin. II p. 142)· ἐπὶ σχήματος ὀρχηστικοῦ τίθεται. ὁτὲ δὲ ἐπὶ τοῦ συνεστράφθαι ⟨v. διερικροῦντο. ῥικνοῦσθαι⟩

διάρινον· τὸ σίναπυ ⟨v. ἀνάρρινον⟩

διαριπίζεσθαι· διακοντίζεσθαι

διαρκές· ἀρκέσαι μὴ δυνάμενον ⟨ad μὴ δ—⟩

διαρκέσαι (Hippocr.)· βοηθῆσαι

διαρκῆ (Thuc. I 15 an Demosth. p. 37 ?)· ὠφελοῦσαν. ἢ ἐξαρκοῦσαν

διαρκέστατοι· πλήρεις. ἀνενδεεῖς

διαρκῶς· ἀσφαλῶς. δι' ὅλου. ἀρκούντως. δαψιλῶς. ἱκανῶς

δίαρμα· κούφισμα

δι' Ἅρματος· τόπος ἐν Πάρνηθι τῆς Ἀττικῆς

διάρογχας (Hippocr. III p. 178 K)· τὰ μεταξὺ τῶν ἐπιδέσεων διαστήματα

διαροθεῦντα· διασοβοῦντα [79]

διαρραισθέντος· διαφθαρέντος [81—83]

διαρρεῖν· διαχεῖσθαι

διαρρέοντες· χαῦνοι, καὶ διαλελυμένοι

διαρρέουσα· τρυφηλή [87]

διαρρήδην (Demosth. 118, 1 al.)· φανερῶς, σαφῶς

διαρρήκτας· ἐπιβούλους [90—92]

διαρτᾷ· κρεμνᾷ· διαιρεῖ

διαρταμῆσαι (Aesch. Prom. 1023)· διελεῖν, κατακόψαι

(διαρτᾶν· [ ] ἀπατᾶν Menand. fr. CCCLVI)

διάρτασον (Aesch. fr. 311)· διάστειλον ⟨διάγγειλον ?⟩

διαρτίζων· ἄρτια καὶ συνετὰ φθεγγόμενος [98]

διαρτυομένων· καταρτιζομένων

διαρύτειν· ἀντλεῖν

(διαρύτους· διηντλημένους)

δίαρχοι· οἱ Ἑλληνοδίκαι [1303]

διαρωχμίας (Hippocr. III p. 178 K ?)· διαστάσεις ⟨1277⟩

διασαικώνισον (Ar. Vespp. 1169))· ἀντὶ τοῦ διασαλακώνευσον, οἷον τρυφερῶς βάδισον· τοὺς γὰρ θρυπτομένους σαλάκωνας ἔλεγον, ἴσως ἀπὸ τοῦ σαυλοῦσθαι, ὅπερ ἐστὶν θρύπτεσθαι· σαλάκωνα δέ

COD. ⟨44 διαγγρίζεται· μαίνεται ? διαπυρίζεται ? cf. 1260⟩ 53 διασπάσαι 55 διαπτύσαι legebatur ante διαπτερῶσαι 59 διαπυλῶν (cf. Aesch. Ag. 407) Post 63 διαρθροῦν· ὁμολογεῖν 67 ὅταν 86 σύνάπυ ⟨νᾶπυ ?⟩ 70 διαρκεῖς ⟨v. 71⟩ 71 διαρκῆσαι, β. διαρκές (corr. marg.) ⟨77 Cf. 1304; διαροχάς Erotian.⟩ 84 διασχίσθαι 93 διαργεῖ 95 legebatur post 1301 99 διαρτωμένων 1300 διαρυπτεῖν, ἀνατλεῖν 1301 legebatur post 1292: διαρρύτους 5 διασακώνισον ⟨cf. 1062, σαικωνίσαι, σαλακωνίσαι⟩

HES. 41 διαπρέψας (Esth. XIII 3)· λαμπρὰς φανείς 42 διαπρήσουσα (Λ 483)· διατέμνουσα, διασχίζουσα 43 διαπρίζει ⟨—ήσσει⟩· διαπερᾷ 45 διαπρήσσει· τάσσει. ἀπατᾷ, ψεύδεται. διαπερᾷ 46 διαπρήσσοντες (Ψ 120)· διατέμνοντες. καὶ διαπερόντες 47 διαπροόλου, διαμπάξ, διηνεκῶς (vide tamen Eubul. III p. 255 fr. I 24) 48 διαπροδάμναξ, δι' ἐναντίας 49 διαπροδέ (Δ 138)· διαμπάξ, διόλου 50 διαπροδεήσατο, καὶ τῆς (Δ 138) διῆλθε δὲ καὶ δι' αὐτῆς 52 διαπτάντος (Sapient. V 11)· πετασθέντος 54 διαπτεῖν· ὁρμᾶν ⟨ΔΙΑΙΤΤΕΙΝ⟩ 79 διαρραίσει (I 78)· διαφθερεῖ 81 διαρραῖσαι (B 473)· διαφθεῖραι 82 διαρραῖσθαι (Ω 355 ?)· διεφθάρθαι ⟨διερρ—⟩ 83 διαρρέειν ⟨—αίειν⟩· διαπορθεῖν 87 διαρρέουσαι (μ 290)· διαφθείρουσαι 90 διαρρήξας (Marc. XIV 63)· συντρίψας. σχίσας 91 διαρρήξωμεν (Ps. II 29)· ἀπορρίψωμεν 92 διαρρυῆναι (II Macc. X 20)· διαφθαρῆναι Ad 95: διασείειν ⟨h. e. διαττᾶν· διασήθειν⟩. καὶ 98 διαρτίσαι (Iob. XXXIII 6 ?)· ἀναπλάσαι 1303 διὰ ῥωπήϊα πυκνά (Ψ 122)· διὰ χωρίων, ἐν οἷς ῥῶπες φύονται πολλοί. οἱ δὲ ῥῶπες εἶδος φυτοῦ ἱμαντῶδες διὰ τῶν συμφύτων τόπων

φασι τὸν οὐ μὴ δεῖ δαπανῶντα ⟨1062⟩. (διασείσθητι ἐν τῇ πορείᾳ. ἔνιοι δαπάνησον)

† διασάτηρ· διαπαίζειν. Λάκωνες

διασαλακώνισον· διάνυσον (Ar. Vespp. 1169). ἀπὸ τοῦ ἐγκεῖσθαι τὸν σαλάκωνα

διασαρκώνισμα· ἀσελγές τι σχῆμα

διασαρωνίσαι· τὸ προσποιητῶς γελάσαι. τὸ δ' αὐτὸ καὶ σαρ[κ]ωνίσαι ⟨v. διεσαρ—⟩

διασαυλούμενον (Arist. fr. inc. LXVII)· διακινούμενον, καὶ ἐναβρυνόμενον, ἢ διασειόμενον [11]

διάσημος· λαμπρότατος

Διάσια (Thuc. I 126)· ἑορτὴ Ἀθήνησι. καὶ σκυθρωποὺς ἀπὸ τῆς ἑορτῆς ἣν ἐπετέλουν μετά τινος στυγνότητος θύοντες

διασιλλοῦν· διασύρειν

διασιλλοῦσι· διαμωκῶνται [16]

διασκανδικίσῃς (Ar. Eqq. 19 Teleclid. fr. VII p. 374)· διευριπιδίσῃς· ἡ γὰρ τοῦ Εὐριπίδου μήτηρ σκάνδικας ἐπίπρασκε· σκάνδικες δέ εἰσιν εἶδος ἀγρίου λαχάνου

διασκαριφῆσαι· ἐπὶ ὀρνέων τῶν τοῖς ὄνυξι σκαλευόντων τὴν γῆν κυρίως λέγεται [19. 20]

διασκέπτεται· διαλογίζεται

διασκευάζει· κατασκευάζει

διάσκεψις· λογισμός

διασκηνίψαι (v. Nic. Ther. 193)· διαφορῆσαι. διασπεῖραι· διεσκηνίφθη δὲ διεσωματίσθη ⟨v. 1692⟩

διασκίδναται (Xenoph. ap. Poll. VI 194)· διασκορπίζεται

διασμιλεύων· διαξέων ⟨1671⟩

διασπαθᾶν· ἀσελγῶς ἀναλίσκειν

διασπαράττει (Aesch. Pers. 195)· διασπᾷ. διαιρεῖ, διαμερίζει

διασπάσαι (Xen. Cyr. VI 1, 23)· διασπαράξαι. διασχίσαι

διασπᾶσθαι· ὁμοίως [31]

διασταδόν· κεχωρισμένον

διασταθμῆσαι· διελεῖν [34—36]

διαστείχειν· διαπορεύεσθαι, διελθεῖν

διαστείχοντι (Dorice)· διαπορεύονται [39]

διαστείχων (Eur. Androm. 1090?)· διαπορευόμενος

διαστείχουσα· διαπορευομένη, διερχομένη

διαστείχουσι· διαπορεύονται

διαστέλλεται· διαμερίζεται. ἀφορίζεται [post 43] [44. 45]

διάστημα· πόρρω, μακράν

διαστῆσαι· δίχα καὶ χωρὶς στῆσαι. καὶ χωρίσαι

διαστησαμένω· διαχωρίσαντες. δυϊκῶς [49]

διαστοιχισάμενος· διαταξάμενος. ἀκολούθως διαθέμενος [51. 52]

διαστρεφομένη· διαπορευομένη

διάστροφον· στραβόν

διαστύρακοι· οἱ τὴν μὲν κόρην καὶ τὴν ἅλω μέλαιναν ἔχοντες, τὴν δὲ ἶριν ἔνωχρον

διασυκάξαι· διασκεδάσαι. Ταραντῖνοι

διασύρει (Dem. 1482, 27)· διαπαίζει, χλευάζει

διασύροντες (Dem. 332, 14)· χλευάζοντες, παίζοντες

διασφάγες (Herod. II 158)· αἱ διεστῶσαι πέτραι τῶν ὀρῶν

διασφυδῶσαι· αὐξῆσαι

(διασφύξιες)· ἀπὸ τοῦ σφύζειν παρὰ Ἱπποκράτει (vol. II p. 24 K)

διὰ σφῶν· δι' † ἑαυτοῦ

διάσχεσις· οὕτω λέγεταί τις ἐν μουσικῇ (....,) ὡς τὸ διάστημα· Σέλευκος δὲ κροῦσμα μουσικόν (EM. 340, 5) [64]

διασχών· διαστήσας

COD. 7 ἐγκεκλεῖσθαι  13 διασία — εἶναι pro ἦν  15 |σιμοῦσι, |κωμωδῶνται  17 |ίκησις |ησις  26. 27 = 27. 26  26 διασμύχων, διαζαίων  32 διαστατόν Cyr. 171  37—42] post 1349, scriptae διαστι—  38 διαστίχονται  40 |στιχῶν  41 |στιχοῦσα  42 στιχοῦσι  47 χωρισθῆσαι  54 legebatur post 1359 διασφόρον  55 ἅλωσιν — ἔνοχρον  56 διασυκάζαι

HES. 11 διασαφεῖ (II Macc. X 26)· διασαφηνίζει. ἀγγέλλει  16 διὰ Σκαιῶν (Γ 263)· διὰ τῶν ἀριστερῶν, ἢ τῶν πυλῶν τῶν οὕτω καλουμένων  19 διασκεδάσει (Iesai. XLIV 25)· διασκορπίσει  20 διασκελίδα· σπυρίδα, ἣν ἔνιοι διασκάλων (fiscella)  31 διασπιδέος πεδίοιο (Λ 754)· ἤτοι τοῦ μεγάλου πεδίου· ἢ τοῦ περιφεροῦς παραπλησίως ἀσπίδι· ἢ ἐν ᾧ πολλαὶ μαχομένων ἀσπίδες κατέπεσον. λέγειν γάρ· ‚κτείνοντες .... διατενήντε ἄχαλα λέγοντες (755)‘  34 διασταλήσονται (Genes. XXV 23)· ἀφορισθήσονται  35 διαστάντες (Μ 86)  36 διέστησαν (Ω 718)· ἐχωρίσθησαν  39 διαστήκοντι· διαστήσαντι ⟨διασχόντι· δ. Cyr. 171⟩  Post 43: διαστελλόμενον  44 διαστελλόμενον  45 διαστέλλουσα (LXX bis)· ὁμοίως  49 διαστήτην (Α 6)· διέστησαν. δυϊκῶς  51 διαστολή (gl. Rom. III 22)· διάκρισις, διαίρεσις  52 διαστρεπτοῖο (Ε 113)· ἀλυσιδότου. ἐκ συνεστραμμένων τινῶν γεγονότος ὑφαντοῦ  64 διασχῶ

(διατάκτορσι· ἡγεμόσι. βασιλεῦσιν)
διαταξαμένω· διαθέμενοι. δυϊκῶς
διατάξεων· διοικήσεων
διατάττει· διακοσμεῖ. καθηγεῖται
διὰ τάχους (Thuc. II 18, 4)· συντόμως
διατέθεικεν· εἰς συνήθειαν ἤγαγε
διατεθώκηται· διακεχώρισται
διατείνειν· διαρρήδην λέγειν, (ἀπο)λογεῖσθαι
διατείνεσθαι· διαβεβαιοῦσθαι. φιλονεικεῖσθαι
διατείνεται· ἀπολογεῖται. ὁμοίως
διατείνομαι· ὁμοίως
διατεκμαίρει· διαστοχάζει [post 77]
διατεκμαίρονται· σημειοῦνται [79]
διὰ τέλους (—εος Hippocr.)· διαπαντός
διατέμνεται· διασπᾶται. διακόπτεται
διατερσαίνοντες· διαξηραίνοντες [83—89]
διατειχίζειν· ὅταν πολέμου ὄντος συγκλεισθῶσι, τὰς ῥύμας διατειχίζουσιν, ἵνα μὴ εὐκατάληπτοι ὦσιν
διατινθάλεος (Ar. Vesp. 329)· διάπυρος ⟨1384⟩
διατλάς· ὑπομείνας. καρτερήσας. κακοπαθήσας
διατμήξας· λεπτύνας. ἀφανίσας. διελών. διασπάσας. διακόψας (Φ 3)
διάτοιχοι· οἱ ἀπὸ τοίχου ἐπὶ τοῖχον [95]
διάτορον· ἐξάκουστον
διάτορον· ὀξύτονον. καὶ στύραξ
διάτραμις (Stratt. com. p. 791)· διερρωγὼς τὴν τράμιν, τὸν ἀπὸ ὀσχέου ἐπὶ τὰ ἰσχία τόπον· τράμις γὰρ τὰ ἰσχία· καὶ φωνὴ δέ τις οὕτω καλεῖται ὑπὸ τῶν φωνασκῶν
διατρανοῦν· σαφηνίζειν [1400]
διατρήσεις (Hippocr. II p. 115)
διατριβῆναι (Herod. VII 120)· ἀπολέσθαι
διατρίβοιτε· παίζοιτε. παρ' Ὁμήρῳ δὲ διατρίβειν (Δ 42) ἐμποδίζειν. παρέλκειν. παρακρούεσθαι [4]

διατροχάδες· εἶδος ποιήματος, ὡς ἱστορεῖ Πραξιφάνης [ad 5]
διατρύγιος (ω 341)· τρυγήσιμος, ἔγκαρπος, διὰ τὸ τὴν τρύγην ἔχειν. τινὲς δὲ ὁ διὰ μέσων ἀμπέλων κατεσπαρμένος τόπος. οἱ δὲ τόπον ἀγροῦ ἤδη πεπείρων σταφυλῶν· οἱ δὲ ἀνθοῦντα [7]
διαττᾶν (Plat. Soph. p. 226 B)· διασήθειν
διᾴττειν· ὁρμᾶν ⟨1034⟩
διᾴττειν †σθένος· ὁρμᾶν διὰ δυνάμεως
†διατελείαν· τὸ ἄπρακτον παρὰ Σώφρονι· τινὲς δὲ γράφουσι διαγγελίαν [12]
δίαττος· ἡ ἀλευρότησις. τὸ κόσκινον
διᾴττοιεν· βαδίζοιεν. ⸤διᾴττοιεν τρίβον⸥· ὁρμήσουσιν ὁδόν
διᾴττουσιν· διατρέχουσι ⟨v. 1034⟩
διατυποῦται· διατίθεται. διαπλάττεται
†διατύψαι· διασθενοῦ διελθεῖν ⟨διατρυπῆσαι?⟩
διαυγάσαι· φωτίσαι
διαυγεῖσθαι· διορᾶσθαι
διαυγές· λαμπρόν, φωτεινόν
διαυλία· ὅταν δύο ᾄδωσι [ad 21]
διαύλιον· ὁπόταν ἐν τοῖς μέλεσι μεταξὺ παραβάλλῃ μέλος τι ὁ ποιητὴς παρασιωπήσαντος τοῦ χοροῦ· παρὰ δὲ τοῖς μουσικοῖς τὰ τοιαῦτα μεσαύλια (schol. Ar. Ran. 1282)
δίαυλος· μέτρον πηχῶν (σ')
διαύλους· στενοὺς (Eur. Tro. 435) τόπους. ὁδούς [25]
†διαύχην· εὐεξίαν
διαφαίνει· (Xen. Απ. III 10, 5)· διαδείκνυσι [28]
διαφανές· λαμπρόν. διάπυρον (Hippocr. III p. 151)
†διαφαίκωσι·
διαφάσσειν· διαφαίνειν
.......· διασιλλαίνειν ⟨ad διαφαυλίζειν⟩

COD. 66 Cf. 1095 et schol. Aesch. Pers. 456 Ddf. 70 διατάχως 96 διάτονον 96 διατράμις — φωναχῶν 1406 δι' αὐτοῦ — ἔχων 8 διασίθειν 14 διαττυλειν, βαδίζειν. διαττοῖαν, τρίβον et post 15 iterum διαττοιᾶν τρίβον· ὁρ. ὁδ. 22 μέλσεσι 30—32 διαφαίκωσι, διαφαίνειν. διαφάσσειν, διασιλλαίνειν

HES. Post 77: σημειοῦται 79 διατέκμηρμαι· στοχάζομαι 83 διατεύονται (Σ 264)· μερίζονται 84 διατεύοντο (Ψ 121)· ἐμερίζοντο 85 διατινθάλεος· διὰ πυρός ⟨1393⟩ 86 διατιδόκησις· ὑπόνοια ⟨l. διὰ τί· (ἵνα τί). δόκησις· ὑ.⟩ 87 διατιμᾶται ⟨τειμᾶται ordo⟩ 88 διατειχίζεται 89 διατείχισμα (Thuc. III 34, 2. VII 60, 2) 95 διατόνι(α) (Exod. XXXV 11)· κρίκρους 1400 διατρίβει ⟨cf. 959⟩· διάγει, παρέλκει ἐπὶ πολὺν χρόνον ⟨EM. 267, 55⟩ 4 διατροφάς (I Tim. VI 8)· βρώματα Ad 1405: ὄνομα κύριον 7 διατρυφέν (Γ 363)· κλασθέν, ἀντριφθέν 12 διαττερίσαι· διαδρᾶναι ⟨1211 et ἐκπερδικίσαι⟩ Ad 21: γράφεται αἴδωσι 25 δίαυρος δαλός· διάπυρος (Eur. Cycl. 631) 28 διαφανής· ἐπιφανής. ἐπίσημος ⟨ex onomastico; cf. ἐπίσημος⟩

διαφερόντως (Thuc. I 38, 4)· ἐξαιρέτως [37. 38]
διάφλοισβοι· τεταραγμένοι [40. 41]
† διαφοιγοιμόρ· ὑπὸ Λακώνων, ἐπὶ πάσῃ ἡμέρᾳ τῆς τῶν φιλιτίων σιτήσεως [43—47]
διαφλύξιες (Hippocr.)· ὑπερφλοισμοὶ ὑγροί
διαφ(ο)υλλαί (Lacedaem.)· διακοπαί. διαλογαί
διαφρυκτῶσαι· κληρῶσαι. κυαμεῦσαι· ὁ γὰρ κύαμος παρὰ Ἀθηναίοις φρυκτός· ἐλάμβανον δὲ οὐ δικάζοντες τοῦτον ἀντὶ ψήφου
διαφυγ[ετ]εῖν· παρ' ἐλπίδα σωθῆναι
† διάφυσον· φασκίς
† διαφύσαι· διελεῖν
διαφύσσειν· διαντλεῖν. καὶ χωρίζειν
διαφωνεῖν· μὴ συμφωνεῖν
διαχαράττω· ξέω
διαχέαι· διαμελίσαι [58]
διαφέρει· ἀνήκει. πρύχει, ὑπερέχει, βέλτιόν ἐστι
διαφέρονται (Thuc. V 41, 2)· μάχονται
διαφέρεσθαι· βαστάζειν. ἀμφιβάλλειν
διαχειρίζει (Dem. 818, 8?)· διοικεῖ [60]
διὰ χειρὸς ἔχειν· τὸ φυλάττειν
διαχειροτονία· ἡ τῆς χειροτονίας διάκρισις ἐν πλήθει γινομένης
διαχεῖται· διαχέεται. χαίρει
? διαχειρίζεται· φονεύει
διαχεῦαι· διακόψαι
διαχοῦ (Herod. VIII 97)· διαχώννυε
? δ' ἰαχρόν· χλιαρόν ⟨v. ἰαχρόν⟩
διὰ χρόνου (Ar. Pac. 710)· διὰ παντός
διαχρῆσθαι· καταχρῆσθαι
διαχρώμενοι· ἀναιροῦντες [71]
διάχυσις· ἔκστασις ὕδατος. χαρά. σύγχυσις
διαχύτλαζε· διακίνει. πλάτυνε. ἢ διάχει. ἢ διακάθαιρε. ἢ διάκρινε. οἱ δὲ πολλοὶ διύγραινε
διαχωρήσαντε· διαχωρήσαντες. δυϊκῶς
διαψαθάλλειν· διαστέλλεσθαι πρὸς ἔρευναν
διαψαίρειν (cf. Eur. fr. 919)· διακαθαίρειν
διαψαίρουσι (Ar. Avv. 1717)· διαπνέουσι. καὶ ψαίρειν λέγομεν τὸ ἱστίον, ὅταν ἐλαφρῶς διαπνέηται
διαψαλάττεσθαι· τὸ εἰς ἔρευναν διαστέλλεσθαι
διαψηφίζεσθαι (Demosth. 1301, 28)· τὸ ψηφοφορεῖν ἐν δικαστηρίοις
διαψήφισις· ἡ ἐξέτασις τῶν πολιτῶν ἡ κατὰ δήμους γινομένη
διαψοφεῖν· τὸ παραψοφεῖν [82]
† διάβαλον· μέλι καὶ μελίκρατον
δίβαν· ὄφιν. Κρῆτες ⟨v. δίφατον⟩
δίβολον· φᾶρος διπλοῦν ⟨v. 950⟩
διβόλους χλαίνας· οἱ μὲν διμίτους, οἱ δὲ διπλᾶς
δίγαμμα· στοιχεῖόν τι [88. 89]
δίγονος· περιστερά
δίγονος μάσθλης (Soph. fr. 125)· ὁ διπλοῦς. ἢ δυσὶ χρώμασι κεχριμένος [92]
διδασκαλία· παραίνεσις, νουθεσία
διδάσκαλος· πᾶς ὁ ἐνεργῶν τι περὶ τὴν δραματοποιίαν καὶ τῶν κυκλίων χορῶν παρασκευήν
† διδαθχέτωσαν· διδαξάτωσαν
διδασκῆσαι (Hesiod. Opp. 64)· διδάξαι
διδέασιν (Xen. Anab. V 8, 24)· δεσμεύουσι
δίδει (Aeoles)· δεσμεύει [99]
δίδημι (Aeoles)· δεσμεύω
δίδην (Aeoles)· δῆσαι [2. 3]
διδίσσηται (Hippocr. II p. 646)· φοβῆται [5]

COD. 48 διαφρυξίαι 49 Cf. διέφυλλε φουλλόμενοι et φυλλεῖν 50 διαφρυκτος, κλῆρος, κύαμος 63 διαδέχεται 66 διαχώνευε 72 σύγχησις 73 διαχύτλαξε 75 προσερεύνα 78 διαψαλλ| 80 |φοσις 86 διμήτους 91 κεχρημένος 94 |ποιὸν 97 διδείασιν 98 διδεῖ 1501 διδεῖναι 4 διδίσσεται, φοβῆ

HES. 37 διαφθέρσει (Ν 625)· διαφθερεῖ 38 διαφορᾶς· ἔχθρας. βδελυρίας 40 διαφόρημα (Ierem. XXXVII 16)· παίγνιον 41 διάφορον· ἀμφίλεκτον. καὶ ἀνάλωμα διάφορον (Thucyd. ap. Suid.) 43 διαφορώτερον (Hebr. I 4)· κρεῖττον. ὑψηλότερον 44 διαφοροῦντές σε (Ierem. XXXVII 16)· παίζοντές σε 45 διαφράγιον (Aesch. Prom. 555)· ἀλλοῖον, καὶ διάφορον ⟨διαμφάδιον⟩ 46 διάψαλμα (LXX)· μουσικοῦ μέλους ἢ ῥυθμοῦ τροπῆς γινομένης, ἢ διανοίας καὶ δυνάμεως λόγου ἐναλλαγῆς 47 διαφρονέων ⟨—φορέων⟩· διανοούμενος. [1448] καὶ ὁ ἐν διαφορᾷ τινι γεγονώς 58 διαχεθῇ (recens; Levit. XIII 28)· διαχεσθῇ ⟨—υθῇ⟩ 60 διαχέομαι· ἥδομαι. χαίρω 71 διαχύσει (Levit. XIII. XIV)· ἁπλώσει 82 διαβάλανα· κάρυνα Ποντικά ⟨Διὸς βάλανοι⟩ 88 δίγηρες· στρουθοί ⟨δρῖγες⟩ 89 δίγλωσσον (Sirac. XXVIII 13)· διχόθυμον 92 δίδραγμον (Exod. XXX 13)· τὸ τέταρτον τῆς οὐγκίας 99 διδεῖε· ἔδεισαν ⟨δίδη (Λ 105)· ἔδησεν⟩ 1502 διδίσκετο (σ 121)· ἠσπάζετο 3 διδόντων (μ 54)· δεσμευόντων 5 διδήμονες (Γ 56)· δημοί. ἄθλιοι

διδυμάονε (E 548 Z 26)· οἱ δίδυμοι. Ἀδελφοὶ δὲ οἱ κεχωρισμένοι τοῖς σώμασιν ἐν μιᾷ γαστρὶ γεγεννημένοι· οἱ δὲ συμφυεῖς δίδυμοι λέγονται [7]

διδυμίου ῥίζα (Hippocr. Galeni)· βοτάνης εἶδος. καὶ ὁ ὄρχις δὲ οὕτως λέγεται

δίδυμοι (Ψ 641)· παρὰ τῷ ποιητῇ διδύμους ἀκούουσι τοὺς διφυεῖς, διδυμάονας δὲ οὓς ἡμεῖς διδύμους. δηλοῖ δὲ καὶ δύο [10. 11]

διεβάλλοντο· ἐξηπάτησαν

διέβη· παρῆλθεν. ἐπέρασε

διεβλήθη (Hippocr. ap. Erotian.)· ἐξηπατήθη [15. 16]

διεγείρω· ἐξυπνίζω

διεγγύησις (Dem. 724, 6)· ἡ γινομένη ἐγγύησις τῶν εἰς τὸ δεσμωτήριον ἀπαγομένων

διέγνωκα· κέκρικα [20. 21]

διέγραφεν· διέξυε

διέδην· διὰ τέλους

διεδοίδυκισε (Com. fr. inc. CXIX)· διέτριψε, τὴν χεῖρα στρογγύλην ......

† δέδορκα· πόπανον παρὰ Συρακουσίοις τετρημένον, δι' οὗ ἔστι διαβλέψαι

διέδρα· ἀπέδρα. καθέδρα (?)

δίεδρος· διαφανής (Hippocr. p. 546, 43). ἡ λαμπρὰ καθέδρα (Callixenus Ath. V 197 B)

διέζευκται· κεχώρισται

διέθεε (Xen. Hell. VI 5, 26) διέτρεχε

διέθηκεν· ἐτιμωρήσατο [31]

διειδής· λαμπρόν, διαυγές. εὔδηλον [33—37]

διειληφότες· ἀντὶ τοῦ νομίσαντες

δίειμι· διέρχομαι [40—43]

διεῖπε (B 207?)· περιεῖπε. μετήρχετο [45]

διείργων· κωλύων [47]

διείρηται Plat. Legg. 809 E)· διήγγελται

διείς· ἀνείς. καὶ διηθήσας (Hippocr. Sotades Ath. 293 D). διαπέμψας. ἀφείς [post 49]

δίεισι· προέρχεται. διέρχεται

† διειλοκομπάσας (Hermipp. fr. inc. X)· σχιᾷ καὶ κόμπῳ ἐξαπατήσας [52. 53]

διειρύσαι· διαστῆσαι. διελκύσαι (Herod. VII 24)

διεισόμεθα· διαπορευσόμεθα. διαγνωσόμεθα

διεκάναξε (Eur. Cycl. 157)· διέσεισε. διεσάλευσε ⟨v. ἐκάμαξε⟩ [57]

διεκδικεῖ· διεξέρχεται. τιμωρεῖται

διέκδυσιν· ἀπόδρασιν ⟨1535⟩ [60]

δι' ἐκ θυρῶν· τοὺς νεκροὺς οὕτω φασὶν ἑδράζεσθαι, ἔξω τοὺς πόδας ἔχοντας πρὸς τὰς αὐλίους θύρας ⟨cf. ἀνὰ πρόθυρον⟩

διεκναίσθη· ἀπώλετο

διεκνημώσατο· διέφθειρε

διεκομισάτην· δυϊκῶς. διεκόμισαν

διεκόρησε· διέφθειρε κόρην, διεπαρθένευσε

διεκπαίσαντες· διεκτρήσαντες [67]

διεκρίθησαν· ἀπελύθησαν. ἐπαύσαντο [69]

διεκρινάμην· διέστησα, διεχώρισα. ἐδοκίμασα

διεκρινά(την)· διέκριναν. δυϊκῶς

διεκρουσάμεθα· ἐξεβάλομεν

διεκτελέστερον· ἀκριβέστερον ⟨1560⟩

διελάφυξας· διεφόρησας, ἀνήλωσας. λαφυγμὸς γὰρ ἡ διαφόρησις ⟨διαρρόφησις?⟩ ἢ διακένωσις

διελέγχοντος· αἰσχύνοντος. μεμφομένου [76—80]

COD. 6 |νες, οἱ 24 διεδοίκισε, διέστρεφε 25 τετριμμένον — διβλέψαι ⟨27 Cf. δίαιτρος et διερός⟩ Post 35] διεικνείσθω· κτλ.; cf. 1792 43. 44 διέπει διεῖπε περιέρχεται. π. μ. 54 |ρῦσαι 56 διεκάνεζε 58 διεκδικᾷ 62 διεκλήσθη ⟨διεσκλήθη?⟩ 63 δισκνημήσατο 64 |ησάτην |ησα 66 διεκπέσαντες, διατρω| 71. 70 = 70. 71 71 διέκρινα 74 legebatur post 1589 80 διῆλαν

HES. 7 διδάσκων· φεύγων 10. 11 δίδυξ· τὸ τριβήδιν τοῦ ὀλβίου ⟨gr. barb.⟩ 11 δίε (E 566)· ἐφοβεῖτο. ἐδεδοίκει 15 διέβην· διὰ τέλους. δι' ἑαυτοῦ ⟨ad διέδην et δι' ἔθεν⟩ 16 διεβοήθη (Genes. XLV 16)· ἀνεφανήθη ⟨l. ἐνεφανίσθη⟩ 20 διέγνων 21 διεγκρινισάμενοι· διακρίνοντες ⟨διευκρ—⟩ 31 διεθρύβη (Habac. III 6)· ἐκλάσθη. διετρίβη 33 διείεται· διυλίζεται ⟨v. διίεται et διηθεῖται⟩ 34 διειέντα· διαπέμποντα ⟨v. διϊέντα⟩ 35 διεκδύσαι· ἀποδράσαι ⟨v. διέκδυσιν⟩ 36 διεικνούμενος (Hebr. IV 12)· διερχόμενος. διαδυόμενος ⟨cf. διηκ— διικ—⟩ 37 διεῖλεν (Genes. XXXII 7)· ἐμέρισε 40 διείρεο (A 550)· ἐρώτα 41 διειπειτέος (P 263)· χειμάρρου πληροῦντος διὰ τοῦ Διὸς ὄμβρον 42 διειπε (K 425) 43 διέπει· περιέρχεται (cf. 1650) 45 διείραιε (ω 478)· διερωτᾶν 47 διείρεο (A 550)· ἐρώτα Post 49: ἀπλώσας (Deuteron. XXXII 11) 52 δίειξις· διάστασις 53 διειπεῖν (non Soph. OT. 394)· διηγήσασθαι. διαλεχθῆναι ⟨v. διαειπέμεν⟩ 57 διεκβάδην (Ierem. XII 12)· δίοδον 60 διεκθέστερον· ἀκριβέστερον ⟨διεκτελέστερον⟩ 67 διέκριναν (P 531) 69 διεκρίθη (Rom. IV 20)· ἐμερίσθη. ἐδίσταζεν. εὐλαβήθη 76 διελέγχωμεν (Iesai. I 18)· εἰς ἔλεγξιν ἀλλήλων ἔλθωμεν ⟨διελεγχθῶμεν⟩ 77 διελεῖ (Daniel. XI 39)· μερίζει. ἐπικρίνει 78 διέλειπεν (LXX)· ἐπαύσατο 79 διελέξατο (Δ 407 al.)· διελέγετο 80 διελέσθαι σκῦλα (Psalm. LXVII 13)· διαμερίζεσθαι πραῖδαν

διελέτην· διεῖλον. δυϊκῶς ⟨v. ἐλέτην⟩
διελευσόμεθα· παρερχόμεθα [83. 84]
† διέλθατε ⟨—σατε?⟩· κυκλεύσατε [86. 87]
† διέλθυρις· διάμφοδος
διελκυστίνδα· παιδιά τις οὕτω καλεῖται ὑπὸ τῶν παίδων ἐν τῇ παλαίστρᾳ (Poll. IX 112)
διελινήσατο (Com. IV p. 634)· ἐξέφυγε [91]
διελομένου· ἐπικρίνοντος. διαχωρισαμένου [93]
διελών· διαμερίσας. διανείμας
διεμοιρήσαντο· διεμερίσαντο
διεμύλλαινε (Ar. Vespp. 1315)· τὰ χείλη διεκίνει καὶ διέστρεφε μυσαττόμενος
διέμπληντο· ἐνε(πε)φόρηντο
δίενος· διέτης
† διεναντίας· ἔχθρας
? διένειμε· διεμέρισε
? διενειμάτην· διενείμαντο. δυϊκῶς
δι' ἔνδειαν φρενῶν· διὰ μωρίαν
διενεγκόντα· κρείττονα φανέντα, ἢ διαφέροντα
διενεγυάσαμεν· ἐνεχυρισάμεθα ⟨διηγγυήσαμεν⟩
διενήνοχε· διαφέρει. παραλλάττει
διενηνοχότων· διαφερόντων
διενηνοχώς· ὑπερέχων
δίενται (Ψ 475)· διώκονται [1609]
διεξαγάγῃ· διεξενέγκῃ
διεξάγω· ὁδηγῶ [12. 13]
διέξεισι· διεξέρχεται
διεξιφίσω (Ar. Eqq. 781)· διεμαχέσω
διεξιών· λέγων, διηγούμενος [17]
διεξοδικῶς· πλατέως

διεπάλυνεν (Eur. Phoen. 1159)· διη..χασε. διεραπίσθη
† διεπαχήσατο· διεπράξατο [21]
διέπει· διοικεῖ. ἐπιστατεῖ, διατάσσει
διέπερσας (Antimach. fr. XXIV)· ἐπόρθησας ⟨—ατε?⟩
διεπεραίνετο· ἠνύετο [25]
διεπέφραδεν (Σ 9 al.)· ἐνετείλατο. διεσήμηνε
διεπέφρακτο· διέφθαρτο (sc. τὴν ἀκοὴν)
διεπληκτίζετο· διεμάχετο, ἐφιλονείκει
† διέποντα· πληροῖ
διεπόρθμευε· διὰ σκαφιδίου ἔπλεε
διέπουσιν (Λ 166)· ἐνεργοῦσι. κατορθοῦσι. διαπονοῦσι [32—34]
διέπρησ(σ)ε· διεπέρασε
διερά· ὑγρά. ἢ σεσηπότα [37]
διεργάθοι· διαλύσειεν
διερείξας· διασχίσας
διερέσσοντας· διασείοντας (Eur. Tro. 1258) [ad 40] διαπερῶντας
διερέττοντα· διαπαντὸς κωπηλατοῦντα [42. 43]
διερευνᾷ (Attici)· ἀναζητεῖ
διερόν· ὑγρόν. χλωρόν (Aesch. Eum. 263). ζωόν. ἔναιμον· ὑγρὸς γὰρ ὁ ζῶν, ὁ δὲ νεκρὸς ἀλίβας
διερός (ζ 201)· ζῶν: λαμπρός. περιφανής ⟨v. δίεδρος⟩
διερούς· διύγρους
διέρπει (Nic. Ther. 297)· διέρχεται ⟨1543⟩
διερ(ρ)ικνοῦντο (cf. Cratin. fr. IV p. 142)· ἐκάμπτοντο· ἡ γὰρ ῥικνότης καμπυλότης ἐστίν, διὸ καὶ τὸ γῆρας ῥικνὸν λέγεται. οἱ δὲ· ἐκίνουν τὰς ὀσφῦς ἀσχημόνως ὀρχούμενοι

COD. ⟨88 ἔρθυρις EM.⟩ 89 |στί, δαπαιδία Post 89] 1574 90 legebatur post 1605 scripta διεΝνήσατο 94 διαμοιρήσαντος 97 δίεννος ⟨δίενα· διετῆ!⟩ 4. 5. 6 = 6 (διενενηχώς). 4. 5 Post 5] 1590 15 |φήσω 19 διέπλυνεν ⟨διεχλεύασε, διερράπισεν Meinek.⟩ 26 ἐνελήλατο 27] post 22 διεπέμφρακτο scripta ⟨διεμπέφρακτο?⟩ 28 |νίκει 39 διερείσας Post 42] 48—51 46 λαμπρὸς ζῶν 49 ὀφρῦς 49—51 Cf. post 42

HES. 83 διελειήσαν· τὴν δείλην διεξαγαγών. δειπνήσας 84 διέλιτην ⟨v. διηλίτης, διλίτης⟩· δόλιον, κακοῦργον: καὶ πανταχοῦ διερχόμενον ⟨διηλύτης⟩ 86 διέλθῃ (LXX)· διαπεράσῃ 87 διέλθωμεν (Luc. VIII 22)· διαπεράσωμεν 91 διελόησας (ρ 599)· τὴν δειλὴν διαίταν 93 δίελος· δείλη ὀψία 1609 δι' ἐντεύξεως (I Tim. VI 5)· διὰ παρακλήσεως 12 διεξειμέναι (Ζ 393)· διεξελθεῖν. διαφθεῖραι ⟨v. ἐξιμέναι⟩ 13 διεξερέεσθαι (Κ 432)· (δι)ερωτᾶσθαι 17 διεξόδοις (Psalm. I 3)· ὅθεν ἐκπορεύονται 21 δίεπε· διεῖπε. διέτασσε (Β 207). διεξῆλθεν ⟨δίεσχε⟩. εἶπε (Κ 425). Cf. 1542 25 διέπεσεν (Deuter. II 14)· ἀπέθανε 32 διέπρησσον (Β 785 al.)· διεπορεύοντο. διήνυον (Γ 14). διεπέρων 33 διεπράθομεν (Α 367)· ἐπορθήσαμεν 34 διεπρίοντο (Actt. Ap. VII 54)· ἐθυμοῦντο. ἔτριζον τοὺς ὀδόντας 37 διεργάσει (Eur. Hipp. 613)· φόνευσον (Eur. Hec. 369) Ad 40: διασχίζοντας ⟨h. e. διαρρήσσοντας⟩ 42 διερειδόμενα (Eur. Hec. 66)· στηριζόμενα ⟨—ένη⟩ [τοὺς ὀδόντας 43 διερμηνεύων· σαφηνίζων

διερρίπισε· διεσκέδασεν· ὡς ἐκ τῆς ῥιπῆς, ἥτις τὸν ἄνεμον δηλοῖ [51]
διερυμβονήσατε· διεφορήσατε
διέρχεσθον· διέρχεσθε. δυϊκῶς
διέρχεται· ἀναγινώσκει [55. 56]
διερῷ ποδί (ι 43)· ὑγρῷ ἔτι ἀπὸ τῆς βάσεως ποδί. οἱ δὲ ζῶντως, ἐνεργῶς
διεσαρώνισε· διέσυρε. κατεγέλασεν. οἱ δὲ διέχανε ⟨1309⟩ [59—61]
διεσίλληνε· διεχλεύασε
δίεσιν· διαχωρισμόν
δίεσις· παρὰ τοῖς μουσικοῖς καλεῖται μέρος τι τόνου
διεσκεδάννυ· διεσκόρπιζε [66—68]
διεσκευασμένον· διατετυπωμένον
(διεσκλήθη cf. διεκναίσθη)
διεσμιλευμένων· λεπτολογηθέντων
διεσμιλευμένως· ἠκριβωμένως (1326)
διεσοῦτο (Dorice?)· διήρχετο [73—75]
διεσπλεκωμένη (Ar. Plut. 1082)· διεφθαρμένη
διεσποδημένη· διακεκρουσμένη
διεσποδήσατο· διέσεισε, διετίναξε [79]
διεστείλατο· διεσαφήσατο [81]
διεστήκασιν· διεχωρίσθησαν. ἐμάκρυναν πόρρω
διέστηκε· διακεχώρισται [84—86]
διεστοιχίζετο (Aesch. Prom. 230)· διετίθετο ἐν στοίχῳ καὶ τάξει [διήρει]. ἀπὸ τῶν εἰς τοὺς σηκοὺς εἰσαγόντων τὰ ποίμνια, καὶ διακρινόντων ἐκ τῆς νομῆς ἑκάστῳ τὰ ἴδια
διεστο†μαλίζετο ⟨—βάζετο?⟩· ἐλοιδόρησε, κακῶς εἶπεν
διεσφηκωμένον (Ar. Vespp. 1072)· διαδεδεμένον τῷ κέντρῳ, ἀπὸ τοῦ σφηκώματος, ἢ κατὰ τὸ μέσον ὄντα σφῆκα. τὸ γὰρ κέντρον ἐκεῖ ἔχουσι
διέσχε (Ε 100)· διῆλθε
διέσχε· [ ] διέλιπε (Hippocr. epid. V 1148 H). διεξῆλθε ⟨1621⟩
† διεσχηνισμένοι· διεσκορπισμένοι ⟨1324⟩ [93]
διετάθη· διέτριβε, διῆγεν ⟨cf. ἐτάθη⟩
διε(τα)ξάσθην· διετάξαντο. δυϊκῶς
δι†εταρίστριαι (Plat. Sympos. p. 191 E)· γυναῖκες αἱ τετραμμέναι πρὸς τὰς ἑταίρας ἐπὶ συνουσίᾳ, ὡς οἱ ἄνδρες. οἷον τριβάδες ⟨v. ἑταιρίστριαι⟩
διετεινάτην· διέτειναν. δυϊκῶς
† διετελέσω· διέμεινας
διετεκτήνατο· ἐμηχανήσατο
διετεμόμην· διέκοψα. διεῖλον [1701]
διετήσιος (Thuc. II 38 Ar. fr. inc. CLVII)· δι' ὅλου τοῦ ἔτους [3]
διέτριψεν· κατέσχεν
διευθύνεται· κυβερνᾶται εὐθέως, καλῶς
διευκρινεῖ· σαφηνίζει
(διευκρινέστερον)· λευκότερον ἢ τρανώτερον
(διευκρίνησε)· διετράνωσε
διευκρινησάμενοι (cf. Plat. Parmen. p. 135 B)· διακρίναν...
διευκρινήσας· σαφηνίσας [11]
δι' εὐφρόνης· διὰ τῆς νυκτός
διέφερε· διῆγεν
διεφέροντο· διεμάχοντο
† διέφθειρε· διῆγεν. Εὐριπίδης Αὔγῃ (fr. 282) [16]
διεφορή(θη)σαν· διεσκορπίσθησαν
διεφύγγανον (Thuc. VII 44, 8)· διέφυγον
διεφύλαξας· διετήρησας. ἐσκέπασας

COD. 52] post 1657 58 |ησε 62 διεσήμηνε 63 διέσινος, —ός 65 |ἀνυ ⟨71 ἐξεσμένως Cyr. 39 171⟩ 72 ΔΙΕCCΥΤΟ? 76 διεπλεκώνη 77 διεπ| —ουμένη 78 διεσπουδ| —είναξε ⟨cf. EM. 273, 56⟩ 87 καὶ ποιμνία 91 |λειπε ⟨92 Leg. διεσκηνιμμένοι⟩ 94 |τάη 96 ὄναρες 1702 διέτης 5 κυβερνεῖται 15 αὔγει ⟨διέφρει⟩

HES. 51 διέρχεο· ὅρα ⟨δέρκεο⟩ 55 διερχόμενος (Z 392)· περιερχόμενος, περιάγων 56 διερρωγότα (I Samuel. IV 12)· διεσχισμένα 59 διεσάφησας (Matth. XVIII 31)· ἑρμήνευσας 60 διέσεισε (Iob. IV 14)· διήγειρε. διεσάλευσε 61 δίεσθαι (M 276 al.)· διώκειν. τρέχειν: πορεύεσθαι. τρέπεσθαι ⟨διΐεσθαι⟩: ζητεῖν, ἐρευνᾶν ⟨δίζεσθαι⟩ 66 διεσκέδασαν (Ps. CXVIII 126)· ἀπέρριψαν 67 διεσκεδασμένως· διατετυπωμένως ⟨διεσκευ—⟩ 68 διεσκευασμένοι (Iosu. IV 12)· ἡτοιμασμένοι. ἔνοπλοι. ξιφήρεις εἰς πόλεμον (gl. mss. Octat.) 73 διεσπάρησαν (e. c. Genes. IX 19)· διεσκορπίσθησαν 74 διεσπάσθησαν (Ierem. IV 20)· διεσχίσθησαν 75 διεσσεύετο (B 450)· διήρχετο ⟨1672⟩ 79 διεσταλμένα (Ierem. XXII 14)· κατεσκευασμένα 81 διέστη (Exod. XV 8)· διεχωρίσθη 84 διεστήσατο (II Macc. VIII 10)· διεχώρισεν 85 διέσσυτο (B 450)· διεπορεύετο (non Nic. Ther. 300) 86 διεστῶτα· κεχωρισμένα, πόρρω ὄντα [Ad 91: διέσχισε (ι 71)] 93 δίεται· διώκει 1701 διέτμαγεν (A 531 H 302)· ἐχωρίσθησαν. δυϊκῶς. καὶ τὸ διέτμαγον (η 276 ν 439) 3 διέτρεσαν (Λ 481. 6)· διέφυγον. ηὐλαβήθησαν 11 διευλαβοῦντο (Iob. VI 16)· ἐφοβοῦντο 16 διέφθορε ⟨Moeris⟩· διέφθαρκεν

διέφυλλε· διέτιλλε. διέτεμεν

διέχειν· διεστάναι. διεληλυθέναι

διέχευαν (*H* 316 *γ* 456)· διέκοψαν. διεῖλον, διεμέρισαν [23]

διέχει· παρατείνει. διέλκει

διεχής· διμερής

διεχώλευον· διώδευον

διεφάθαλλε· διέφθειρε

διέφευσται· † διεφθάρη. διεσφάλη

διεφήσατο· διεκάθαρε

(διέφισε·) διεφώμισε

† δίζα· αἴξ. Λάκωνες

δίζειν· φροντίζειν. ἐρευνᾶν, ζητεῖν

δίζετο (Callim. Iov. 16?)· ἐπεζήτει [33. 34]

διηγανές· λαμπρόν [36]

διηγκυλίσθαι· τὸ ἐνεῖραι τοὺς δακτύλους τῇ ἀγκύλῃ τοῦ ἀκοντίου· τίθεται δὲ καὶ ἐπὶ τοῦ ἕτοιμον εἶναι [38]

διήθει· διύλιζεν

διηθεῖτο· διυλίζετο

διηθήσεως· † σειρώσεως. ἐκτήξεως

διηθῶ· ἐκθλίβω

διήκει· διέρχεται

διήκειν· φθάνειν [45. 46]

διῆκον· διῆλθον

διήκουσα· διερχομένη, διελθοῦσα [49]

διηλάσω· διηγήσω. διῆλθες [51. 52]

διηλίτης· κακοῦργος. ἀπατεών

διηλκύσασθον· διετρίψασθε. δυϊκῶς

διηλυσίην· δίοδον

διήλυσις· δίοδος. χωρισμός. ἐκδρομή

διημερεύοντες (Xen. Cyr. VII 5, 26)· πᾶσαν ποιοῦντες τὴν ἡμέραν

διήνεγκας· διήνυσας. διέστρεψας

διηνεκές· δι' ὅλου. σκληρόν [60]

διηνεκῶς· ἀεί, διαπαντός, πάντοτε. διόλου. διὰ βίου [62]

διήνυτετο· διάζετο ἱστόν ⟨α 5384⟩ [64]

διῆρες (Eur. Phoen. 90)· κλῖμαξ [ad 65]

διήρεσαν· διενήξαντο [67]

διήρη· διπλᾶ τὰ ἐπαμπεχόμενα ζωστά ἐστιν, οἷον τὰ δι' ὅλου τοῦ σώματος ἡρμοσμένα, ἀναλόγως τῷ ποδήρει

διήρης ναῦς· ἣν καὶ δίκροτον καλοῦσιν

διηρθρωμένον (Aristot. gen. an. I 17)· ἀνατεταγμένον ⟨—πεπτα—⟩

διήρικον· διῃροῦντο. ἐρήγνυντο

διήρκεσε· ἀντέσχεν

διήρτησαι· δέδεσαι

διήρχθην· ἐκωλύθην

διῇσαν (Hippocr.)· διέρεισαν

δίηται (*H* 197)· διώξῃ. ἢ πορεύεται ⟨v. δίοντο⟩

διητανές· λιτόν. διατεταμένον [78]

διηυλίσθη· διεφθάρη ⟨1751⟩

διηύληται· ἠχρείωται· λέγεται δὲ καὶ ἐξηύληται, ἀπὸ τῶν γλωσσίδων τῶν ἐν τοῖς αὐλοῖς

διήφυσεν (τ 450)· ἐξήντλησε

† διηχήτας· ἄρτου εἶδος

διθυμία· διχοστασία

διθύροις· διπτύχοις

δίθυρον· γραμματίδιον δίπτυχον

διῖεται (Empedocles)· διέρχεται (διυλίζεται) [87. 88]

διϊθυνόμενοι· διοικούμενοι, κυβερνώμενοι

διϊθυντής· διοικητής. ἰθυντής

† διϊκαδία· ἐπὶ ὁμοίων καὶ ἀπαραλλάκτων ἐτίθετο τοῦτο ⟨διεικάδεια?⟩

(διϊκνείσθω· φθανέτω. καὶ χαλάσθω. ἐγγιζέτω) [93]

διϊπετέος (*P* 263)· ὑπὸ τοῦ Διὸς πληρουμένου [95]

COD. ⟨20 Cf. διαφουλλαί et φουλλόμενοι⟩ 24 παραγίνει 30 διεφώμησε ⟨31 אצ״ד an ἴξαλος?⟩ 37 |λίσται ⟨41 διυλισθέν· σηρωθέν Cyr. 244 et διητήσεως· ἐκτήξεως Cyr. 171⟩ Post 50] 55 ⟨53 Cf. δειελίτην διλίτης et schol. Ven. *T* 90⟩ 55 |ασίην; cf. 50 56 δίοχος 72 διήρκησε (75 L. διέρασαν vel διέσησαν) 77 λειτόν 92 legebatur post 1535. φθανάτω κεχαλάσθω C. 171

HES. 23 διεχεῖτο (LXX)· διεχέετο 33 διζημένη (*Δ* 88)· ζητοῦσα 34 διζησόμεθα (π 239)· ζητήσομεν 36 διήγημα (Ezech. VII 2)· ἱστορία 38 διηγορευμένοις (III Esdr. V 49)· παραγγελθεῖσι 45 διηκνεῖται· „διήκει χωρεῖ διὰ πάντων διὰ καθαρότητος“ (Sapient. VII 24) 46 διηκνούμενος (Hebr. IV 12)· διαδυόμενος. εἰσερχόμενος 49 διήλασεν (*M* 120)· διῆλθε, διεπέρασεν 51 διη.λίσθη· διεφθάρη ⟨1779⟩ 52 διῆλθε (*Ψ* 876)· διέβη, διεπέρασε 60 διηνεκέσειν (*M* 297)· ἐκτεταμένοις. μεγάλοις 62 διηνέχθη (II Macc. III 4)· ἐμαχήσατο 64 διήνυσαν (II Macc. XII 7)· διῆλθον (non Xen. Cyr. IV 2, 8) Ad 65: ὑπερῷον. ἢ ⟨Moer.⟩ 67 διήρεσα χερσί (μ 444 ξ 351)· ταῖς χερσὶν ὡς κ' ἐπχρησάμην ⟨κώπαις ἐ—⟩. διενηξάμην 78 διητία· ἡμιμέδιμνον ⟨δίπτυον⟩ 87 διῖεις· διέπεμψας ⟨v. διείς⟩ 88 διϊέντα· διαπέμποντα ⟨v. διειέντα⟩ 93 διϊκνούμενος (Hebr. IV 12)· διερχόμενος (διαδυόμενος, cf. 1536) 95 διϊπετος· ἐπὶ μὲν τῶν ἄλλων ποταμῶν, ἀπὸ τοῦ Διὸς πληρουμένων, χειμάρρων· ἐπὶ δὲ τοῦ Νείλου (δ 477), διαυγοῦς, διαφανοῦς, ἢ διαπεπετασμένου

Διϊπόλεια (Ar. Pac. 420, Antipho)· ἑορτὴ Ἀθήνησιν, ἀπὸ τοῦ Πολιεῖ Διὶ θύειν Ἀθηναίους εἰς μνήμην τοῦ πελάνου καὶ τοῦ βοός

διΐστανται· διαχωρίζονται

διϊστάς· χωρίζων

διΐσταται· διαχωρίζεται

Διὶ Συκασίῳ (Com. fr. CXX)· παραπεποίηται παρὰ τὸ συκοφαντεῖν [1801. 2]

δίκαια· ἔννομα

δικαιαρχία· ἀρχὴ δικαία

δίκαιον· εὔλογον. ἴσον, ὅμοιον, παρὰ Ἱπποκράτει (Foes. Oecon. p. 101)

δικαιοπραγεῖν· δίκαια πράττειν [7—11]

δικαιοσύνη· ἡ χοῖνιξ μυστικῶς

δικαιότητα· δικαιοσύνην

δικαιῶσαι· κολάσαι

δικαιωτήρια (Plat. Phaedr. 219 A)· κολαστήρια

δίκανα· ποικίλα ἱμάτια

δικαν(ικ)ούς· τοὺς περὶ τὰς δίκας διατρίβοντας [18]

δικάσιμοι μῆνες (Plat. Legg. XII 958 B Philetaer. vol. III p. 297) οὕτως ἐλέγοντο, ἐν οἷς ἐδίκαζον

δικασπόλους· δικαστάς, ἢ περὶ τὸ δίκαιον πολουμένους

δικαστάρ· τοὺς κριτάς. Ἠλεῖοι

† δικαμπίας· οἶνος ὁ δύο τροπὰς ὑπομείνας ⟨ἐντροπίας, τροπίας⟩

δικαστήρια· Ἀθήνησιν Ἄρειος πάγος κρίνει τὰ φονικά· εἶτα ἡ βουλὴ τῶν φ'· ἐπὶ Παλλαδίῳ β' δὲ τῶν ἀκουσίων ἐδικάζοντο, εἶθ' ἐπὶ Δελφινίῳ ἐδικάζετο τοῖς ὁμολογοῦσιν ἀνῃρηκέναι μέν, λέγουσι δὲ ἐννόμως· καὶ τῷ ἐν Πρυτανείῳ ........

δικαστικόν· Ἀριστοφάνης ἐν Ὥραις (fr. X p. 1174) τριώβολόν φησιν εἶναι· οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδοτο (Aristot. Pol. VI 5) [25]

δικεῖν· (ἀφεῖναι). βαλεῖν. ῥῖψαι. ὅθεν καὶ δίκον καὶ δίσκον

† δίκελλον δικράδεστος ξένος δύο κλάδους ἔχων

δικέντρων· βόλος τις ἀστραγάλων οὕτως ἐκαλεῖτο [29]

δίκηλον· ἐκτύπωμα, ὁμοίωμα ⟨249⟩, εἴδωλον. ἀνδριάς. ζῴδιον. παρὰ Λάκωσιν

δίκηλον· φάσμα ⟨249⟩. ὄψις. εἴδωλον. μίμημα. ὅθεν καὶ ὁ μιμολόγος παρὰ Λάκωσι δικηλίκτας ⟨453⟩

δίκην· καθάπερ, ὥσπερ, ὁμοίως

δίκην τροχοῦ [34. 35]

δίκη πρόδικος· ἡ πρὸ τοῦ ἀχθῆναι εἰς δίκην ὁμολογουμένη

δικητροπεῖ· φυγαδεύει [38]

δικλίδες (ρ 268)· αἱ θύραι

δικλίδος (Theocr. XIV 42)· διθύρου

δίκορσος· δικέφαλος

δικράνους· τὰς τριόδους· δεῖ δὲ νοεῖν δικράνους τὰς ἀπὸ μιᾶς ἀρχῆς ἐπὶ δύο ἐκνευούσας, οἷον δύο τέλη ἐχούσας

δίκρα ὀσφῦς· ἡ διπλῆ. Αἰσχύλος Τροφοῖς (fr. 51)

δίκρατον νόμισμα

(δίκροον Galen. lex. p. 458)· διαχιδῆ ἢ δίκρανον

δικρόα ξύλα· ὁμοίως

Δικταίῃσι (Callim. epigr. XXIII 3)· Κρητικαῖς

δικταμνοειδές· γλήχων τινές ⟨v. γληχωνοειδές⟩. οὐκ (εὖ). ἔστι γὰρ βοτάνη δίκταμνος [48]

δίκτυον· τοῦ κοσκίνου τὸ μέσον, ἐν ᾧ τὰ λεπτὰ τρήματα. καὶ τὸ ἁλιευτικὸν λίνον, ἡ σαγήνη [50]

COD. 96 διιπολίεια — πολύειδι ἰθύνειν 1800 διϊσκασίω 12 σχοίνιξ 13 |οτάτην —νη 16 ἰκάτια 19 |σειμοι 19. 20 = 20. 19 21 δίκαρ 26 δίκειν· βάλλειν, ῥίψειν (cf. δεικεῖν, ἄνδικε, πύδικε) ⟨27 Com. IV p. 641⟩ 31 δίκην, λίκτας 32 δίκη 37 δικοτροπεῖ 39 δίκλιδος· δίθυρος 40 δίκουρος 42 ὄψις ἢ 43. 44. 45 νόμισμα [ἢ δίκρανον] — ὁμοίως [δισχιδῆ] 47 δικτάμενος

HES. 1801 Διῒ φίλε (Α 74)· προσφιλέστατε 2 δικαζέμεν (Δ 542)· δικαιοῦν. δικάζειν 7 δικαιότατος ἐκταύρων (Λ 831)· ἀντὶ τοῦ ὁ ἐν τοῖς Κενταύροις δίκαιος 8 δικαιωτήριον· κριτήριον 9 δικάσπολος (Α 238 λ 185)· δικαστής, βασιλεύς 10 δικαιοῦν· μαστιγοῦν. νουθετεῖν. δικαόζειν, δικάζειν ⟨v. 1802⟩ 11 δικαιούμενον (Plat. Legg. XI p. 934 B)· κολαζόμενον 18 δικανόωνται (Ο 86)· ἐνδείκνυνται, λέγουσιν 25 δικάτωρ· ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων ⟨1847⟩ 29 δίκη (σ 274)· ὁ τρόπος μνηστήρων (schol. Pind. Pyth. I 3)· δικαίως (Υ 542). ἡ πρόνοια (Cyr. 171) 34 δικηλόγον· (ῥήτορα Cyr. 244 35 δίκηλον·) ἄγαλμα, ἀνδριάντος (εἰκὼν Cyr. 63) 38 δίκης· τρόπου. ὁμοίωσις. ἡ κρίσις 48 δικτάτωρ· ὁ διπλασίαν τὴν ἀρχὴν ἔχων ⟨1825⟩ 50 δικτυωτή (Iudic. V 28)· καγκελλωτή

δίκτυς· ὁ ἰκτῖνος ὑπὸ Λακώνων ⟨v. ἰκτός⟩ [52]

δικών (Eur. Or. 991)· βαλών

δίλαξ· ἡ ἀρία τὸ φυτόν. Λάκωνες [55—58]

δίλογχον· τὴν Βενδῖν οὕτω Κρατῖνος ἐν Θρᾴτταις (fr. XII) ἐκάλεσεν, ἤτοι ὅτι δύο τιμὰς ἐκληρώσατο, οὐρανίαν τε καὶ χθονίαν (λόγχας γὰρ ἐκάλουν τοὺς κλήρους) ἢ ὅτι δύο λόγχας φέρει, κυνηγετικὴ οὖσα. οἱ δὲ ὅτι δύο φῶτα ἔχει, τὸ ἴδιον καὶ τοῦ ἡλίου. τὴν γὰρ σελήνην Βενδῖν καὶ Ἄρτεμιν νομίζουσιν

διμάχαι· οἱ λεγόμενοι ἅμιπποι, οἵτινες ὁτὲ μὲν πεζῇ, ὁτὲ δὲ ἐφ' ἵππων μάχονται [61]

διμέδιμνον· μέτρον χωροῦν δύο μοδίους

διμοιρίτης· † διμοιραῖος [64—69]

Δινδυμήνη (Herod. I 80 Callim. epigr. XLII 4)· μήτηρ θεῶν. ἀπὸ Δινδύμων ὀρῶν τῆς Φρυγίας

διξός· δισσός [72—74]

Διογενίδαι· γένος Ἀθήνησιν ἰθαγενῶν [76]

δι' οἶκτον· δι' ἔλεον. οἰκτιρμόν [78]

διοιγνύντες· ἀνοίγοντες

διοίκησις· ἡ ἀνάλωσις τῶν χρημάτων (Xen. Mem. IV 6, 14)

διοίξας· ἀνοίξας

διοίσει· παραλλάξει. ἢ κάλλιον ἔσται, ἢ συμφέρον. ἢ διαφέρει

διοίσεται (schol. Soph. Ai. 511)· διακριθήσεται. ἢ διάξει, καὶ βιώσεται. ἢ διαλελέξεται

διοίσουσι· διαφέρουσι

διοκωχή (Thuc.)· διάστασις χρόνου τινός ⟨v. διακόχλω⟩

δι' ὀλίγου· ἀντὶ τοῦ μετ' ὀλίγον

Δίολκος· ὁ ἀπὸ Λεχαίου ἕως Κεγχρεῶν τόπος

διολλύει· ἀφανίζει, φθείρει, διαπολλύει

διολούφειν· διατίλλειν. ἢ διασιλλαίνειν. οἱ δὲ κακοσχόλως

(διολούφων· διατίλλων, οἱ γὰρ Ἀττικοὶ τὸ τίλλειν ὀλούφειν. οἱ δὲ τὸ ἐκλέγειν τῶν σπορίμων τὴν πόαν) [illegible]

διομανές· ὑπὸ Διὸς μαινόμενε· ἢ τῷ Διὶ βουλόμενε μάχεσθαι διὰ μανίαν

Διομεῖς· δῆμος Ἀθήνησιν, ἀπὸ τοῦ Διόμου τοῦ Κολύττου παιδός

Διομήδειος ἀνάγκη (Ar. Eccl. 1029)· παροιμία. Κλέαρχος μέν φησι, Διομήδους θυγατέρας γενέσθαι πάνυ μοχθηράς, αἷς ἀναγκάζειν πλησιάζειν τινάς, καὶ εὐθὺς αὐτοὺς φονεύειν· ὁ δὲ τὴν μικρὰν Ἰλιάδα φησί, ἐπὶ τῆς τοῦ Παλλαδίου κλοπῆς γενέσθαι (Plat. Rep. VI 493 D)

διόμνυσθαι· τὸ ἀπόμνυσθαι ⟨v. 2061⟩

δῖον (X 251)· ἐδιώχθην. μέγα ἢ πολύ. θεῖον ἢ τὸν ἐκ Διὸς γενόμενον, ἀγαθόν

διονῦς (Comici)· ὁ γυναικίας, καὶ παράθηλυς [98]

(?) δίοντο· ἀνεπορεύοντο ⟨v. δίηται⟩

Διονύσια· ἑορτὴ Ἀθήνησιν Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος· τὰ δὲ Λήναια μηνὸς Ληναιῶνος· τὰ δὲ ἐν ἄστει Ἐλαφηβολιῶνος

Διονυσιάδες· ἐν Σπάρτῃ παρθένοι, αἱ ἐν τοῖς Διονυσίοις δρόμον ἀγωνιζόμεναι ⟨Meinek. Theocr. p. 323⟩

Διονύσου γάμος· τῆς τοῦ βασιλέως γυναικὸς καὶ θεοῦ γίνεται γάμος

Διονυσοκουροπυρώνων· Κρατῖνος ἐν Σεριφίοις (p. 134)·

αἰσχρῶν Ἀνδροκλέων Διονυσοκουρώνων

COD. 53 δίκων, βάλλων 59 βένδην — θράπταις — λόγχαν — δευολόγχας φέρει γυνηγετική — βένδιν 60 οἱ μὲν — ὅτε 63 διμυριστής, διμυραῖος 70 δινδυμη 77 οἰκτιρμῶν 87 διοληδς — κεγχρεῶνος 89 διολουφεῖν — διασυλλ| 90 Cf. διαλουφῶν ὀλούφων. οἱ γ. Α. τ. τ. οἱ δὲ 92 |μεναι bis 94 ἠλιάδα 96 διὸν — τῶν — ἀγαθῶν 97 διουνῦς 1900 λήνδια — ἐλαφιβωλίωνος 3 Διονυσοκρου| — ἐπεὶ οἱ — πεντεκομ| — αἰσχρὸν — κύρον κωμωδεῖν — πάππον

ἠμαθόεντος (Β 77)· τὸν ψαμμώδη, ἤτοι πολλὴν ἄμαθον ἔχοντα· ἐξ οὗ ὁ πολύαμμος δηλοῦται. ἢ παρ' ὃν ῥέει Ἠμαθόεις ποταμός. ἢ μεσημβρινοῦ. ἢ ἀπὸ Ἠμάθου ἥρωος

ἠμάθυνε (Lycoph. 79)· διέφθειρε. κατέσκαψεν [14]

ἤμαιθον (Phoenic. Col. fr. I 3?)· ἡμιωβόλιον. διώβολον παρὰ Κυζικηνοῖς [16]

COD. ⟨57 ἠλίηνεν· κατέκαυσεν?⟩ 58 ἀλὺς — μετὰ τὴν 60 ἠλιθιώτης ⟨cf. ειλ—⟩ 75 ἤλητεν ⟨332⟩ 76 ἠλιτήσας, ἁμαρτήσας 77 ἐλαττόμενα 85 περῶναι ⟨v. ἐπίβολαι⟩ 404 ἤλακεν (ε) 11 |ώης 12 ἀμαθίαν — ἢ παρορέει ἢ μαθόης ποτε ἡ 15 ἤμαθον, ἡμιωβέλιον — π κυζικῆναι

HES. Ad 59 ἀνόητον ⟨Moer.⟩ 63 ἥλισκεν· ἔπεσεν 65 ἡλικία (Matth. VI 27)· μέγεθος σώματος. μέτρον τι 71 Ἦλις (Β 615)· ὄνομα πόλεως 73 ἠλισγημένους (Malach. I 7)· μεμολυσμένους. ἠρτυμένους Ad 75 ἥμαρτεν (Ι 375) 83 ἥλους· ἥλους. λόγχας. καρφία. κέντρα 94 ἤλυθον (Ε 607)· ἦλθον, παρεγένοντο 96 ἠλύξων· φυγών 402 ηὗρον· (Φ 79) ἦλφον Ad 3 ἐλήφθη (Moeris), ἐκρατήθη (χ 230) 5 ἠλώμην (δ 91)· ἐπλανώμην 6 Ἠλώνη (Β 739)· πόλις ἐν Θεσσαλίᾳ 10 Ἠμαθίη· τὸ αὐτό (Ξ 226) 14 ἧμαι (Σ 104)· κάθημαι 16 ἢ μάλα (Η 197)· ὄντως λίαν

ἡμάλαψε· .... κρύψαι, ἀφανίσαι. Σοφοκλῆς Ὀδυσσεῖ μαινομένῳ (fr. 423)
ἡμάλδυνεν· ἠφάνισεν
†ἡμάλιζεν· ᾔωρει. ἔπνιγεν
ἡμάλιον· μέγα ⟨v. ἱμάλιον⟩
ἦμαρ (Hom.)· ἡμέρα [22. 23]
ἥμαρτεν· ἀπέτυχεν. ἠγνόησεν [25]
†ἡμάρταζεν· ἐστέρησεν. ἠμάτου
ἥμασιν· ἀκοντίσμασιν (Ψ 891). ἡμέραις
ἥματα· δασέως μὲν βλήματα, ῥίμματα, ἀκόντια· ψιλῶς δὲ ἡμέρας, ἡμέραι [29]
ἠματίη (β 104)· δι' ὅλης ἡμέρας
ἠμάτιοι· ἡμερινοί, αὐθημερινοί [32. 33]
ἠμαυρώθη· ἠμβλύνθη. ἠφανίσθη
ἤμβλακεν (Ibyc. p. 214)· ἠγνόησεν [ad 35]
ἤμβλυνεν· ἐτύφλωσεν [37—40]
ἡμεδαποί· ἐπιχώριοι. ὁμόφωνοι. ἐνθάδιοι
ἡμεδαπῆς γῆς· ἡμετέρας γῆς
ἡμεδαποῖο· ἡμετέρου
ἡμεδαπόν· τὸ ἀντικείμενον τῷ ἀλλοδαπῷ. τὸ ἐπιχώριον. δηλοῖ δὲ καὶ τὸ ἡμέτερον [45]
ἠμείφθη· ἠλλάχθη ⟨534⟩, ἠλλάγη
ἤμειψα· ἤλλαξα ⟨539⟩ [48—50]
ἡμεκτεῖ· δυσφορεῖ
ἦμεν· εἶμεν· ὑπάρχειν (Thuc. V 77—79)
ἡμένη (Simonid. Amorg. 7, 6)· ἐν κόπ(ρ)οις καθημένη. †βαστάζουσα [54]
ἡμένη πελειάς [ad 55]
ἡ μὲν κλέος ἡδὲ καὶ ἦσθα· παροιμία ἐπὶ τῶν ὁμοίων τῇ περὶ αὐτῶν φήμῃ [57—60]
Ἡμέρα (Callim. Dian. 236)· Ἀρτέμιδος ἐπίθετον [62]
ἡμέριον· ἄνθρωπον. ἢ ἀνθρώπινον
ἡμερίς (ε 60)· ἄμπελος· ἀπὸ τοῦ ἐξημεροῦν ἡμᾶς. καὶ ἡ κνίδη. τινὲς δὲ ἀναδενδράδα καὶ ἐλαίαν (Arist. Ach. 997)
ἡμερίσιν· ἀμπέλοις [66]
ἡμερόδρυς· εἶδος δρυός (Theophr. III 9)
ἡμεροδρόμος· ἀλληγορικῶς ὁ ἥλιος
ἡμεροῖ· πραΰνει
ἡμερόκαλλες (Cratin. I 5 p. 73)· τῶν σπορίμων ἄνθος. ἢ στεφάνωμα. οἱ δὲ ἐρίου βάμμα φοινικοῦν. οἱ δὲ ἄνθος πρὸς μίαν ἡμέραν ἀκμάζον. οἱ δὲ τὴν νάρκισσον βοτάνην
ἡμερόκοιτος (Hesiod. Opp. 605)· ὁ κλέπτης
ἡμερολόγιον· μέρος τι τῶν περὶ τὴν †κύστην
ἥμερον· τὸ ἔλαιον
ἥμερος ὕλη· ἡ λεπτόφυλ(λ)ος δρῦς
ἡμερότητος (Plat. Civ. III 410 D)· πλαύτητος
ἡμεροῦν· Κράτης. τὸ τὴν γῆν ἐξημεροῦν καὶ ἐργάζεσθαι. τιθέασι δὲ καθόλου ἐπὶ τοῦ γεωργεῖν τὴν λέξιν
ἥμερσεν· ἐστέρησεν. ἀφείλετο. τὸ δὲ αὐτὸ καὶ ἡμάρτιζεν ⟨426⟩
ἡμερτόν· ἐπέραστον ⟨= ἱμερτόν⟩
†ἡμερωλίας· τοὺς ἐν αὐλῇ διακόνους
ἡμερωρεῖν· ἡμεροφυλακεῖν
ἡμερωσάμενοι· πραΰναντες [82. 83]
†ἤμυνεεν· ἤμαξεν ⟨380⟩
(ἡμί· φημί, ἐνίημι) cf. 533
ἡμιάρτιον (Sophro 56. 57)· εἶδος ἄρτου ἡμικυκλῶδες [86. 87]
(ἡμιδάϊκτος· ἡμιθανής) cf. 598
ἡμιδανάκιον· νόμισμα ποιόν [90]

COD. 17 ἡμαλάψαι ⟨26 cf. ἥμερσεν et ἐμάτησεν⟩ 31 ἀνθη| 35. 36 = 36. 35 41 |φρονοι 55 πηλειάς 64 κνίδος 64 cf. 467. 474 et μορία· ἡμερίς 70 |οχαλές 74 ἡμερίς· ἄμπελος ἢ ἐλαία καὶ πᾶσα ἥμερος ὕλη οὕτω καλεῖται Cyr. Dr. 75 ἡμερώτατος, πραΰτατος 80 |κτεῖν 85 ἡμίαρτον

HES. 22 ἦ μάν (Ν 354)· ἀληθῶς δή 23 ἦμαρ ἀ(να)γκαῖον (Π 836)· τὴν εἰς ἀνάγκην δουλείας ἄγουσαν, τουτέστιν ἀναγκαίαν, ἢ κίνδυνον 25 ἡμάρτανεν (Κ 372)· ἀπετύγχανεν 29 ἤματα πάντα (Θ 539)· πάντα χρόνον (Callim. Del. 190) 32 ἤματι τῷ (Φ 5)· ἐκείνῃ τῇ ἡμέρᾳ 33 ἤματος (κ 86)· ἡμέρας Ad 35 ἐτύφλωσεν 37 ἤμβροτον (Π 336)· ἥμαρτον 38 ἤμβροτεν (η 292)· ἀπέτυχεν, ἥμαρτεν 39 ἤμβροτες (Β 287)· ἀπέτυχες τοῦ σκοποῦ 40 ἡμέας (Θ 221)· ἡμᾶς 45 ἠμείβετο (Α 292)· ἀπεκρίνετο 48 ἡμελημένῳ· ῥαθύμῳ (Basil. II p. 435 A) 49 ἤμειβον· ἤλλασσον 50 ἥμεθα (Ο 740)· καθήμεθα 54 ἦ μεν ἄν.... (Ν 329)· .... Ad 55 παροιμία ἐπὶ τῶν ἁπλουστάτων, κατὰ ἀντεξέτασιν τὴν πρὸς τὰς παλευτρίας πελειάδας 57 ἦ μέν μοι (Α 77)· ὄντως μέν μοι 58 ἥμεναι, οἷά τε φύλλα μακεδνῆς αἰγείροιο (η 106)· οὕτως ἔφη, ἤτοι ἐπεὶ τὰ φύλλα τὰ αἰγείρου ἀλλήλων †ἐπέστραπται, οὕτω καὶ (αἱ) Ἀλκιν(ό)ου θεράπαιναι προσεῖχον τοῖς ἔργοις πάνυ, ἀλλήλων ἀπεστραμμέναι· ἢ ὥσπερ πυκνὰ τὰ τῆς αἰγείρου φύλλα, οὕτω κἀκεῖναι θλιβόμεναι ἐκθέροντο ⟨ἐκαθέζοντο?⟩ 59 ἠμεμάασι (Κ 208)· προθυμοῦνται 60 ἥμενον (Α 330)· καθήμενον 62 ἡμέρα (Iob. III 1)· τὰ γενέθλια 66 ἡμερίων (Greg. Naz. C. IV 252 p. 217)· ἀνθρώπων 82 ἡμέων (Γ 101)· ἡμῶν 83 ημην (Ι 57)· ἀλλ' οὖν. ἀλλ' ὅμως. ὄντως δή. ἢ ἐκαθήμην (Ζ 336) 86 ἠμείβετο (Α 292)· ἀπεκρίνετο ⟨vix latet Boeot. ἠμίβετο⟩ 87 ἡμιδακής (Π 294)· ἡμίκαυστος 90 ἡμεδαπός· ἐπιχώριος. ἡμέτερος ⟨441⟩

ἡμιδεᾶ· τὰ οὐχ ὁλόκληρα

ἡμιδιπλοίδιον· ἱμάτιον μικρόν· οἱ δὲ ἀναβόλαιον γυναικεῖον σύμμετρον (Ar. Eccl. 318), ὅπερ ἔνδοθεν ἐφόρουν

ἡμιδωδέκατον· τὸ ἡμίχουν

ἡμίεκτον· τὸ τετραχοίνικον, ὅ ἐστιν ἥμισυ τοῦ ἑκτέως. ὁ γὰρ μέδιμνος χοινίκων τεσσαρακονταοκτώ· οὕτως ἕκτον ὀκτὼ χοίνικες. καὶ τὸ ἡμιωβόλιον

ἡμικόλλιον· μέτρον οἴνου. οἱ δὲ ἡμιχοίνικον ⟨v. κολία⟩

ἡμίκοπον· ἡμίπλευρον

ἡμίκρανα· ἡμικεφάλαιον. σιαγόνος τὸ ἥμισυ

ἡμικύκλιον· ἡμισφαίριον

ἡμίκυπρον (Hipponax)· ἥμισυ μεδίμνου

Ἡμιλάμιον· μέρος Μεσαπίων

• ἡ Μιμαλλόνες· μαινάδες νύμφαι, αἱ βάκχαι

ἡμιμέγιστον· ἡμιμναῖον

ἡμίμιτρον· ὕφασμα, ᾧ ἐκαλύπτετο (τὰ ἀπόρρητα)

ἡμῖνα· κοτύλη ⟨v. ἐν ἡμίνᾳ⟩ [504—6]

ἡμιόγδοον· οἱ δύο χοεῖς

ἡμιολία· ἡ δίκροτος ναῦς. τὸ ἥμισυ τοῦ κεφαλαίου

ἡμιόλιον· πλοῖον μικρόν

ἡμιόλιος· † δρικητής. καλεῖται δὲ καὶ ἀριθμός τις, καὶ λόγος ὁ τὸ ἥμισυ ἔχων (καὶ ἄλλον ὅλον)

ἡμιόνιον (Theophr. IX 19)· πόας εἶδος. καὶ ὄρνις ποιός [12]

ἡμίοποι (Anacr. fr. XVIII 2)· οἱ μὴ τέλειοι αὐλοί· τίθεται δὲ καὶ ἐπὶ ἄλλων μὴ τελείων

ἡμίοπος· αὐλὸς ὁ ὑποτεταγμένος τῷ τελείῳ. μεταφορικῶς (Aesch. fr. 86) δὲ ἡμίοπος θίασος

ἡμιπέλεκ(κ)α (Ψ 883)· τὰ μὴ ἑκατέρωθεν ἐστομωμένα

ἡμιπέλεκ(κ)ον· τριμναῖον ἢ τετραμναῖον ἢ πεντάμνουν· τὸ γὰρ δεκάμνουν πέλεκυ καλεῖται παρὰ Παφίοις [17]

ἡμίπολον· τὸ ἥμισυ τοῦ πόλου [ad 18]

† ἡμίσ.ας· τὸ ἥμισυ μέρος

ἡμισάλευτος· ἐξ ἡμίσεος σεσαλευμένον. (τάσσεται δὲ ἐπὶ τῶν μεθυόντων). σαλεύονται γὰρ αἱ κινήσεις (τούτων)

ἡμισίκλιον· νομισμάτιον

ἥμισυ, ἢ ἥμισυ· τὸ ἡμίεκτον· καὶ συνημμένως ἥμισυ τὸ ἡμίεκτον. ἔστι δὲ καὶ νόμισμά τι

ἡμισύθλαστον· † ἡμισύσταυλον

ἥμισυ τρίτον (fr. 167)· δύο ἥμισυ. Ἀρχίλοχος ⟨—ειον?⟩

† ἡμιτιεύς· ἡμισευτής

† ἡμίτιον· τετράχουν

ἡμίτομος· ἔκπωμα

ἡμιτύβιον (Ar. Plut. 729)· λινοῦν ἔνδυμα, ἢ σινδόνιον δίκροσσον

† ἡμιτύγια· τὰ ἡμισυδελφάδη. Λάκωνες

ἡμιτυμπάνιστος· ἡμιθανής

ἡμιφάριον· ἥμισυ ἱματίου

ἡμίφατον· ἥμισυ ⟨ἡμίθυτον⟩ [33. 34]

ἡμίφλεκτος· ἡμίκαυστος

ἡμιφωσώνιον (Ar. fr. inc. CLXX)· σινδόνων ῥάκος

† ἡμίχα· ἡμιστατῆρα

ἡμίχους· μέτρον μεδίμνου (εἰκοστὸν) τέταρτον [39]

ἡμι(ω)βόλιον· τὸ ἥμισυ τοῦ ὀβολοῦ

† ἡμίοπον· ἐξωμίδα

ἡμμένοι· συνημμένοι. κατέχοντες

ἡμοιρηκότες· μὴ μετέχοντες

ἥμονες (Ψ 886)· ἀκοντισταί [ad 44] ὀρχησταί

ἡμορίς· κενή. ἐστερημένη. Αἰσχύλος Νιόβῃ (fr. 160)

ἡμόριξεν· ἄμοιρον ἐποίησεν

ἥμορος· ἄμοιρος

ἦμος· [ad 48] ὁπηνίκα, ὅτε [49]

ἡμοσύνη· βλῆσις, ἀκόντισις [ad 50] [51]

ἥμπισχε· περιέσχε. περιέβαλεν

ἡμπίσχετο (Ar. Thesm. 165)· ἐνεδύσατο. ἐφόρησεν. περιεβάλλετο

ἡμπισχόμενον· περιβαλλόμενον

COD. 90 ἡμίδεα 93 τετραγωνικὸν — ἕκτεος — κυνίκων μὴ — ἐκ τῶν χοινικῶν — ἡμιωβέλιον; (cf. μυσημίεκτον) 500 ἡμιμάλλόνες 1 ἡμιόμναιον 2 |ικτρον — δ 3 ἡμίνα 14 θράσος 19 factum ex ἡμισίας ⟨ἥμισα Tyrtaeus⟩ 20 |εκτος — |υομένον ibid. τάσσονται (sic) .... μεθυόντων post κινήσεις 22 νομίσματα 24 ἡμισύτριτον 30 |ανιστής 35 |φώσιον — ῥάκκος 43 ἡμοιρικοί 44 ὀρχισταί 46 ἥμορξεν ⟨426. 477⟩ 47 ἄμορος 50 ἐμπορία 52 ἡμπιέχετο 53 ἡμπιέσχετο 54 ἥμπε|

HES. 504 ἥ μιν ἀνοίγει (Ν 329)· ἥτις αὐτόν (male) 5 ἡμῖν ἀπό (Α 67)· ἀφ' ἡμῶν 6 ἡμῶν· ἡμῶν. λέγεται δὲ καὶ † αὐτοῖς 12 ἡμίονος· μουσμῶν ⟨l. βουρδῶν⟩ ἢ μοῦλα 17 ἡμιπέλεκας (Ψ 883)· πελέκας μονοστόμους Ad 18 ἤγουν τοῦ ἄνου 33 ἡμί· φημί. ἐνίημι 34 ἡμίφθη· ἠλλάχθη ⟨446⟩ 39 ἤμιψα· ἤλλαξα ⟨447⟩ Ad 44 ῥήτορες ⟨ad ῥήμονες⟩ Ad 48 ἡνίκα (Λ 475) 49 ἤμων (Σ 551)· ἐθέριζον Ad 50 ἐμπειρία ⟨ad δαημοσύνη⟩ 51 ἤματι τῷδε (υ 116)· ἐν αὐτῇ τῇ ἡμέρᾳ

ἤμπλακεν· ἠδίκη(σ)εν. ἥμαρτεν
ἤμπλακες (Eur. Alc. 418)· ἀπέτυχες. ἠδίκησας. ἥμαρτες
ἠμπολημένον· ὠνητόν
ἠμπόλησεν· ἀπέδοτο
ἠμύει· [ad 59] πίπτει. πνίγει [60—62]
ἠμφιγνόουν (Xen. An. II 5, 33)· ἐδίσταζον ἐπιγνῶναι [64. 65]
ἠμφίσταντο· περιίσταντο [67. 68]
ην· φιλούμενον μὲν καὶ περισπώμενον ῥῆμα σημαῖνον ἀντὶ τοῦ ὑπῆρχεν (Β 77). [ἥν ⟨573⟩] δασυνόμενον δὲ καὶ ὀξυνόμενον ἄρθρον θηλυκὸν ὑποτακτικόν (Α 603)· καὶ σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου (Α 72) [69b. 70]
ἦνας (Boeoti?)· κόψας [72]
ἣν ἄτην (Α 412)· τὴν ἑαυτοῦ βλάβην [74]
ἦν δ' ἐγώ (Arist. fr. VI p. 1131)· ἔφην τό(τ') ἐγώ
ἠνδραποδίσατε ⟨—κατε?⟩· κεκλόφατε
ἠνδρωμένη (Cratin.)· ἀνδρὸς πεπειραμένη·
ἡ παῖς γὰρ ἔμπαις ἐστίν, ὡς ἠνδρωμένη
ἀντὶ τοῦ συνελθοῦσα ἀνδρί [78—80]
ἠνεκές (Callim. fr. CXXXVIII)· μακρόν. δι' ὅλου
ἠνεμοειδές· ἠχῶδες
ἠνεμόεν (Soph. Ant. 354)· ὑψηλόν, μετέωρον
ἠνεμόεσσα· καταπνεομένη ὑπὸ τῶν ἀνέμων
ἠνεμόεσσα (Callim. Del. 11)· ὑψηλή. καταπνεομένη ἀνέμοις
ἤ 'νεμος· ἄνεμος
ἡ νεοθηλής· (ἡ) νεωστὶ βλαστήσασα [88. 89]
ἤ νέρθεν· κάτωθεν
ἤνεσε· συγκατέθετο
ἠνέσχετο (Ar. Eqq. 537)· κατεδέξατο [93]
ἡνίαι· λῶρα χαλινοῦ. ἐξουσία
ἠνιάθη· ἐλυπήθη. ἐθλίβη
ἡνίαις· [ad 96] λώροις τῶν χαλινῶν [97. 98]
ἡνίκα· ὅτε, ἢ ὅταν
ἠνίξατο· ὑπεσήμανεν [601. 2]
ἤνιος· τελείου. νέου. παρὰ τὸ ἦνις
†ἠνιοχαράτης· διδάσκαλος ἱππικῆς τῶν νέων. Λάκωνες
ἡνιοχεῖς· ἐλαύνεις, ἵππους ὁδηγεῖς
ἡνιόχησον· διοίκησον, οἰκονόμησον, κυβέρνησον
ἠνίπαπε· διὰ λόγων ἔπληξεν (Β 245), καὶ καθήψατο, ἐλοιδόρησεν (Γ 427)
ἦνις (Ζ 94)· ἐνιαυσίας. ἀδαμάστους [9]
ἤνοισται· προσηνέχθη, προσ(εν)ήνεκται • [11]
Ἤνοπα· λαμπρόν. πάνυ ἔνηχον. διαφανῆ. καὶ ὄνομα κύριον [13. 14]
†ἠνόησεν· [ad 15] ἦλθον [16]
ἥνται (Callim. fr. CXXII 1)· κάθηνται [18. 19]
ἤντησα· συνήντησα, ἀπήντησα
ἤντία· ἀντεῖχε. συνήντα
†ἠντιάσας· συναντήσας, ἀπαντήσας
ἠντίασεν· ἀπήντησεν. ἱκέτευσε. Θουκυδίδης (II 40) δὲ τὸ ἠντιώμεθα ἐπὶ τῷ ἐναντιώμεθα
ἠντιβόλει· παρεκάλει [25—28]
†ἦντ' ὁπότ' ἦσαν· ἔν τινί ποτε (χρόνῳ) ἦσαν [30. 31]
ἤνυσα· πεπόρευμαι

COD. 63 ἠμφαγνόουν ⟨71 ἦνας· ἔκοψας?⟩ cf. ἄναντα, ἄφηνα, ἤνεις 77 |μένος 85 ἠνεμείδες 83 ἠνεμόν — μεταίωρον 85 |ησσα 87 ἠνεο| cf. νεοθηλής 90 ἤνερθεν 91 ἤνεσσε, συγκατατέθετο ἢ κατέθετο 608 ἠνὶς 12 ἔνιχον ⟨15 ἤνσον? an ἤνυσαν coll. Eur. Suppl. 1141⟩ 23 ἤντησεν 29 ἦν ὅπποτ' ἦσαν ⟨cf. 879⟩?

HES. Ad 59 κλίνει (Β 148) 60 ἠμύνατο (Act. App. VII 24)· ἐτιμωρήσατο, ἐξεδίκησεν 61 ἠμύνοντο (Μ 179)· ὑπερεμάχουν 62 ἠμύσειη· κλιθείη (Β 373). πέσειεν 64 ἤμυσαν· ἐξέκλιναν 65 ἠμφιάσαντο (Ps. LXXII 6 Symm.)· ἐφύρησαν 67 ἠμωδίαν· αἱμωδίαν ⟨Moer.⟩ 68 ἠμωδίασαν (Ierem. XXXVIII 29)· ἠνάρχησαν ⟨ἐνάρκ—⟩. αἱμωδίασαν 69b ην· τὴν ἑαυτοῦ. ἢ μὴ ⟨ἤμην⟩. ἐάν (schol. Eur. Phoen. 1747 et Moer.) 70 ἣν ἀρετὴν διακίσεται (Θ 535)· τὴν ἑαυτοῦ ἀρετὴν διαγνώσεται 72 ἤνασεν (Κ 33)· ἐβασίλευσεν 74 ἥνδανεν (ξ 525)· ἤρεσκεν, [ηὔξανεν ⟨ad ἤλδανε⟩] ὡς τό· ἥνδανε θυμῷ (Α 24) ἤγουν ἤρεσκε τῇ ψυχῇ 78 ἠνέγκατο δόξαν (Ps. XXVIII 1?)· ἠγάγετο δόξαν 79 ἠνείκαντο (Ι 127)· ἤνεγκαν 80 ἤνεις (Ζ 94)· ἐνιαυσίας τῇ ἡλικίᾳ. ἀδαμάστους. ἀνιῶνται γὰρ δαμαζόμεναι 88 ἤνεον (Γ 461)· ἐπῄνουν, συγκατετίθεντο 89 ἠνέπατι (Β 245)· ἐνέπληξεν 93 ἠνήνατο (Σ 450)· ὑπερηφάνησεν Ad 96 χώροις. τόποις. ἢ 97 ἡνιάσειγαλοῦντα· λῶρα πεποικιλμένα (Ε 226) 98 ἠνιδάικτος ⟨ἡμιδ—⟩ 601 Ἠνιοπήϊα (Θ 120)· ὄνομα κύριον 2 ἠνιόπι (Σ 349)· λαμπρῷ 9 ἤνοιγεν· ἐκέλευσεν 11 ἦνον (γ 496)· ἤνοον 13 ἠνόρ (Ζ 156)· ἀνδρείαν, εἶδος ἀρετῆς 14 ἠνορέηφι (Δ 303)· τῇ ἀνδρείᾳ Ad 15 ἀνδρεία. ἤνορον 16 ἦν ῥα (Π 590)· ἥν τινα δή 18 ἤντεον (Η 423)· ἀπήντουν ⟨ων⟩ 19 ἤντετο· ἀπήντησε (Π 788), συνήντα ⟨Υ 415 Δ 133⟩, ἤντησεν 25 ἤν τινα (Η 39)· ἐάν τινα 26 ἧντο (Γ 153)· ἐκαθέζοντο 27 ἤν τοι (Ο 32)· ἐάν σοι. ἢ ἄντι τινά σοι ⟨l. ἤντινά σοι⟩ 28 ἤντοτε· ὑπήντησεν (Π 788) 30 ἤ νυ (Δ 93). ἢ ἄρα 31 ἢ νῦν (Α 27)· ἢ ἐπὶ τοῦ παρόντος

ἤνυσεν· [ad 83] ἐτέλεσεν. ἔκτεινεν. κατέβαλεν

ἤνυστρα (Comici)· [ad 34] τὸ παχὺ μέρος αὐτῶν

ἤνυστρον (Ar. Eqq. 356)· ἡ πρώτη κοιλία τῶν μαρυκαζομένων ζώων. οἱ δὲ (ὑπο)γάστριον ἡδυσμένον. οἱ δὲ τὸ κόλον

ἤνυτον (Plat. Symp. 456, 21 Bk)· ἤνυον. ἢ ἐτέλουν (Eur. Bacch. 1100) [37—39]

ἦνωρ· ἄρχων

(ἦξις Eur. Tro. 396)· εἰσέλευσις, παρουσία

ἡνῶσθαι· συνῆφθαι [43—45]

ἠξίωσε ναίειν (Eur. Alc. 571)· ἄξιον ἡγήσατο οἰκεῖν [47]

ἢ οἵ· οἵτινες ἀληθῶς [49]

ἠοῖαι· ὁ κατάλογος Ἡσιόδου

ἠοίην· ὀρθρίαν (Call. Del. 280). ἢ τὴν πρὸς ἀνατολήν [ad 51]

Ἠοίην· τὸν Ἄδωνιν. Πανύασις (fr. XIV) [53]

ἠόνητο· ἐλέλουτο. καὶ ἤντλητο

ἠόνησας· κατήντλησας [56. 57]

ἠπανᾷ· ἀπορεῖ. σπανίζει

ἠπανία· ἀπορία. ἀμηχανία

ἠπανεῖ· ἀπορεῖ. σπανίζει. ἀμηχανεῖ

ἧπαρ (Hom.)· ἔξω τοῦ σπλάγχνου, ἢ βαθύγειος γῆ (Agroetas) [ad 61]

ἠπάτηνται· πεπλάνηνται

ἠπατικός· ὁ τὸ ἧπαρ ἀλγῶν

ἤπαφεν· ἠπάτησεν. ἐχλεύασεν. ἐπλάνησεν (ξ 488?)

ἠπεδανός· οἷον ἀπέδανος· ἤγουν ἄπους. χωλός. ἀσθενής (Θ 104). ἀναίσθητος. ἠλίθιος

ἠ'πεδίζειν· ὁμαλίζειν. ἐδαφίζειν [67—69]

ἠπείλησεν· [ad 70] ἐκαυχήσατο (Call. Dian. 251). † ὡρίσατο [71. 72]

ἤπειρος· γῆ. χέρσος. πᾶσα ἡ ἔρημος. καὶ ὁδὸς ⟨ὅλως⟩ ἄπειρος

ἠπειρώτης· ὁ ἐν γῇ οἰκῶν

ἠπεροπεύειν (Γ 399)· ἐξαπατᾶν, καὶ ψεύδεσθαι, ἤτοι παραλογίζεσθαι [76. 77]

ἠπερόπευεν· ἐξηπάτα

ἠπεροπεύοντα· ἐξαπατῶντα

ἠπεροπεύσας (Hesiod. Opp. 55)· ἐξαπατήσας

ἤ περ οὖν· ὥσπερεί, καθάπερ οὖν

ἤπετο· ἠκολούθει [83—85]

ἤπια· πραέα, προσηνῆ, μαλθακά, ἥμερα, χρηστά

ἠπίαλος (Aristoph. p. 1086)· ῥῖγος πρὸ πυρετοῦ. ἐκαλοῦντο δὲ οὕτω καὶ οἱ ψυχροί

ἠπιαλῶν (Ar. Ach. 1164)· ῥιγῶν. τὸ γὰρ πρὸ τοῦ πυρετοῦ ῥῖγος ἠπίαλόν φασιν

ἠπιάργυρον· τὸ βάλσαμον

† ἠπιήθη· ἐταπεινώθη

ἠπιόδωρος (Z 251)· ἤπια, καὶ χρηστά, καὶ προσηνῆ δωρουμένη κατὰ τὴν τροφήν

ἠπιόλιον· ῥιγοπυρέτιον

ἤπιον· προσηνές, πρᾶον, ἥσυχον, μαλθακόν, ἐπιεικῆ, ἥμερον [94]

ἠπιότητι· πραότητι

ἠ'πίταδες· ἐπίτηδες

ἠπιστάμην· ἠδυνάμην. ᾔδειν

ἠπίστησεν· ἠπείθησεν. οὐκ ἐπείσθη ⟨668⟩

ἠπίως (Plat. Lys. 211 E)· πράως

ἠπιωτάτως· πραοτάτως

ἤπλαχεν· ἥμαρτεν [702]

ἢ ποθέν (Ar. fr. inc. CLXXI)· ἀντὶ τοῦ ποῦ [4. 5]

ἠπύει (Ξ 399)· φωνεῖ

ἤπυεν· [ad 7] ἤχει, ἐκήρυσσεν

ἠπύτα· φωνητής, βοητής, κῆρυξ (H 384) μεγαλόφωνος [9]

COD. 34 ἠνύστραι 36 ἠτέλουν θ 48 ἢ οἱ 50 ἠοιαι, ὀκτάλογος 52 πάνναςις 54 ἠντλεῖτο 61 ἀλη ⟨66 ἠπ— ἠπέδιζεν κτλ.?⟩ 81 ἦπερ οὖν 88 ἠπιάλων, ῥίγων 96 ἠπι| 97 ἰδεῖν 700 ἠπιο| 3 πόθεν 6 ἠπύη· φωνή

HES. Ad 33 ἐπέρανεν, ἐπέρασεν (δ 357) Ad 34 αἱ κοιλίαι τῶν βοῶν, ἢ 37 ἠνώγεα (ι 44)· ἐκέλευον 38 ἠνώγει (e. c. Z 170)· ἐπιτάσσει, κελεύει 39 ἤνωγον (I 574)· ἐκέλευον 43 ἥξει (gl. Hebr. X 37)· ἐλεύσεται. ἔλθη 44 ἦξεν· συνεπείσθη, ὑπήκουσεν ⟨εἶξεν⟩ 45 ἠξίου· παρεκάλει 47 ἢ ὁδόν (A 151)· ἢ ἐπὶ ὁδόν· ἢ εἰς ἐνέδραν 49 ἠοῖ (H 331)· τῇ ἡμέρᾳ Ad 51 ἢ τὸν ἀπὸ πρωΐας μέχρι † καὶ ⟨ἕκτης?⟩ ὥρας χρόνον (δ 447) 53 ἤομεν (κ 251)· πορευόμεθα. ἢ ἐπορευόμεθα 56 ἠοῦς (Θ 508)· ἡμέρας 57 ἢ οὐχ ἅλις (E 349)· ἢ οὐχ ἱκανόν Ad 61 καὶ ἀληθές ⟨ad ὕπαρ⟩ 67 ἤπια (Δ 361)· μαλθακά, προσηνῆ, ἥμερα 68 ἠπείθησαν (Rom. XI 31)· οὐκ ἐπείσθησαν ⟨698⟩ 69 ἠπείθησεν (IV Regg. V 16)· ἀντεῖπεν Ad 70 ηὔξατο (Ψ 864) 71 ἠπειόδωρος (Z 251)· ἤπεια καὶ προσηνῆ δωρουμένη κατὰ τὴν τροφήν 72 ἠπείροιο μελαίνης (ξ 97)· τῆς Ἀκαρνανίας 76 ἧπερ, ὅπα ⟨λ 364⟩ 77 ἧπερ δη (I 310)· ὃν τρόπον δή 83 ἢ πέφαται (O 140)· ἢ πεφόνευται 84 ἠπειγμένως· συντόμως. σπευδόντως ⟨cf. ἐπηγ—⟩ 85 ἢ πῃ με (Γ 400)· ἆρά με. ἢ ποῦ με 94 ἠπίτρια· ῥάπτρια ⟨v. κωβελίνη⟩ 702 ἢ πληθύς (B 278)· ἢ (l. οἱ) ἐν τῷ πλήθει. ἢ πλῆθος 4 ἠπορεῖτο (Genes. XXXII 7)· ἠμηχάνει 5 ἤ που (Γ 43)· ὄντως ποῦ Ad 7 ἔκραξεν (ι 399) 9 ἠπυματίθησεν (Z 118)· ἥτις ἐσχάτη περιέτρεχεν

ἤπυσεν· ἤχησεν. ἐσάλπισεν [11]

ἦρ· τὸ ἔαρ (Alcm. fr. 72) [ad 12]

ἦρα· ἤτοι. ὄντως. ἢ χάριν, βοήθειαν (μετ'), ἐπικουρίας·

πατρὶ φίλῳ ἐπὶ ἦρα φέρων Διΐ (Α 578)

ἢ ἔφη. καὶ ἐπὶ τοῦ ἆρα (Alcm. fr. 54). καὶ ἦρα τὸν ἀέρα. καὶ τὴν γῆν. ἢ † ἀλκὴ καὶ οἶνος [14]

ἠράβησεν· ἤχησεν

ἠραίνει· ληρεῖ ⟨ἠλαίνει⟩

Ἥραιον· Ἡρακλέα [18. 19]

† ἤρακεν· ἠνίασεν

Ἡράκλεια· λίθος, ἣν ἔνιοι μαγνῆτιν λέγουσιν· οὐκ ὀρθῶς. διαλλάττουσι (γάρ.) καὶ ἡ μὲν ἐπισπωμένη τὸν σίδηρον Ἡράκλειά ἐστιν, ἡ δὲ ἑτέρα παραπλήσιος ἀργύρῳ. ὥστε Πλάτων ἁμαρτάνει τὴν αὐτὴν ὑπολαμβάνων μαγνῆτιν καὶ Ἡρακλείαν ἐν Ἴωνι (p. 363). καὶ γὰρ αὐτὸς ἀλλαχοῦ ἑτέρως καὶ ἑτέραν φησί. κέκληται δὲ οὕτως ἀπὸ Ἡρακλείας, τῆς ἐν Λυδίᾳ πόλεως. διὸ καὶ Σοφοκλῆς (fr. 728) Λυδίαν λίθον αὐτὴν καλεῖ, οἱ δὲ σιδηρῖτιν, οἱ δὲ Ἡρακλεῶτιν

Ἡράκλεια λουτρά· Ἡρακλεῖ πολλὰ μογήσαντί φασι τὴν Ἀθηνᾶν θερμὰ λουτρὰ ἀναφῆναι, οἷς χρήσασθαι αὐτόν· τινὲς δὲ καὶ αὐτὸν τὸν Ἡρακλέα κατασκευάσαι φασὶν ἑαυτῷ τὰ λουτρὰ θερμά· ἄλλοι δὲ Νύμφας αὐτῷ ποιῆσαι ἐν Σικελίᾳ

Ἡράκλεις (Ar. Rann. 298)· ἐκάλουν τὸν Ἡρακλέα εἰς βοήθειαν [λίθον] γενομένης βίας

Ἡρακλέους θυσία· παροιμία, ἐπὶ τῶν εἰκῆ ταῖς θυσίαις χρωμένων

ἠρανέων· βοηθῶν. χαριζόμενος

ἠρανίσθην· ἔρανον συνήγαγον

ἤρανος· βασιλεύς, ἄρχων. σκοπός, φύλαξ

ἤραντο· ἤροντο [ad 28] [29. 30]

ἤραξεν· ἔσχισε. συνέτριψεν. ἔρρηξεν

ἤραρεν· ηὐφράνθη (ε 95). ἥρμοσεν (Ψ 712). εὐτρέπισεν

ἠράρομεν· ἡρμόσαμεν. † ἠρήσαμεν

ἤραρον· ἔφραξαν. ἔδησαν. ἥρμοσαν [35. 35b]

Ἡράσιος· μὴν παρὰ Λάκωσιν [37]

ἦ ῥά τί οἱ· ἆρά τι αὐτῷ

ἦ ῥά τι ...· οὐχ ὅτι δήποτε [40]

† ἠρᾶτον· τὸν ἠρέαστρατιόν ⟨Ἡρᾶ τὸν Στράτιον?⟩

ἠργάνθη· ἐλευκάνθη. ἐπιάνθη

ἠργμένον· ἀρξάμενον [ad 43]

ἠρδαλωμένος· λεπρός. μεμιασμένος [45. 46]

ἣ ῥεῖ· ἥτις ῥεῖ, ἥτις ῥέει

ἤρειδε (Ar.)· σφοδρῶς κατηγόρει. ἐκ μεταφορᾶς τῶν ἐλαυνόντων [49]

ἠρέμα· ἀτρέμα. ἡσύχως. σχολαίως

ἠρεμεῖ· ἡσυχάζει

ἤρεμον· ἥσυχον. πρᾷον, ἥμερον

ἠρεμῶν· ἡσυχάζων

ἦρεν· ἐπῆρεν

† ἤρεσεν· ἠπείλησεν ⟨v. Soph. Ai. 251⟩

† ἤρεσθαι· κόπτεσθαι τὰς τρίχας

Ἠρεσίδες· κόραι αἱ λουτρὰ κομίζουσαι τῇ Ἥρᾳ [58—60]

ἠρεύγετο· ἐμυκᾶτο. ἔβρυξεν

† ἠρέχθεται· πλανᾶται. ἀμηχανεῖ

ἠρήκασιν· [ad 63] πεπορθήκασιν

ἠρηκότων· πεπορθηκότων [post 64]

ἠρηκώς· νενικηκώς [post 65]

ἠρημένοι· ἐκλελεγμένοι. θελήσαντες. ἐπικριθέντες [67—69]

† ἤρης· ἀφρῶν ⟨342. 716⟩

COD. 12 ἡ..' Post 12] καὶ τὸ — οἶνος 716 13 ἦρα τὸν δ' ἔρα ⟨confusa sunt ἦ ῥα, ἦρα, ἦρα = ἔρα⟩ 13 ἦρα — ἐπὶ ἦρα 16 ἠραινεῖ 17 ἥρωα τὸν Ἡρακλέα Cyr. 171
γρ. ἐν Ἴωνι
21 |εία, λίθος τὴν — μαγνίτην — μαγνήτην — ἐνίοτε — ἐλύδιε (h. e. ΕΛΥΔΙΑΙ) — σιδερίτην — |εώτην 23 ἠρακλᾶν ὡς καλὸν ⟨24 cf. εἰκῆ τῷ Ἡ.⟩ 31 ἔρριξιν 32 ἥρμωσεν εὐπέπειαν 33 ἠράρωμεν· ἡρμώ| 38 ῥατί — ἄρα τι 50 σχολεῶς ⟨56 κείρεσθαι?⟩ 61 ἔβρεξεν ⟨62 ἠερέθεται?⟩ 64—66 ἠρη|

HES. 11 Ἠπυτίδης (P 324)· Ἠπύτου υἱός Ad 12 καὶ τὸ πρωΐ 14 ἦ ῥα ἂν (v. l. η 22)· ἆρα ἄν 18 ἦρα καί (Δ 419)· δὴ οὕτως εἶπεν 19 ἦρα, καὶ ἐξ ὄχων (Δ 419)· οὕτως εἶπεν, καὶ ἐκ τῶν ἁρμάτων Ad 28 ἠρώτων 29 ἦ ῥά νυ· ἄρα γε 30 ἦ ῥά νυ τοι (K 401)· ἀληθῶς δή σοι 35 ἠρασάμην (Ξ 317)· .... 35b (ἠράσατο Π 182)· ἠράσθη 37 ἦ ῥατιμοι (E 421)· ἀληθῶς δήμοι. περί ⟨ἆρά⟩ τί μοι 40 ἤρατο (Ξ 510)· προπαροξυτόνως μὲν ἔλαβεν, ἀπηνέγκατο· προπερισπωμένως δὲ ἠρᾶτο (E 114) ηὔχετο, κατηρᾶτο Ad 43 εἰργόμενον. κωλυόμενον 45 ἠρέα ⟨—μα⟩· ἡσυχῇ. πρᾴως. ἱλαρῶς 46 ἦρει· ἄρχει ⟨ἡγεῖ⟩. κατελάμβανεν (Δ 23) 49 ἠρεῖτο (I Regg. XIX 2)· ἠγάπα 58 ἦρ' ἐτεόν γε (O 53)· ὄντως [μεγάλως] μετ' ἀληθείας 59 ἠρετισάμην (Ps. CXVIII [CXIX] 30)· ἠγάπησα, ἐπεθύμησα, ἠθέλησα, ἠράσθην 60 ἤρετο (Δ 513)· ἠρώτα, ἐπύθετο Ad 63 εἶπον ⟨ad εἰρήκασιν⟩ Post 64 εἰπόντων Post 65 εἰπών 67 † ἤρηντο· ἁρμόστως πράττειν ⟨εἴρειν· τό⟩ 68 ἠρήρει (M 56)· † ἐκράτει 69 ἠρήρειστο· ἥρμοστο (H 252). ἤριξεν. ἐπέπηκτο

ἠρησατο· [ad 71] κατηράσατο (Herod. III 124)
ἤρθρωσας· ἐτράνωσας
ἦρι [I 360)· πρωΐ. αὔριον. ἔαρι. ὄρθρῳ (Ibyc. I 1)
ἠρία· μνημεῖα
ἠριγένεια (Hom.)· ἡ τὴν ἡμέραν γεννῶσα· ἢ τῷ ἦρι γεννωμένη. καὶ παρ' Αἰσχύλῳ (fr. 418) ἡ λέαινα ἠριγένεια ἢ ἡ ἐν τῷ ἀέρι τίκτουσα, ἢ ἡ ἐν τῷ ἔαρι
ἠριγέν(ε)ιον· τὴν ἠρύγ(γ)ιον πόαν
Ἠριδανός· ποταμός (Atticae)
ἠριεργής· τυμβώρυχος
ἠριεύς· νεκρός [80]
ἠριθευμένων· πεφιλοτιμημένων
ἤρικεν (Soph. fr. 158)· ἐρράγη, διεσχίσθη (P 295) [ad 82]
Ἠρικεπαῖος· ὁ Διόνυσος [84]
ἤριμον· νέον
ἤριμος· ὀρθρινός [87]
ἠρισάλπιγξ (Callim. Ar. Av. 884)· ὀρνέου τι εἶδος
Ἦριν· τὴν Ἶριν
ἠρινόθερμον· τὸ ἄνθεμον
ἠρινολόγοι· οἱ τέττιγες
ἠρινοῦ πόκου (Com. fr. CXXX[a])· ἀπὸ τῶν ποιμνίων, τῶν (συμμάχων) κατ' ἔτος φόρον τελούντων ἔαρι
ἠρινῶς· ἐαρινῶς
ἠρίον (Ψ 126)· μνῆμα. τάφος [96]
ἠριπότην· ἡμέραν ἐξ ἡμέρας (πίνοντα) [98]
ἠρισμένος· ἐστηριγμένος ⟨ἠρει—⟩
ἠρίστριον· ἱμάτιον ἠρινόν [ad 800]
ἠρίφακον· θαμνίσκον. Λάκωνες
ἤριψε [ ] κατέβαλε [ ] [ad 2]
ἠρίχθη· ἐρράγη [4—6]
ἠρμαλώσατο· συνέλαβεν
† ἠρμανίζετο· οὐκ ἦν ἁρμόζον
ἤρμαξεν· ἐσκέπασεν. ὠχύρωσεν
ἠρμένος· [ad 10] κρεμασθείς
ἡρμοσμένου· εὖ κατεσκευασμένου [12]
ἤρνευεν· ἐκυβίστα
ἤρνυντο· ἐποίουν
† ἠροικάκαι· κοιλώματα τῆς γῆς
† ἠροίησεν· ἀπεσόβησεν
ἠρόμην· ἐρώτησα
ἦρον· εἰρήνην
ἤροντο· ἠρώτων [20]
ἦρος· συνθήκη. ἐκεχειρία: ἔαρος
ἤροσα· ἠροτρίασα
ἠροσάνθεια· ἀνθολογία. ἑορτὴ γυναικεία λαμπρά, ἀγομένη ἐν Πελοποννήσῳ κατὰ τὸ ἔαρ
ἤροσεν (Soph. O. T.)· ἐγέννησεν
ἠρόχια (Callim. fr. CIII)· τὰ θεοδαίσια. οἱ δὲ ἑορτήν· οἱ δὲ ἱερά
ἤρου· ἠρώτησας
ἠροῦ (Cyprii)· κατηροῦ
† ἠρούσταζον· ἐνήδρευον
ἠροῦτο· ἠροτριᾶτο. ἐ(σ)πείρετο
Ἡροφίλη· Σιβύλ(λ)ης ὄνομα
ἤρρεν· ἀπώλλυτο
ἤρρηκεν· ἥκει. ἀφῖκται [ad 32]
ἦρσεν· ἥρμοσεν ⟨798⟩
ἦρσαν· ἐπότισαν. ἥρμοσαν ⟨v. ἄρσαι⟩
ἦρτα· ἐκρεμάν(ν)υεν
ἠρταλέοντο· ὡπλίζοντο ⟨col. 235, 20⟩
ἠρτάμησεν· ἐτάραξεν. † διοίκησεν. ἤρτυσεν
ἤρτηται (Plat. Legg. 631)· κρέμαται
ἠρτιάζομεν (Ar. Plut. 816)· ἐπαίζομεν
ἠρτίσαντο· † ἐτάραξαν. ἡρμόσαντο
ἤρτισται· ἥρμοσται. † ἀνήρηται
ἦρτο· ἀντὶ τοῦ ἐπῆρτο [43]
ἠρτύνετο (B 55 K 302)· παρεσκευάζετο, ἡτοιμάζετο. ἡρμόζετο. κατηρτίζετο
ἠρτυμμένος· ἠρτυμένος
† ἠρύγμεν· αἱ καμπυλότητες τῶν σκελῶν. [καὶ πόας εἶδος ad 848]

COD. 73 ἤριον 75 ἠριγένιαν — γεννῶντα — γενομένη — ἠλέ.να 78 τυμβό| 83 ἠρικέπανος 84 ἠρίμα 88 ἦρι σάλπυγξ — τὸ 89 ἦριν — ἦριν ⟨90 cf. βηράνθεμον⟩ 92 ἠρινοτόκου — κατεοφόρους 94 ἦρις, ὡς Em. Cyr. 171 803 ἠρρίχθη ἐρράχη 13 ἤρνυεν, ἠκυβίστα 24 ἤρωσεν 25 ἔρια 28 κρουπτάξων· ἐνεδρεύσων? 31 ἤρρηεν· ἀπόλλυτο 32 εἰκῆ ⟨cf. ἔρρικεν⟩ ⟨37 ἐσπάραξεν, διέσχισεν?⟩ 39 ἠρ-
ἀρ
ταριάζομεν (h. e. ἠρτιάζομεν) 40 ἠρτή| 45 ἠρτυλιμένος

HES. Ad 71 ηὔξατο (Α 351) 80 ἠριθεύετο (Tobiae II 11)· εἰργάζετο Ad 82 ἔπεσεν ⟨ad ἤριπε⟩ 84 ἦρι μά(λα I 360·) ὄρθρου .... 87 ἦρινε· χώριζε ⟨κρῖνε⟩ 96 ἤριπε (Δ 462)· κατέπεσεν 98 ἤρισεν· ἔσχισεν, ἔρρηξεν ⟨ad ἤριξεν⟩. ἔπεσεν ⟨ad ἤριπεν⟩. ἠγάπησε ⟨ad ἠρέτισε⟩. συνέζευξεν, ἥρμοσεν ⟨ad ἦρσεν⟩ Ad 800 ἠπίστρεον Ad 2 καὶ ἤριξεν· ... κατέπεσε 4 ἠρίομεν (Α 62)· ἐζητοῦμεν 5 ἤρκεσεν (Z 16)· ἐβοήθησε. καὶ ἤρκεσεν 6 ἦρκται (Iob. XIII 15)· ἤρξατο Ad 10 ἐπικριθείς 12 ἤρξατο (ψ 310)· συνεφώνησεν 20 ἠροπᾶν ἦμαρ (T 162)· δι' ὅλης τῆς ἡμέρας Ad 32 παρ' Ὁμήρῳ (κ 72) δὲ μετὰ δυσχερείας· ἔρρ' ἐκ νήσου θᾶσσον, ἐλέγχιστε ζόντων 43 ἤρτυε (Σ 379)· παρεσκεύασεν

†ἠρυγγαίνετο· δεδάσυντο ⟨ἤλυγα—⟩

ἠρύγγιον· λεπτόν τι κάρφος ἀκανθῶδες, ὃ καὶ ἐπὶ τοὺς σωροὺς εἰώθασιν ἐπιτιθέναι τοῦ σίτου ⟨846⟩

ἤρυγεν· [ad 49] ἔπτυεν

ἠρύγετο· ἐπτύετο (ι 374?). ἐμυκᾶτο

ἠρυγ†κήμεθα· ἐμπεφορήμεθα. εἰλήφαμεν [52. 53]

ἠρυθροδάνωται· πεπύ(ρ)ρωται. κεκοκκίνωται [55]

Ἡρύκαλον· τὸν Ἡρακλέα Σώφρων ὑποκοριστικῶς

ἤρυκεν· ἐκώλυεν

Ἥρυλλον (Trag. adesp. fr. 493)· ὑποκοριστικῶς τὸν Ἡρακλέα

ἠρύσατο· ἤντλησεν [60. 61]

ἤρυτεν· ἐπὶ τῶν λουομένων. ἤντλει

ἤρχατο· καθεῖρκτο

ἦρχεν· ἡγεῖτο. κατῆρχεν. ὠφέλει

ἦρχεν (Lysias)· ἐπὶ τοῦ ἤρξατο, χειρῶν ἀδίκων

ἦρωαι· αἱ λεγόμεναι Ἔννοιαι ⟨Ἠοῖαι?⟩

ἡρώειον (Herod. V 47?)· μνημεῖον

ἥρωες· οἱ διαφέροντες ἀρετῇ. ἡμίθεοι. (Β 256). ἄνδρες γενναῖοι (Τ 78)

ἡρώησαν (Ψ 433)· ἀνεχώρησαν, ὑπεχώρησαν, ἐξεχώρησαν [70]

†ἡρώπτει· σκώπτει

ἥρως· δυνατός, ἰσχυρός. γενναῖος. σεμνός

ἥρως ποικίλος· ἐπὶ τῶν μεμαστιγωμένων. ἢ ὄφις

ἡρώτιζον· ἠρώτων

ἡρώων· πάντων τῶν κατ' ἐκεῖνον χρόνον ἀνδρῶν·

τοῖσι(ν) δὲ κρητῆρα κεράσ(σ)ατο Μούλιος ἥρως (σ 423)

ἧς· ἄρθρον θηλυκὸν ὑποτακτικόν, ἀντὶ τοῦ τῆς σύναρθρον ἀντωνυμίαν δηλούσης·

ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν (Τ 222)

καὶ τῆς ἑαυτοῦ καὶ τῆς ἑαυτῆς·

ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, οὐδὲ τοκήων (ι 34)

ἧσαι· παῦσαι [ad 77] (ἢ ἰάσασθαι καὶ θεραπεῦσαι)

ἦσαν· ὑπῆρχον [ad 78]

ἦσαν πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι (Anacr. fr. LXXXVI)· παροιμία ἀπὸ χρησμοῦ ἐπὶ τῶν προγεγονότων ⟨629⟩

ἤσας (Attici)· ἠδύνας. ἢ χάριν ἐποίησας

ἥσατο· [ad 81] ἥσθη (ι 353), εὐφράνθη, διεχύθη

ἥσειν· πέμψειν. †θεραπεύσειν. ἀφήσειν (θ 203). τέρψειν (Attici) [ad 82]

ἦσεν· ὕμνησεν

ἧσεν (ἔησεν)· εἴασεν [85]

ησθε· ὑπήρχετε. καθέζετε

ἡσθείς (Eur. fr. 187)· τερφθείς, χαρείς

ἥσθετο· ἐπειράσθη. ἔγνω. ἐθεώρει

ἥσθην· ἐχάρην (Ar. Eqq. 696) [ad 89]

ἤσθου· ἐνόησας, ἔγνως

ἠσὶ ἢ φησί· λέξει (Hermipp. fr. VI p. 382) [ad 91]

Ἡσίοδος (Alex. com. p. 444)· ποιητοῦ ὄνομα

ἤσκαιρεν· ἐσκίρτα

ἤσκει· ἐθεράπευεν. ἐπονεῖτο. ἐκόσμει [ad 94] ἐπεμελεῖτο [ ] [95]

ἠσκημένος· μεμελετηκώς. πεπαιδευμένος

Ἠσιονεῖς (Callinus?)· οἱ τὴν Ἀσίαν οἰκοῦντες Ἕλληνες

ἠσὶ πέπον· εὐτραφές

ἤσιχερ· δαψιλής ⟨v. ἀσιχήρ⟩ [900—2]

ἦ σοί (Soph. Ai. 1133?)· ἆρα σοί

ἤσπαιρεν ἐσκάριζεν (Eur. El. 843)· [ad 4] ἔσπαιρεν

ἡσπικότες· βοηθήσαντες

ἡσσήθη· ἡττήθη [7]

ἡσσωμένων (Aesch. Sept. 516)· ἐλαττόνων. ἡττόνων. ὑστέρων ⟨926⟩

COD. ⟨51 ἠρύγμ| an ἠρυγή —?⟩ 56 Ἡρ| ἐπικορ| 58 ἥρυλλον 65 ἤρχθη — χαίρων 71 v. θρώπτει, κρούπτει et EM. 427, 27 72 ἡρῶς et quater |ως 73 ἡρῶς ποικίλως — ὄφεις 75 κρατῆρα 76 μὲν κατὰ χαλκὸς 77. 80 ἢ — θεραπεῦσαι post ἠδύνας 81 ἠΐσατο 83 ἤισεν 86 ὑπάρχετε 88 ἤσθατο 89 .σθαι 90 ἤισθω

HES. Ad 49 ἐμυκᾶτο (Υ 403. 4) 52 ἠρύγων· μυκώμενος ⟨ἐρυγών⟩ 53 ἠρυθεύετο· ἐφιλονείκει ⟨ἠριθεύετο⟩ 55 ἠρύκακεν (Ε 321)· ἐκώλυεν 60 ἤρυσεν· ἐβόησεν ἢ ἐβόα. ἐμυκᾶτο. ἰδίωμα φωνῆς ⟨ἤρυγεν⟩ 61 ἤρυτο· ἐρύσατο ⟨εἴρυτο⟩ 70 ἡρωήσουσιν (Ξ 101)· μεθύσουσιν Ad 77 καθέζῃ (Β 255) Ad 78 ἐκάθισαν ⟨ἶσαν⟩. ἢ ἔασαν ⟨ἔησαν⟩ Ad 81 ἔκτισεν, ἱδρύσατο ⟨ἵσατο⟩. ἐκήδετο, ἐτεχνάσατο ⟨μήσατο⟩ Ad 82 κορέσαι ⟨ἆσαι⟩ 85 ἦσθα· ἦς ⟨Moer.⟩, ὑπῆρχες (Ε 898) ἐκάθισεν ⟨ἵσεν⟩ Ad 89 ἐκαθέζοντο δυϊκῶς (Δ 21) Ad 91 ὑπάρξει (θ 580) Ad 94 ἐμελεῖτο — εἰργάζετο (Γ 388) 95 ἤσκειν (Γ 388)· ἐργάζεσθαι, ἐπιμελεῖσθαι 900 ἠσμένισαν (I Reg. VI 19)· ἐχάρησαν ⟨v. οὐκ ἠσ—⟩ 1 ἠσμά· νόστημα ⟨ἔσμια⟩ 2 ἧσο (Β 200)· καθέζου Ad 4 ἔστιλβεν, ἔλαμπεν ⟨ad ἤστραπτεν⟩. ἀπέπνιγεν ⟨ad ἀπόερσεν⟩ 7 ἡσσόνων (Iob. V 4)· ἐλαττόνων

ἧσσον· ἧττον, χεῖρον. ὕστερον [10—11]

ἥστην (Ar. Eqq. 982. 3)· [ad 12] ὑπῆρχον

†ἡστήνειν· ἐρᾶν. ἐρᾶσθαι

ἡστόν· ἡδύ

ἧστο (Α 512 Callim. Del. 67)· καθέζετο

ἠστόχησεν· οὐκ ἐπέτυχεν

ἡσυχία· γαλήνη. ἠρεμία

ἥσυχος· ἀπράγμων

ἤστραψεν· ἔλαμψεν [20]

ἡσυχαῖον· τὸ μεθ' ἡσυχίας

Ἡσυχίδαι (Callim. fr. CXXIII)· γένος Ἀθήνησιν ἰθαγενῶν

ἥσχαλ(λ)ον· ἐλυποῦντο [24]

ἠσχολήθημεν· σχολὴν ..ἐποιήσαμεν [26]

ἥσω· ἀφήσω. ἐάσω [ad 27]

ἠτάκτησεν· μετὰ ἀταξίας ἔπραξεν

ἢ τὰν ἢ ἐπὶ τᾶ (Lac.)· ἢ ταύτην ἢ ἐπὶ ταύτῃ

ἤτας· ἤλγυνας

ἤτ' ἄν (Ε 201 Ar. Ran. 34)· ἐπεὶ ὥς [32. 33]

ἤ τάχα κεν (κα Callim. LXIII 5)· ἦν τάχα ἄν, ἴσως ἄν [35. 36]

ᾔτει· παρεκάλει [38]

ἡτέρα στροφή· ἐπὶ τῶν ἐξ ἀνάγκης ἑπομένων ἐν τοῖς μέλεσιν

ἡ τετράγωνος ἐργασία (Thuc. VI 27)· οἱ ἑρμαῖ [41]

ἡτιγόνιον ⟨τιτιγ—⟩· τέττιγι ὅμοιον. καὶ ὁ κέρκωψ

ἡτιήθη· ἐκνίσθη

†ἡτίζουσιν ⟨αἰτιάζ—⟩· αἰτιῶνται. ἐπιφημίζουσιν ⟨ἠήζ—⟩

ἠτίμασεν· ἄτιμον ἐποίησεν

ἠτιμωμένων· ἠφανισμένων [47]

ἥτιος (Dor.)· βολῆς [49]

ἤτοι· σύνδεσμος ἰσοδυναμῶν τῷ δέ. τινὲς δὲ καὶ ἀντὶ τοῦ μὲν χρῶνται [51]

ἤτοι ὅ γε (Α 68)· οὗτος δέ [53]

ἦτορ· ἡ ψυχή, θυμός. στῆθος

ἠ 'τρεμεῖ· ἡσυχάζει

ἦτρον (Ar. Thesm. 509)· ὁ περὶ τὸ ὑπογάστριον τόπος, ὁ ὑπὸ τὸν ὀμφαλόν

ἤτριον· ὕφος λεπτόν

ἢ τρὶς ἕξ, ἢ τρεῖς κύβοι (Pherecr. com. p. 315)· παροιμία [ad 58]

ἧττα (Plat. Lach. 196 A)· ἡ τροπή

ἧττον· μικρότερον. ἀντὶ τοῦ οὐδ' ὅλως

ἥττονες· καταδεέστεροι

ἥττοσιν· ἐλάσσοσι. καταδεεστέροις

ἠΰ· ἀγαθόν. ἰσχυρόν [ad 63] [64]

ἠϋγένειος (Theocr. XIII 61)· μέγα τὸ γένειον ἔχων. [ad 65] ἢ εὔγονος. ἢ εὐγενής. ἢ καλογένειος [66]

ηὐδάξατο· ἔχρησεν (Euphor. fr. XLIII). εἶπεν (Herod. V 51) [68]

ἠϋθέμιλον· εὐθέμιλον [70]

ηὔθυνεν· .....

ἠΰκομος (Α 36)· καλή, ἀπὸ μέρους. εὔκομος, καλλιπλόκαμος [ad 72]

ηὔληται· πεφύσηται: λελύπηται. τετάρακται. στρέφεται [74—76]

ηὔνασας· ἐκοίμισας. ἔπαυσας [78]

ἠΰς· καλός, ἀγαθός (Α 221) [ad 79] [80]

ἠΰτε· [ ] ὡς (Β 455) [ad 81] [82. 83]

ηὔχει (Aesch. Suppl. 329)· ἤλπιζεν

Ἡφαιστία (Hyperides)· Ἀθηνᾶ. καὶ πόλις τῆς Λήμνου

COD. ⟨13 εἰσπνεῖν?⟩ 21 ἡσύχαιον 29 ἤτ' ἄν, ἔπειτ' ἄν ἢ ταύτην, ἐπὶ ταύτην 30 ἦτας 43 ἠτίηθι cf. τετιημένος 48 ἥτιος 50 τὸ δὲ 57 ὑψηλὸς ἔλαφος 58 ἤτρις, ἐξήτρις ⟨73 ηὔληται et εὔληται = ἐόληται⟩

HES. 10 ἡσσόνων· ἐλαχιστοτέρων 11 ἧς οὔτι χάριν οἶδε (Λ 243)· παρ' ἧς οὐδὲ μίαν χάριν ἔσχεν, οὐδὲ παιδοποιΐας, οὐδὲ συμβιώσεως Ad 12 ἐκαθέζοντο δυϊκῶς (Δ 21) 20 ἦ σφιν (Δ 444)· ἢ τοῖς αὐτοῖς 24 ἠσχάτισεν (Iudic. V 28)· ὑστέρησεν 26 ἡσσόνων· ἡσσωμένων ⟨908⟩ Ad 27 ἀκοντίσω (Ρ 515) 32 ἤτασεν (Genes. XII 17)· ἐβασάνισεν 33 ἤ τάχα (σ 338)· οὕτω γὰρ ἴσως 35 ἤ τε (Κ 258)· ἤ τις 36 ἤτεεν (Ε 358)· ἤτεσεν (η) 38 ἢ τεόν (Α 138)· ἢ τὸ σόν. ἀληθές (Β 300) 41 ἤ τ' ἐφάμην (Γ 366)· ὑπέλαβον 47 ἠτίμασεν (Α 11)· ἠτίμασεν. ὕβρισεν 49 ἥτις· ὅστις 51 ἤτοι· καὶ δὴ οὕτως 53 ἤτοι ὁ μέν (Ε 537)· καὶ δὴ οὗτος Ad 58 ἐπὶ τῶν ἢ ἐπιτυγχανόντων ἢ ἀποτυγχανόντων. πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς παιδιὰς κύβοις, καὶ οὐχ, ὡς οἱ νῦν, δύο. ἔστι δὲ ὁμωνυμία Ad 63 τάσσεται δὲ καὶ ἐπὶ τοῦ ὡς ⟨ad ἠΰτε⟩ 64 ἤγει (Iob. XXIX 3)· ἔλαμπεν Ad 65 ἢ εὔτονος 66 ηὔδα· ἔλεγεν, εἶπεν (Α 92) 68 ηὐδόκησεν (Ps. LXVII 17)· ἐθέλησεν 70 ηὐθηνθη (I Regg. XVIII 20)· ὑπὸ ἔγκλημα ἔπεσεν Ad 72 [εὔκομος, καλή] 74 ἠϋκόμοιο (Β 688)· καλλικόμοιο 75 ηὐλίσθησαν (Nehem. XIII 20)· ἐσκήνωσαν. οἰκίσαν 76 ἠΰν· ἀγαθόν (Ε 628), καλόν 78 ηὐπόρησεν (Sapient. X 10)· ἐπλούτησεν Ad 79 μέγας, γενναῖος (Β 653), ἀνδρεῖος 80 ἢ ὕστερον (Α 27)· μετὰ ταῦτα Ad 81 καθάπερ. ὥστε. ὥσπερ, ὅτε. καθά 82 ἠΰ ἤντε ὀμίχλη (Α 359)· καθάπερ ὀμίχλη, σκοτία, ὑδατώδης ἢ παχὺς ἀήρ 83 ηὐτομόλησαν (Iosu. X 1. 4)· προσέδραμον τοῖς πολεμίοις

Ἡφαιστιάδαι· Ἀθηναῖοι

ἡφαιστόδαπτα· πυρίκαυτα

Ἡφαίστοιο (Β 426)· τοῦ πυρός

Ἥφαιστος· ὁτὲ μὲν ὁ θεός·

Ἥφαιστος ποίησεν ἰδ(υ)ίῃσιν πραπίδεσ(σ)ιν (Υ 12)

ὁτὲ δὲ μετωνυμικῶς τὸ πῦρ. παρά τισι δὲ ὁ ἥλιος

ἤφασσεν· ἐψηλάφα

ἠφειδηκότες· μὴ φεισάμενοι. καταπτύσαντες

ἠφείδουν· οὐκ ἐποιοῦντο φροντίδα, οὐκ ἐφείδοντο

ἠφείσθη· ειάθη. συνεχωρήθη [94]

ἠ 'φίαλεν· ἐπεχείρησεν

ἤφιει· ἔπεμπεν. ἀπέλυεν

ἤφιεσαν· ἔπεμπον. εἴων [98. 99]

ἠφυσάμην (η 286)· ἐφειλκυσάμην

ἤφυσεν· διέτεμεν χόλον. ἀπήντλησεν. διέκοψεν (Ν 508)· ἔπιεν. ἐξεφύσησεν. ἐξήνθησεν

ἡ χάραξ τὴν ἄμπελον· παροιμία

†ἤχανεν· εἶπεν

ἠχεῖ (Soph. Tr. 866)· φωνεῖ, ψοφεῖ

ἠχεῖον· τὸ χαλκίον. οἱ δὲ μουσικοὶ τὸ πρὸς τῇ μαγάδι χάλκωμα

ἠχέτα (Hesiod. Op. 580)· ἠχητικός

ἠχέται· ἡδύφθογγοι τέττιγες

ἠχή· φωνή, ἦχος (Ν 837; Moeris), βοή [1009]

ἠχήεσσα· ἠχώδης, εὔηχος. θορυβώδης

ἠχήεντα (Archil. 76, 8)· εὔηχα

ἠχῆνες· κενοί. πτωχοί

ἠχηταί· κήρυκες. κρᾶκται. ᾠδοί. τέττιγες ἡδύφθογγοι

ἦχθαι· τεθηρεῦσθαι [15. 16]

ἤχθετο· ἔβριθεν. ἔτεμνεν ⟨ἔγεμεν⟩. ἠνιᾶτο [Ad 17]

ἠχθισμένην· βεβαρημένην

ἧχι (Λ 607)· ὅπου. ἵνα. ἐνθάδε, ἐν ᾧ τόπῳ

†ἤχλαν· τὴν λυπηράν

ἤχλυσεν (μ 406)· ἐσκότισεν. ὁμίχλης ἐπληρώθη, ἐκαλύφθη ἀχλύϊ [22]

ἦχος· φωνή. κτύπος. ἐκφώνησις [24—26]

ἠχὼ πετραίαν χυτρόπωλιν (Com. an. CXXXb)· λέγει [οἱ] δὲ τὴν Αἴγιναν, ἐπειδὴ ἐκεῖ ὄστρακα πολλά ἐστι· νῆσος γάρ ἡ Αἴγινα

ἥψατο (Λ 512)· ἐλάβετο. προσέφυγεν. κατεκράτησεν (Thuc. I 97)

ἠψήσατο (Com. Gr. IV p. 680)· ἑψητῷ βάμματι ἐβάψατο [30]

ἠῶα· ἡ κέδρος, ἐθνικῶς [32—34]

ἠωκοίτων· ὀρθρινῶν ὕπνων

ἠῶν· παραθαλάσσιος (τόπος)

ἠῷος· ὀρθρινός

ἠωρεῖτο· ἐκρέματο. ἐκινεῖτο

ἤωρτο· ἀπεκρεμνᾶτο. ἀπήρτητο

ἠώς· ἡμέρα, τὸ πρῶτον φῶς, ἤγουν αὖγος φῶς ⟨λυκόφως?⟩. τὸ αὖγος. ἀνατολή. ἡμέρα. καὶ ὁ ἀπὸ ἀνατολῆς μέχρι μεσημβρίας χρόνος·

ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ (Θ 66)

καὶ ὅλη ἡμέρα·

...... ἥδε δέ μοι νῦν
ἠὼς ἐνδεκάτη (Φ 155)

καὶ τὸ λυκόφως·

παννυχίη μέν ῥ' ἥγε καὶ ἠῶ πεῖρε κέλευθον (β 434)

## Θ

θαάσσει· κάθηται. διατρίβει

θάβακον (Lacon.)· θᾶκον. ἢ θρόνον [4]

θαγῇ· †ἥξεις

θάεο (Anyte)· θεώρει

COD. 86 |άδες cf. Ἰφιάσται 87 |αμα, περίκαυτα 90 ἤφασεν εἰλήλαφα 95 ἠφίαλεν cf. ἐφίαλεν 97 εἶον 1001 πόλρν 3 cf. ἔχανεν, χάνοιμι ⟨ἢ χάνεν⟩ 5 τὸν χαλκὸν — μουσικὸν — μεγάδι 11. 12. 13 = 13. 11. 12 ⟨12 v. ἀεχῆνες, ἀχῆνες, κτεανήχης⟩ 18 cf. ἐπεχθι| 21 ἤχλησεν — ἀχλάϊ 27 ἠχωπτερέαν 36 ἠϊῶν 37 ἠιῶος 38 ἠώρετο 39 cf. ἔωρτο 40 ἄξετο — ἤδεδεμοινεν ἠὼς ἡ ἐνδ| — παννυχὶ ἡμέρηγε Θ 2 θαάσει 3 θαβακόν, θακόν ἢ ὁμορόν

HES. 94 ἠφερ.᾽φων· ἐξ ἀμφοτέρων τῶν μερῶν στεγάζων 98 ἠφιστοῖο (Β 426)· τοῦ πυρός 99 ἠφρο(υ)εύσαντο (Ierem. X 21)· ἐμώραναν 1009 ἤχησεν (I Reg. IV 5)· ἐψόφησεν 15 ἤχθαιρεν· ἐμίσει (Ρ 270) 16 ἤχθηρεν· ἐμίσησεν (Υ 306) Ad 17 ἐβαρύνετο (Λ 400) 22 ἤχθετο (Ν 352)· ἐκυποῦτο. ἐθυμοῦτο 24 ἦχου· ἐνθάδε ⟨ἧχι· οὗ⟩ 25 ἠχώ (Sapient. XVII 19)· μακρὰ φωνή, ἀνακλωμένη ἀπὸ στερρῶν καὶ ἀντιτύπων, ἐπὶ τὸν προέμενον πάλιν ἐπανιοῦσα 26 ἠ χροῇ (Ξ 164)· τῷ ἑαυτῆς χρωτί 30 ἤψησεν (I Reg. IX 24)· ἐμαγείρευσεν 32 ἠωήματι (Ζ 422)· μίᾳ ἡμέρᾳ 33 ἠῶθεν (Η 372)· πρωΐ, ἅμα ἡμέρᾳ, ὄρθρῳ 34 ἠώθι πρό (Λ 50)· ὑπ' αὐτὸν τὸν ὄρθρον. πρὸ ἡμέρας, πρὸ τῆς ἀνατολῆς Θ 1 Θάασεν (I 194)· ἐκαθέζετο 4 Θαβώρ· ὄρος Συρίας

†θαζόμενος (Plat. Civ. 474 A?)· σκώπτ†ων
†θαίβει· ἐλαύνει
†θαιμός· †οἰκία. σπόρος, φυτεία
θαιροδύται· οἱ ἐν τῷ ζυγῷ δακτύλιοι, δι' ὧν οἱ ῥυτῆρες ..... [11]
θαιρός (M 459)· ὁ διήκων ἀπὸ τοῦ ἄνω μέρους ἕως κάτω στροφεὺς τῆς θύρας. ἤ ἄξων. Σοφοκλῆς Τριπτολέμῳ (fr. 536)
θακεύουσι· κάθηνται εἰς τὰς χρείας
θᾶκος (Cratin. fr. IV p. 18)· καθέδρα, θρόνος
θαλάμη (ε 432)· τρώγλη, [ad 15] κατάδυσις
θαλάμαι· †στῆλαι ἐπικείμεναι τοῖς αἰδοίοις τῶν ἀποκόπων
θαλαμηπόλος (η 8 ψ 293)· ἡ περὶ τὸν κοιτῶνα ἢ περὶ τὸν θάλαμον διατρίβουσα ἢ ἀναστρέφουσα. Ἀππίων δὲ κοιτωνοφύλαξ, νυμφαγωγός, τοῦ θαλάμου ἐπιμελουμένη
θαλάμιαι κῶπαι (Thuc. IV 32)· αἱ κατωτάτω. καὶ οἱ ταύτην ἔχοντες τὴν χώραν θαλαμιοὶ λέγονται [18b]
θαλαμιὸς ἐρέτης· ὁ κατωτάτω ἐρέσσων ἐν τῇ νηΐ θαλαμιός λέγεται, ὁ δὲ μέσος ζύγιος, ὁ δὲ ἀνώτατος θρανίτης [20]
θάλαμος· οἶκος. μυχός. νυμφικὸς οἶκος
θαλάμων ἄνασσα· Ἀφροδίτη
θάλασσα κοίλη (Com. an. XCVa)· ἡ χειμέριος. καὶ τὸ θέατρον
θαλασσεύς· ἁλιεύς [25]
θαλάσσιος Ζεύς· ἐν Σιδῶνι τιμᾶται
θαλασσωθείς· ἁγνισάμενος [28]
θαλαττοκοπεῖς (Ar. Eqq. 830)· ματαιολογεῖς
θαλαττοπορῆσαι· πλεῦσαι διὰ θαλάσσης
θαλέει ⟨—έθει⟩· θάλλει, ἀνθεῖ
θαλέεσσι (Callim.?)· πιότητι, λιπαρίαις [33]
θαλέθοντα· θάλλοντα, βλαστάνοντα, ἀνθοῦντα. εὐτροφοῦντα
θαλεία· (ὡς) παιδεία. εὐθυμία. ἡδονή. καὶ ἡ Μοῦσα ⟨Θάλεια⟩

θαλείας· πότους, μέθας. λιπᾶς πήρας [37]
†θωλεῖον· καθαρόν ⟨θάλειον?⟩
θαλεραί· οἰκτραί
θαλεροί· ἀκμάζοντες (Γ 26), ἀνθοῦντες. πολλοί. πρόσφατοι. ἀθρόοι. ὑγροί. οἰκτροί [41]
θαλερός· ταχύς [ad 42] [43]
θαλέων· τῶν θάλλειν ποιούντων. ἡδονῶν. παιγνίων. ἡδέων. τῶν πρὸς τὸ θάλλειν ἐπιτηδείων (X 405)
θαλία· εὐθηνία. εὐωχία. πανήγυρις. τέρψις, εὐφροσύνη
θαλίῃ (I 143?)· τὰ αὐτά
θαλιοποιοί· οἱ τὰ †σκυτούμενα κιβώτια, καὶ τοὺς δερματίνους ῥίσκους ἐργαζόμενοι
†θαλιπόδους· οἱ πολλοὺς καὶ ἐνδόξους ἔχοντες ......, ἢ γένος ἐν ὅπλοις ἔνδοξον
(θάλλει· [Soph. O. C. 681] ἀκμάζει, ἀνθεῖ)
θάλλικα· σάκκου εἶδος
θαλλίς· μάρσιππος μακρός
θαλλόν (ρ 224?)· ὃ ἐσθίουσιν οἱ βόες
θαλλός· [ad 53] πᾶν τὸ θάλλον. κυρίως δὲ κλάδος ἐλαίας, ἢ φοίνικος βλάστημα (Poll. I 244)
θάλλουσα· αὐξάνουσα
θαλλοφόρος (Ar. Vesp. 544)· ὁ πομπεύων Ἀθήνησι, καὶ ἐλαίας κλάδον φέρων. λέγει δὲ καὶ γέροντας θαλλοφόρους, πρὸς οὐδὲν ἄλλο χρησίμους, ἢ πρὸς τὸ θαλλ(οφορ)εῖν [56. 57]
θάλπος· καῦμα. π(α)ραμυθία
θάλπω· θερμαίνω. παραμυθοῦμαι
θαλπωρή (α 167)· παραμυθία. σκέπη. χαρά. σωτηρία. [ad 60] ἐλπίς. ἀσφάλεια. ἡ διάχυσις
θαλυκρέονται· ψεύδονται
θαλυκρόν· ἰταμόν. λαμπρόν. βλοσυρόν. ἀναιδές. πανοῦργον. θερμόν. χλιαρόν
θαλύνει· θάλλειν ποιεῖ ⟨v. ἁλύνει⟩
θαλύ(πτ)εσθαι· φλέγεσθαι

COD. ⟨7 Lobeck. Path. El. 150⟩ 12 διοικῶν 17 κοιτονοφύλαξ 18 θαλαμίαι 19 bis θαλάμιος 19 ἐρετρεύς — νηΐ. Θαλ| ὁ δεσμός 20 κατασκ| 32 v. Suid. 36 πόθους — λίνας 41 πολὺ 48 θαλλινώδης, ὑποῦλος. ἐνδόξους ἔχων ἡγεμόνας Cyr. 171 49] post 39; et cf. 56 50 σάκου 55 |όρους, πομπεύων ὁ 62 βροσυρόν χλυρόν

HES. 11 θαιροδύτης· ὁ δακτύλιος τοῦ ζυγοῦ Ad 15 [θυρίς ⟨ad σαλάμβη⟩] 18b θαλάμιος· ὁ κατωτάτω 20 θαλάμοιο νέοιο (P 36)· κατεσκευασμένου νεωστί· ὑπὸ γὰρ τοὺς γάμους αὐτοὺς τῶν ἡμέρων θαλάμους ἐπήγνυον· (ἢ) ὡς οὐκ ἔκπαλαι αὐτοῦ γεγαμηκότος 25 θαλάσσια ἔργα (B 614)· ναυτικά 28 θαλάσσια· τὰ τῆς θαλάσσης 33 θαλέοντες (I 467)· θάλλοντες 37 θαλείῃ (I 143)· εὐδαιμονίᾳ, εὐθηνίᾳ. ἀκμή. εὐφροσύνη 41 θαλερὸν δάκρυον (Ω 9)· τὸ πολὺ καὶ (μὴ) ξηραινόμενον, ἀλλ' ἐπὶ τῶν ὀφθαλμῶν ἀεὶ θάλλον Ad 42 ἰσχυρός (Z 430) 43 θαλέων (X 405)· τῶν ... θάλλειν ἐπιτηδείων Ad 53 κλάδος ἐλαίας: ἄνθος. γέννημα ⟨ad θάλος⟩. καὶ 56 θάλπει· ἀκμάζει, ἀνθεῖ ⟨49⟩ 57 θαλπίω (Cant. IV 4)· ἐπάλξεις

**θαλύσια** (*I* 534)· αἱ τῶν καρπῶν ἀπαρχαί

**θαλύσιος ἄρτος**· ἀπὸ τῆς ἅλω πεττόμενος πρῶτος

**θαλυσσόμενος** (Aeol.)· φλεγόμενος

**θαλύψαι**· θάλψαι. πυρῶσαι

**θάλωμεν**· βλαστήσωμεν: βλαστάνωμεν ⟨ad ⟨θάλλωμεν⟩ [70]

**θαμάκις** (Pind. N. X 71)· πλειστάκις, πολλάκις [72]

**θαματροχεῖ**· οὐχ ἡσυχάζει

**θαμβαλέον**· φοβερόν. θαυμαστόν ⟨v. 143⟩

**θαμβεῖ**· ἐκπλήττει ⟨—τεται?⟩

**θάμβος**· θαῦμα. ἔκπληξις

**θαμέας** (ξ 12)· πυκνούς, συνεχεῖς

**θαμέες** (*K* 264) **καὶ θαμειαί** (*Λ* 52)· τὰ αὐτά· καὶ **θαμ(ε)ιάς** (*M* 44)

**θαμίζεις** (*Σ* 368)· συνεχῶς ἔρχῃ, πυκνάζεις (Plat. Civ. 5, 18 Bkk.)

**θαμίζεται** (Soph. fr. 480)· ὁμιλεῖ

**θαμίζῃ**· συνεχῶς διατρίβῃ καὶ παραμένῃ (τὴν) ἑαυτοῦ ναῦν φυλάσσων

**θαμινά**· πυκνά, πολλά

**θαμινῶς**· συνεχῶς, πυκνῶς

**†θάμιξ**· ἀλώπηξ

**θάμν†ας**· δενδρώδεις τόπους, δασεῖς (ε 476?)

**θάμνισον**· ἀποκάλυψον ⟨ἐπικ—?⟩

**θάμνοι** (*Λ* 156)· δασέα καὶ πυκνὰ δένδρα. καὶ οἱ σύνδενδροι τόποι

**θάμνος** (ψ 190)· πυθμὴν δένδρου. ἡ ῥίζα πολλοὺς κλάδους ἐκπέμπουσα. ἢ καθ' ἕνα τόπον τῆς ὕλης συ(σ)τροφὴ καὶ ἡ συνεχὴς φυτεία ⟨cf. 9⟩. καὶ ἡ περιοχὴ τῆς ἐλαίας. καὶ ὅρμενοι. καὶ οἱ σύμφυτοι ἢ δενδρώδεις (τόποι): ἢ βάτος. ἢ ξύλον ἀκανθῶδες ⟨ῥάμνος?⟩

**θαμύντεραι**· πυκνότεραι

**Θάμυρις**· πανήγυρις, σύνοδος, ἡ πυκνότης τινῶν. καὶ ὁδοὺς **θαμυρὰς** τὰς λεωφόρους. ἔστι †τὸ καὶ κύριον ὄνομα (*B* 595)

**θαμυρίζει**· ἀθροίζει, συνάγει

**Θάμυρις μαίνεται**· [ad 92] [93]

**θάνατος**· ὅ τε θεός· καὶ ὃ πάσχομεν, τέλος ὂν †τοῦ ἐκ τοῦ βίου. ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. καὶ ὁ σωματοειδὴς θεός. καὶ ἡ δυσωδία

**θανατῶν**· θανάτου ἐπιθυμῶν

**θανεῖσθαι**· ἀποθανεῖσθαι (*Δ* 12?) [96]

**θᾶξαι**· μεθύσαι

**θάοντα**· διδάσκοντα. θεωροῦντα

**θαοῦνται**· ὁμοίως

**θάπαν**· φόβον ⟨cf. φάβα⟩

**θάπτα**· μυῖα. Κρῆτες [103]

**θαργήλια**· Ἀπόλλωνος ἑορτή. καὶ ὅλος ὁ μὴν ἱερὸς τοῦ θεοῦ. ἐν δὲ τοῖς (θ)αργηλίοις τὰς ἀπαρχὰς τῶν φυομένων ποιοῦνται, καὶ περικομίζουσι· ταῦτα δὲ θαργήλιά φασι· καὶ μὴν **θαργηλιών**. καὶ τὴν εὐετηρίαν ἐκάλουν **θάργηλον**. καὶ Ἀρχίλοχός φησιν·

†ὡς φαίε νῦν ἄγει †τὰ θαργήλια ⟨φατε — ταργήλια⟩

καὶ ὁ **θάργηλος** (Timocl. III p. 594) χύτρα ἐστὶν ἀνάπλεως σπερμάτων. [καὶ παρὰ Μιλησίοις ᾀδομένη ἐπὶ φρονήσει (Com. IV p. 720)

**Θαργηλία**· ἔστιν ἡ Θαργηλία Μιλησία μὲν τὸ γένος, εὐπρεπὴς δὲ τὴν ὄψιν, καὶ τἄλλα σοφή, ὥστε στρατηγεῖν πόλεις καὶ δυνάστας. διὸ καὶ πλείστοις ἐγήματο τῶν διασημοτάτων

**θάργηλος** (Timocles l. c.)· χύτρα ἱεροῦ ἑψήματος

**θαρνεύει**· ὀχεύει. σπείρει. φυτεύει

**θαρρία**· τρασιά

**?θάρνυσθαι**· ὀχεύειν ⟨θόρν—⟩

**?θάρνυται**· περὶ συνουσίαν ὁμιλεῖ· θάρνυσθαι γὰρ τὸ κυΐσκεσθαι. τοῦτο δὲ νῦν δηλοῖ τὴν διὰ λόγων ἔντευξιν καὶ ὁμιλίαν. σημαίνει δὲ καὶ ὀχεύει

**θαρσύνεται**· μετεωρίζεται ⟨θαρρ—⟩ [12—15]

COD. 65 *θαλύσιαι* ⟨68 v. ἀκροθάλυπτα, ὠμοθάλυπτα⟩ 71 |*κεις* 81 |*ζει* — |*βει* — |*νει* 85 *θάμνας* est *lora* 88 *ἡ ῥίζα — ὅρμοι* (**θάμνος**· *ξ. ἀ. βάτος* Cyr. 171) 90 *θαμύρας* ⟨v. *ἀμύκαρις*⟩ ⟨99 *θαόντα* = *δαόντα* Cretice pro *διδάσκοντα*⟩ 104 *φαινομένων* — *βυετηρίαν* — *ἀγομένη ἐπιφρώνησις* 5 *πλείστην* 7 *ὀχλεύει. ὀχεύει* 8 *τρασία* 9 *ὀχλεύειν* ⟨possis *μαχλεύειν*⟩ 10 **θάρνυται**· *μεταιωρίζεται, θ. — διαλόγων ἔντευριν* 11 **θαρσύνεται**, *περὶ συνουσίαν ὁμιλεῖ*

HES. 70 *θαμά* (*O* 470)· *θαμινά, συνεχῆ* 72 **θαμά** (ficlic.)· *τὰ πυκνά. καὶ* **θαμέα** *τὰ αὐτά* Ad 92 *παροιμία, ἐπὶ τῶν κατὰ σύνεσιν παράλογόν τι πραττόντων* 93 **θανάτοιο μέλαν νέφος** (δ 180)· *περιφραστικῶς αὐτὸς ὁ θάνατος* 96 *θάνοιεν* (χ 472)· *ἀποθάνοιεν* 103 *θαρραλέως*· *εὐθαρσῶς. ἀνδρείως* 12 **θάρρος**· *θάρσος* ⟨Moeris⟩ 13 **θαρσαλέον** (*E* 602)· *ῥᾴδιον* 14 **θαρσαλέως** (e. c. α 283)· *ῥᾳδίως* 15 *θάρσος ἢ* **θάργος**· *τὸ θράσος. ἀνδρεία. δυναστεία*

θαρσύς· θρασύς (?) [17. 18]

θαρρῶ· θρασύνομαι ⟨θαρσῶ ordo⟩

Θασία· ἅλμη (Cratin. fr. III p. 17), εἰς ἣν ὄψα ὠπτήμενα ἔβαπτον. καὶ ῥαφάνου εἶδος. οἱ δὲ βάμμα τι [21]

Θάσιος παῖς Ἀγλαοφῶντος (cf. Simon. epigr. 162)· ἔστι δὲ σεμίδαλις, † ἐπὶ τοῖς ἔργοις γενομένη, ἀπὸ Ἀγλαοῦ, τοῦ ἐξ ἀρχῆς ποιήσαντος, Θασίου ὀνομασθεῖσα

θᾶσσε· κάθισον ⟨καθῆσο ?⟩ [24. 25]

θάσσοντας· καθημένους

θάσσουσα· σπεύδουσα ⟨θᾶσσον ἰοῦσα ?⟩

θάσσω· παρακαθέζομαι

θάσσων· [ad 29] καθεζόμενος [30]

θάτας· θῆτας, τοὺς δούλους. Κύπριοι

θάτερα· τὰ ἄλλα, ἑκάτερα, ἕτερα μέρη

θατέρου (Eur. fr. 656)· ἑνός

θατῆρας (Dor.)· θεατάς

θᾶττον· εὐθύς, τάχιον, ταχέως

θᾶττον ἢ Βούτης [ad 36]·

(θατύς· ἰκρίον. θεωρεῖον) [38]

Θαύλια· ἑορτὴ [ad 39] ἀχθεῖσα ὑπὸ Κεάτου· παρ' ὃ καὶ θαυλίζειν † λέγειν τοὺς Δωριεῖς

Θαυλωνίδαι· γένος ἰθαγενῶν Ἀθήνησι [40]

θαῦμα· ἔκπληξις. ξένισμα

θαυμαίνει· θεωρεῖ. θαυμάζει

θαυμαλέον· φοβερόν. θαυμαστόν ⟨v.74⟩ [44]

θαυμανέοντες· θεώμενοι, ὀψόμενοι·
 ἀέθλια θαυμανέοντες (θ 108)
τὸ δὲ καθ' ἡμᾶς θαυμάζειν θηεῖσθαι λέγει·
 θηεῖτο δὲ κούρη (ζ 237)
καὶ θηητὸς (Hes. Th. 31) ὁ θαυμαστός

θαυμάσιος· θαυμαστός

θαύματα (Plat. Legg. 658 B Xen. Conv. II 1)· ἃ οἱ θαυματοποιοὶ ἐπιδείκνυνται

θαυματίζομαι· ἐκπλήττομαι

Θαῦμος ἢ Θαῦλος· Ἄρης Μακεδόνιος

θαῦνον· θηρίον

? θαυλέα· οὐρά, κέρκος

θαχθῆμεν· θωριχθῆναι. Δωριεῖς

θάψαι· κατορύξαι. † κάψαι, ἀπὸ τοῦ θάλπεσθαι

θάψινον (Sapph. fr. 167)· τὸ ξανθόν, ἀπὸ τοῦ ξύλου τῆς θάψου, [ad 55] ᾧ ξανθίζουσι τὰ ἔρια καὶ τὰς κεφαλάς. τοῦτό τινες Σκυθικὸν λέγουσι. καὶ ὁ ποταμός, παρ' ᾧ φύεται τὸ ξύλον, Θάψος καλεῖται. ἔστι δὲ καὶ ῥίζα θαψία καλουμένη [56]

θέα· σκόπει, θεώρει, ὅρα

θεάμονας· θεατάς

θέαν (Plat. Phaedr. 250 B)· ὄψιν. θεωρίαν. ὄμματα

θεαγγελεῖς· οἱ τὰς πανηγύρεις ἐπαγγέλλοντες

θεαγενής· ὅσιος, θεοσεβής

θέαγον ⟨θεάϊον⟩· τὸ θεῖον, ᾧ καθαίρουσι. Σαλαμίνιοι

θέαμα (Aesch. Prom. 69)· θεώρημα

† θεανὴ νῆσος ⟨θεία νόσος ?⟩· ἡ ἐκ θεοῦ, θεία. Σοφοκλῆς Τυροῖ ά (fr. 585)

θεανῶσται· οἱ ξυστῆρες ὑπὸ Θετταλῶν

θέα παρ' αἰγείρῳ (Cratin. fr. XXXVIII)· τόπος αἴγειρον ἔχων, ὅθεν ἐθεώρουν. εὐτελὴς δὲ ἐδόκει ἡ ἐντεῦθεν θεωρία· μακρόθεν γὰρ ἦν καὶ εὐώνου ὁ τόπος ἐπωλεῖτο

θεατόν· τὸ ἐκλεκτόν. ὁρατόν, καὶ θεωρητόν

θέατρον· θέαμα. ἢ σύναγμα [60]

θεείου (μ 417)· θείου

(θεειώσω [χ 482]· καθάρω) [72. 73]

θεηγόρων· θείων: ἢ ἐκ θεοῦ λαμβάνων ....

θεήλατον (Soph. OT. 249)· ὑπὸ θεοῦ πεπ(λ)ηγμένον, ἢ πεμφθέν [76]

θειαζόντων· μαινομένων [78]

θ(ε)ιασμοῦ· εὐωχίας. ἐνθουσιασμοῦ

θειασμῷ· εὐωχίαις. μαντείαις [81]

† θεῖα· ἴγδια. καὶ θεοῖς ἐοικότα. Κύπριοι

† θείειν δρομαῖς· ...... [84]

COD. 20 θαστία — ὀπτωμένα — βαμμάτιον 22 παῖς 31 θύτας 37 legebatur ante 153 θαυσήκρι, cf. ἐς θατύν 39 θαυλία 40 |ίδες 46 |νώντες θεαώμενοι — καὶ ῥηιστός ὁ ⟨52 Latet Creticum αὐκαία = ἀλκαία⟩ 53 θαχμῆναι 64 τυροία ῥοιτοῦ 66 παρεγείρω 74 alterum θεηγορῶν 81 θιασῶσαι 82 H. e. θοείδια· ἰγδία Κύπριοι (= θυείδια) et θεοειδέα· θεοῖς ἐοικότα

HES. 17 θαρσὺν (N 823 Π 70)· τεθαρρηκώς 18 θάρσει (Θ 39)· θάρρει. θράσει (Z 126) 21 θασώομεν· καθήμεθα 24 θᾶσσον· θᾶττον, τάχιον, ταχύτερον 25 θάσσονας (N 819 Call. D. 94)· ταχίονας Ad 29 ταχύτερος (O 570) 30 θαστρεύεσθαι (O 512)· ἀναβάλλεσθαι ⟨cf. gl. δ 824⟩ Ad 36 παροιμία ἐπὶ τῶν ........ ἐν τῇ στοᾷ μαχομένων τις ἦν, ᾧ ἐπεγέγραπτο Βούτης. .....: Τάσσεται οὖν ἡ παροιμία ἐπὶ τῶν ῥαδίως συντελουμένων· καὶ γὰρ ὁ Βούτης ῥαδίως κατεσκεύαστο, ἅτε οὐχ ὁλοκλήρου τοῦ στόματος ⟨σώ—⟩ γεγραμμένου 38 θαυλακίζειν· μετὰ βοῆς ἀπαιτεῖν τι (l. θυλακίσσειν q. v.) Ad 39 Ταραντῖνοι 40 θαυμάζειν (π 203)· θεάσασθαι καὶ μανθάνειν ⟨ἐκμ—⟩ 44 Θαυμακίη (B 716)· πόλις 56 θεά (α 1)· ὦ Μοῦσα 69 θέει (N 141)· τρέχει 72 θέειν (B 183)· τρέχειν, δραμεῖν 73 θέεν (Z 118)· ἔτρεχεν 76 θέησει (X 23)· τρέχει 78 θίασος· χορός 81 θιασῶται· χορευταί (gl. ms. in Dionys. Areop.) 84 θείης (Z 432)· ποιήσεις

θειητόν (f. l. Hes. Th. 31)· θαυμαστόν
θειλόπεδα (η 123)· ὁ τόπος, ἐν ᾧ ξηραίνεται ἡ σταφυλή. εἴρηται δὲ ἀπὸ τοῦ θέρεσθαι ἐν τῷ ἡλίῳ καὶ τῷ πέδῳ
θεῖν· δραμεῖν. ἢ ὁ αἰγιαλός
θειμωνιαί (Boeoli?)· οἱ σωροὶ τῶν δραγμάτων [89. 90]
θείνει· [ad 91] κτείνει. παίει
θεῖνες (Apoll. 86, 24)· οἱ σωροί, ἤτοι βουνοὶ τῆς ψάμμου [93]
θεινῶν· αἰγιαλῶν [95]
θεῖον ἄπυρον· θεάφιον ἄκαυστον [97]
θεῖος νόος μευ· ἐκ θεοῦ μοι νοῦς [99–203]
θεῖται· [5. 6]
θέλγει· ἀπατᾷ. θάλπει, ἀπὸ τοῦ εἰς τὸ θέλειν ἄγειν. μαλάσσει. κηλεῖ. τέρπει. ᾄδει (Plat. Sympos. 197 E). κοιμίζει (Ω 343)
θέλγητρα· εἰς ἡδονὴν ἄγοντα
θέλγμα· θαῦμα
Θελγῖνες· οἱ Τελχῖνες. γόητες, πανοῦργοι, φαρμακευταί
θελγόμενον· ἀπατώμενον. λέγεται δὲ ἐπὶ τῶν ἡδυνομένων τοῖς ᾄσμασι
θέλειν (Apoll. lex. 86, 33)· δύνασθαι
θέλεμον (Aesch. Suppl. 1026)· † οἰκτρόν. ἥσυχον
θελέμως· ἡσύχως. † οἰκτρῶς
θέλεμνον· ὅλον ἐκ ῥιζῶν
† θελερόν· θελεκτόν [16]
θέλκαρ· θέλγμα ⟨356⟩
θέλκτρον· φίλτρον. χαρά. θαυμαστόν. καὶ τὸ ἐφηδῦνον μετά τινος ἀνάγκης (καὶ τὸ θέλ(γον) τὰ ὄμματα ἐπὶ κακώσει)
θελκτήριοι (Eur. Hipp. 478)· θεραπευτικοί, ἄγοντες εἰς ἀπάτην
θέλξας· καταπονήσας
Θελξινία· (ἡ) Ἥρα τιμᾶται παρὰ Ἀθηναίοις ⟨Θελχινία? Θελξινόη?⟩

θέλω· χρήζω. βούλομαι. εὐδοκῶ ⟨onomast.⟩
θέμα· ἕξις. τόπος. στάσις. μνῆμα [25]
θεματίζει· ἀποτίθεται. κυβερνᾷ
θέμεθλα (non Hom.)· ἕδραι. βάθρα ⟨254⟩
θεμείλια (Callim. Del. 260)· θέσεις. ῥίζαι
θέμ(ε)ιλα· θεμέλιοι
θεμελιωθέντα· ἐκ ῥιζῶν ἀρθέντα
θέμεναι· καταβαλοῦσαι
θέμενος· ἐνθείς. καταβαλών
θεμέρη· βεβαία. σεμνή. εὐσταθής
θέμερον· σεμνόν. ἀφ' οὗ καὶ τὸ σεμνύνεσθαι θεμερύνεσθαι
θεμερόφρονας· συνετούς, σώφρονας
θεμερῶπις (Empedocl. 12)· ἐρασμία. † ἀγχόνη
θέμις· δίκαιον. ἄξιον. πρέπον. καὶ δίκη, ἢ προσήκει. καὶ ἡ τιμή. καὶ τὸ ἀξίωμα. καὶ τὸ ἁρμόζον·
ἣ θέμις ἐστί (Α 73)
καὶ νόμος
θεμιζέτω· μαστιγούτω, νομοθετείτω. Κρῆτες
? θέμησις· δικαιοσύνη, παρὰ Πυτίᾳ
θέμιστα· ἔννομα, νόμιμα
θέμιστας (Λ 238)· νόμους. δίκας
θέμιστες· μαντεῖα, χρησμοί. δίκαια. νόμοι (ι 112) [43]
θεμιστευτόν· νομοθετητόν [45—47]
θεμίστε(ι)ον· δίκαιον (Pind. Ol. I 18?)
θεμιστοπόλος· δίκαιος. βασιλεὺς ὅσιος
? θεμινήσασα· πρακτική, ἀνυσίμη, ἀποτελεσίμη [51]
θεμιστοπόλοι (Hesiod. schol. Lyc. 284, 3)· ἄρχοντες. δίκαιοι
θεμιστόρων συνετῶν [54]
θέναρ· τὸ κοῖλον τῆς χειρός, καὶ τοῦ ποδός
? θεμούς· διαθέσεις. παραινέσεις
? θεμῶν· θελήμων ⟨θ. θεσμῶν⟩ [58]

COD. 86 θηλ| 87 .εῖνιν 88 θειμωνείαι ⟨—ιή?⟩ 91 πταίει 96 θεάφιον ἄπυρον Post 204 ᾄδεται κομίζει 7 Addidi ᾄδει. κοιμίζει. Cf. 204 13 θελεμόν ⟨16 θέλεον, θεληματικόν⟩ 18 θέρκαλ 19 θέλητρον; (καὶ ... κακώσει) legebantur post 216 28 θέμεμα 30 θεμειλωθέντα 34 θεμαρύνεσθαι 36 θεμερόπις 49 θεμιστός

HES. 89 θεῖναι (Δ 26)· ποιῆσαι 90 θεῖναν (gl. Sapient. XII 5)· βρῶσιν, ἀνάλωμα Ad 91 ποιεῖ. τρέχει 93 θεινομένην (Λ 588)· τυπτομένην 95 θείωμεν (Λ 143)· ποιήσωμεν 97 θεῖός μοι (Β 56)· ἐκ θεοῦ μοι 99 θεῖος ὄνειρος (Β 22)· θεόπεμπτος 200 θεῖον δύσονται ἀγῶνα (Η 298)· τὸ τῶν θεῶν ἄθροισμα, ἐν ᾧ αὐτῶν τὰ ἱερά 1 θειοῦται (ψ 50)· θείῳ καθαίρε[τα]ι 2 θεῖον· τὸ ἐκ θεοῦ ἀφιγμένον. καὶ τὸ ἄξιον λόγου, ὥστε θαυμάζεσθαι. καὶ τὸ θεάφιον 3 θείου πλῆτο (μ 417)· τοῦ κεραυνίου πυρὸς λέγει. ὀδμὴν γὰρ ἔχει ὁ κεραυνὸς θυ̅ ⟨θείου⟩ 5 θειάσω (χ 482)· καθάρω 6 θέκλεον (Ψ 107)· θαυμαστόν 16 θελητής (Mich. VII 18)· προαιρετικός 25 θεμάν (Habac. III 3)· ἄνεμος νότος. ἡ ἀνατολή 43 θεμιστεύει (ι 114)· ἄρχει, κελεύει ἃ βούλεται, δικάζει 45 θεμιστεύοντα (λ 568)· δικάζοντα 46 Θεμιστῇ (Υ 4)· τῇ Δίκῃ 47 Θε[μι]στιάδες· Νύμφαι 51 θεμιστισία· ὁσία 54 θέμηλα· θεμέλαι ἕδραι, βάθρα, θεμέλια 58 θέμωσεν (ι 486)· ἤγγισεν. ἐγγίσαι ἐποίησεν, ἠνάγκασεν

θεναρίζει· τύπτει ⟨v. ἔνθεν—⟩

θένει (cf. Aesch. Sept. 382)· κόπτει, τύπτει

? θένιοι· οἱ προσήκοντες

θεοβλάβειαν· οὕτως Αἰσχίνης (p. 72, 32) εἶπεν [63]

Θεοδαίσιος· Διόνυσος (Cretice) [65. 66]

Θεόδωρος (Com. an. CXXXI a)· Θεοδώρους ἔλεγον οἱ κωμικοὶ τοὺς πρωκτούς, ἀπὸ Θεοδώρου τινὸς οὐκ εὖ τῆς ἑαυτοῦ χρησαμένου

θεοειδὲς τέρας· θεῖον εἶδος ἢ ὁμοίωμα

θεοειδής (Homer.?)· καλός, θεοῦ εἶδος ἔχων

θεοείκελα· θεῖα, θαυμαστά, θεοῖς ὅμοια [71. 72]

θεόθυτα· ἱερόθυτα (Cratin. fr. CXXXII)

θεοὶ Μολοττικοί [ad 74]

θεοίνια (Lycurgus)· θυσία Διονύσου Ἀθήνησι. καὶ θεὸς θέοινος Διόνυσος (Aesch. fr. 397)

θεοὶ ξενικοί· παρὰ Ἀθηναίοις τιμῶνται, οὓς καταλέγει Ἀπολλοφάνης ἐν Κρησί (fr. III) [77]

Θεοκήρυκες· γένος τὸ ἀπὸ Ταλθυβίου, παρὰ Ἐλευθερίοις

θεοκλυτεῖτε· παρὰ θεοῦ ἀκούετε

θεοκλυτήσαντες· θεοῦ ἀκούσαντες. θεὸν ἐπικαλεσάμενοι

θεοκλυτοῦσαι· θεὸν ἐπικαλούμεναι

θεοκόλος· ἱέρεια

θεοκυδῆ· δόξαν θείαν ἔχουσαν

θεομήτι· θεόφρονι

θεόμορος [ad 85] [86]

θεοξένια· κοινὴ ἑορτὴ πᾶσι τοῖς θεοῖς ....

θεόπαιστος· ὑπὸ θεοῦ παιόμενος. ἢ κιθάρα ὑπὸ θεοῦ διδομένη ⟨ad θεόπαστος⟩ [89]

θεοπλάκτως (Dor.)· δεισιδαίμονας

θεοπομπεῖν· ἐνθουσιᾶν

θεοπρεπεῖς· θεῷ ἁρμόζοντας

θεοπρόπιον (Α 85)· μαντεῖον ἐκ θεοῦ

θεόπροποι· προφῆται, μάντεις, ἐκ θεο προλέγοντες

θεοπτίαν· θεοφανίαν

θεοπτίας· θείας θεωρίας

θέορτος (cf. Aesch. Prom. 764)· ὁ ὑπὸ θεοῦ παρορμώμενος

θεόρυτον· ἐκ θεοῦ προϊόν, ἐρχόμενον

θεός· σημεῖον (ἐν θυτικῇ) [ad 99]

θεόσδοτος· ἐκ θεοῦ δεδομένος [301]

θεόσεπτον· εἰς σεβασμόν ....

θεοσέπτωρ (Eur. Hipp. 1364)· θεοσεβής

θεοσκνεῖ· θεοὺς τιμᾷ ⟨918⟩

θεοστυγεῖς· μισούμενοι ὑπὸ θεοῦ

θεοταρπές (Dor.)· θεὸν τέρποντες

θεότευκτον· θεοκατασκεύαστον [8]

θεουδής (ζ 121)· δίκαιος. εὐσεβής. εὐγνώμων. θεοῖς ἀρέσκων

? θεο.ίσσωτον (Aesch. Prom. 643)· θεοτίμητον ⟨θεόπεμπτον?⟩ [11—13]

θεουργική· θεοὺς ποιοῦσα [15—19]

θεόφιν μήστωρ ἀτάλαντος (Η 366)· θεοῖς ἴσος ἐν τῷ βουλεύεσθαι

θεόφιν· θεοῖς. ἐκ θεοῦ. τὸ γὰρ σχῆμα τοῦτο πληθύει· πασσαλόφιν, ζυγόφιν (θ 67 Τ 404)

θεόφοβος· θεοσεβής

θεοφραδία· θεοῦ γνώμη, ἢ φράσις

COD. 60 Imo θείνει 64 θεοδέσιος Post 66] 73 θεόδυτα 67 οἰκονομικοί 68 θεοειδεστέρας 70 θαύματα 74 ψυχοπόμπιον 75 θεοίνιος διόνης ⟨ὁ Διώνης?⟩ 78 |υθες ε — ἀποταλουβίον π 79 |εῖται — ἀκούει 82 θεόκολος 83 θεοκυνεῖ 84 θεομητεῖ, θεοφορεῖται, θεῖα φρονεῖ 90 |κτας 91 θεοπεμπεῖν 93 θεοπρέπειον 98 θεόρρ| προχεόμενον bene Cyr. 171 ⟨99 Stat. Theb. V 176⟩ 301 θεὸν λέγειν ἐπευφ| 6 θεοτάρτεσοι ⟨θεοτερπέος — |τος Cyr. 171⟩ 23 θεόφρα

κεκρύφαλος (Arist. HA. II 12, 6)· εἶδος κοιλίας τῶν μηρυκαζομένων ζώων [ad 11]

κεκρυφάλους· τοὺς τῶν ἵππων κορυφ†αστῆρας, καὶ κροκυφάντους

κέκτικε· τέτοκεν

† κεκτισμένοι· πεφημισμένοι. κατεσφραγισμένοι [15]

κεκυπτάκασιν· ἀσχολοῦνται

† κέκυλτα· δῶρα τὰ τῇ χειρὶ ἑλκόμενα

† κεκύκη· καμπύλη

† κεκυσῶσθαι· ἐκτετιμῆσθαι

κεκυφότα· ταπεινοῦντα

κεκωδωνισμένοι (Ar. Ran. 722)· πεπειρασμένοι, καὶ ἐξητασμένοι. μετῆκται δὲ ἀπὸ τῶν περιπολούντων, καὶ τοῖς κώδωσι διαπειρωμένων, εἰ οἱ πρώτως ταῖς φυλ(ακ)αῖς τεταγμένοι ἐγρηγόρασιν

κεκωδώνισται· πεπείρασται, ἐξήτασται, δεδοκίμασται

κεκώνηται· πεπίσσωται. κέκλυσται

† κεκώπευται· στρατός, ὁ ἐπὶ κώπης

κεκώπηται· ἡ ναῦς: καὶ τὸ ἐν ἑτοίμῳ ἔχειν τὰ ξίφη (Eur. Or. 1282)

κελαδεῖ (Theopomp. com. p. 801)· βοᾷ ⟨2848⟩

κελαδεινή· κραυγή, βοή. ἢ κυνηγός, ἐπιθετικῶς (Υ 70) [28. 29]

κέλαδος (Aesch. Pers. 388)· ἦχος μουσικός, κραυγή, βοή, θόρυβος

**COD.** 79 κεκμηωτοί ⟨80 κεκμάκη?⟩ 81 κεκνιπόμενοι — ἐρίσβης — κνιποί ⟨82 ἐμπεπλεγμένη? an ἐκκεκηριωμένη, ἐκπεπληγμένη⟩ 83 χρῶμα 86 κεκολλυρόμενον 88 ἢ ... ἔχων post 92 89 κέκοκεν· ἔγνωκεν ὅτι κ. ἢ π. (cf. διακονῆσαι, ἐπικεκόνημαι) 93 καθο| κορύθου 96 ὀργ| ⟨99 τετρακῖναι?⟩ 2104 κεκρηγότα 12 κορυφ| 13 κέκτηκε (κεκύηκε Meinek.) 16 κεκρυπτάκασιν ⟨17 ἑλκυστά· λῶρα?⟩ 21 ἤοί — ἐγρηγορέναι 22 ἐξίτασται 27 κελαδίνη

**HES.** Ad 67 περικεκλεισμένοι (Χ 3) — κεκλειμένοι (Ο 740) 71 κέκλυθι (Κ 284)· ἐπάκουσον Ad 72 ἀκούσατε (Γ 86 al.) 73 κέκλυτέ μευ (Γ 86)· ἐπακούσατέ μου 74 κεκλησμένου (Exod. XXVI 1)· διανενησμένου 90 κεκονιαμένος (Φ 541)· κεκονιορτωμένος 92 κεκόπακεν (Genes. VIII 8)· ἐπαύσατο 93 κέκοπας (Ν 59)· ἔκοπας 97 κεκράανται (δ 616)· ἐπιτετέλεσθαι 2102 κεκραιπαλικος (Ps. LXXVII 71)· εὐφραινόμενος, ἢ εὐφραμμένος 6 ?κέκραγε (Philemo com. p. 45)· βοᾷ. φανερῶς διαμαρτύρεται 9 κέκροφ· ἀπατεών. ἢ πίθηκος ⟨κέρκωψ⟩ Ad 11 σαβακάθιον δεσμότριχον 15 κεκύθωσι (ζ 303)· κρύψωσι 28 κελαδίνης (Π 183)· θορυβώδους 29 κελάδησαν (Ψ 869)· ἤχησαν ⟨v. κηλ—⟩

κεμπός (Maced.?)· κοῦφος, ἐλαφρὸς ἄνθρωπος

†κεμφάς· ἔλαφος ⟨2176. 2194. 2198⟩

κέμων· ἑτερόφθαλμος ⟨2170⟩ [2206]

κενεά· κενά, μάταια. Κύπριοι δὲ ἀναδενδράδας

†κενέαρος· κενός. ἐλαφρός [9]

κενέβρεια (Ar. fr. inc. CIV)· τὰ θνησίδια, καὶ νεκριμαῖα κρέατα

κεν(ε)ῆς· ματαίας. κενωθείσης

κενέθας· σπόγγος

κενεμβατεῖ· ματαίως πατεῖ [14. 15]

κενὴ δόξα· κενοδοξία [17. 18]

κενόν· τὸ κενωθέν. μάταιον [20—22]

κένσαι (Ψ 337?)· κεντρίσαι. †κτίσαι. κελεῦραι (Dor.) [24]

κενταυρικῶς (Ar. Ran. 38)· ἀγροίκως, ἀγρίως

κένταυροι· λῃσταί. καὶ οἱ Αἰνιᾶνες. καὶ οἱ παιδερασταί, ἀπὸ τοῦ ὄρρου ⟨—ον κεντεῖν?⟩

†κένταυρος· ὄρρος ⟨ταῦρος⟩

κεντήματα· ζημιώματα

Κεντόριπα (Thuc. VI 94)· χωρίον τι [29]

κεντρηνεκέας· εὐπειθεῖς, ταχεῖς, καὶ διηνεκῶς κεντριζομένους, καὶ τοῖς κέντροις εἴκοντας, καὶ πειθομένους (Ε 752)

Κεντριάδαι· τῶν περὶ τὰ μυστήρια

κεντρῖναι (Aristot. Ath. 294 D)· φωνήν ⟨ψῆνες?⟩. γένος τι ζῴου

κέντρον· δόρυ. μάστι[γ]ξ. καὶ τὸ ἐν σιδήρῳ ἀδαμάντινον (Theophr. HPl. V 2, 3)

κεντρότυπος (Byzant.?)· μοχθηρός. φαῦλος. ἢ κεντροποιός. πανοῦργος [35]

κέντωρ· ἡνίοχος [37—41]

κέπφος (Ar. Plut. 912)· εἶδος ὀρνέου κουφοτάτου, περὶ τὴν θάλασσαν διατρίβοντος, ὃ εὐχερῶς ὑπὸ ἀνέμου μετάγεται. ἔνθεν λέγεται ὀξὺς καὶ κοῦφος ἄνθρωπος κέπφος [43. 44]

κέρα ἀγλαέ (Λ 385)· τὴν τρίχα λαμπρέ. τῷ τόξῳ ἀγαλλόμενε

κεράδες· τῶν προβάτων τὰ θήλεα, τὰ ἔνδον ὀδόντας ἔχοντα

κεραία (Aesch. Eum. 557)· ἐν τῷ πλοίῳ οὕτω τι καλεῖται

κεραΐζειν (Π 830 ϑ 516)· κτείνειν. πορθεῖν. διαρπάζειν. διαφθείρειν

κεράϊζον (Herod. VII 125)· διέφθειρον

κεραΐζων· ἀναιρῶν. πορθῶν [ad 50] [51]

†κεραιέλοντα· ὁ εἰς κέρατα ἔλαιον ἄγων

†κερέεσιν· ἀδουσιφθοραῖς [54]

κεραιοῦχον· δικαιοδότην. ἀπὸ τοῦ ἐν τοῖς πλοίοις κεραιούχου [56]

κεραΐς (Lycophr. 1317)· κορώνη [58]

κεράμβηλον· κήπου προβασκάνιον. καὶ θηρίδιόν τι, ὃ περὶ τὰς συκᾶς δεσμευόμενον ἀποδιώκει τῇ φωνῇ τοὺς κνῖπας. ἔνιοι τοὺς κανθάρους, ὡς κέρατα ἔχοντας. τὸν Κέραμβον

κεράμβυξ (Thessali)· ζῷον κανθάρῳ ὅμοιον

κεράμεα ⟨—αμεᾶ?⟩· ὁ παντοδαπὸς κέραμος

κεραμεῖα (Aeschin. 70, 22)· ἔνθα τὰ ὀστράκινα σκεύη πιπράσκεται

κεραμεικαί· πλατεῖαι πληγαί. ἀγὼν γὰρ Ἀθήνησιν εὐτελὴς ἐν τῷ Κεραμεικῷ, ἐν ᾧ τύπτουσι πλατείαις χερσὶ τοὺς μὴ τρέχοντας καὶ τοὺς ἄλλους ἀγωνιστὰς γέλωτος χάριν [64]

κεραμεύς· ὁ Λυκοῦργος ⟨λυχνουργός?⟩

COD. 2204 Malim κέμφος· ἐλαφρός 6 ἀπόκηνα 11 κενῶς 12 κενέφας vel κένφας Cyr. 13 |μματεῖ 26 αἰνίανες ⟨Τιτᾶνες?⟩ — παιδαράσται 28 κενταταπίτη 30. 31. 32 = 31. 32. 30 30 κεντρι| ἤκοντας 34 |οτύπος — κεντροποιήσω ⟨40 νέφος κενὸν φάους ... Cyr. Dr. Est veriloquium voc. κνέφας⟩ 41 κέειτο Cyr. Voss. cf. ὑποκέοιτο 42 κουφωτάτου 46. 47 = 47. 46 κεραΐδες 49 |ζαν· διέφθειραν 55 ποιοῖς 57 κέραις 59 κάραμβον

HES. 2206 κενά (χ 249 Ps. II 1)· ἀπόκενα. ἄκυρα 9 κενεαῦχες (Θ 230)· μάταια καυχώμενοι. καὶ κενῶς αὐχοῦντες ⟨v. αὐχέες⟩ 14 κενεόν· κενόν. ἄπρακτον (par. Β 298) 15 κενεὼν ὁ (Ε 856)· τῶν περὶ τῶν λαγόνων τόπων. τὸ διάκενον μέρος τῶν ὀστῶν. ἀρσενικῶς 17 κενίσαι· κεντρίσαι ⟨κένσαι an ἀκαινίσαι?⟩ 18 κενοῖο· αὐτοῦ ⟨col. 658, 16⟩ 20 κενοφωνίας (I Tim. VI 10 al.)· ματαιολογίας 21 κέν πως (Α 66)· ἄν πως 22 κενῶσι· κενεῶσι. λαγῶσι 24 κενταυρίσκος· ἀγροῖκος, ἄγριος 29 κέντορες (Ε 102)· κεντρισταὶ ἐν τῷ ἐλαύνειν, ἐλατῆρες 35 κεντυρίων· ἑκατόνταρχος 37 κενωθῇ (I Cor. I 17)· μάταιος ἀποφανθῇ 38 καραΐσται· κομῆται ⟨ceratiae⟩. πολεμικοί 39 καραΐστης· κομήτης. ἁλιεύς. εἶδος ὄφεως. καὶ ὁ κέρατα ἔχων ⟨κεράσης⟩ 40 κενόν, φάους τυφλῶν 41 κέοιτο (Herod. I 67)· κεῖτο ⟨Moer.⟩ 43 κεπφωθείς (Prov. VII 22)· ἐπαρθείς. ἀπατηθείς ⟨2403⟩ 44 κέρα· κέρατα (Δ 109). τρίχες (Λ 385) Ad 50 φθείρων (Π 752) 51 κεραϊλέα (Λ 385)· τὴν κόμην καλλοπιζομένη 54 κέραινε (Ι 202)· κεράν(ν)υε, κέρασον ⟨2273⟩ 56 κέραιρε (Ι 202)· κέρασον 58 κέραιος· σταυρός ⟨κεραός ταῦρος?⟩ 64 κεραμεοῦν (Nico)· ὀστράκινον ⟨Moer. 226⟩

κεραμικὴ μάστιξ (Com. IV p. 638)· τὸν ὀστρακισμὸν λέγουσι· μάστιγα μὲν διὰ τὸ βασανίζειν τοὺς ὀστρακιζομένους καὶ κολάζειν, κεραμικὴν δὲ διὰ τὸ ἐκ κεράμου τὰ ὄστρακα εἶναι

?Κεραμεικός· τόπος Ἀθήνησιν, ἔνθα οἱ πόρνοι προεστήκεσαν. εἰσὶ δὲ δύο Κεραμεικοί, ὁ μὲν ἔξω τείχους, ὁ δὲ ἐντός

†κεραμίνας· δημησίους

κεραμίνῳ· εὐτελεῖ. ἢ ἀπὸ κεράμου [70]

κέραμος (Ε 387)· πίθος. καὶ πᾶν ὄστρακον. καὶ δεσμωτήριον (Cyprii). καὶ ὀχύρωμα. καὶ πόλις Καρίας. ἤδη δὲ ἐπὶ χρώματος (testae color)

κερανίξαι· κολυμβῆσαι. κυβιστῆσαι ⟨3959⟩ [73]

κεραννύντος· κιρνῶντος [75—77]

κέραξ· θρίξ. τόξον. καὶ αἰδοῖον

κέρας· κεφαλή. θρίξ (Ω 81 cf. βοὸς κέρας). σάλπιγξ.·[ad 79] ἢ πολέμου μέρος. καὶ ἡ ἐξοχή

κεράσαι· μῖξαι. ἑνῶσαι. συνάψαι

κερασβόλα· ἄκαρπα, τὰ ⟨μὴ⟩ ἑψητὰ ὄσπρια. †οἱ περὶ τῶν κεράτων βοῶν [δεσμοί. καὶ οἱ ἐν ταῖς ἀρχαίαις λύραις κόλλαβοι]

κέρας ὄρθιον· ἡ νευρά. Εὐριπίδης λέγει Αὔγῃ (fr. 280)

κερασός· δένδρον, ὃ φύεται †ἐστραμμένοις. σχοινίον δὲ ποιεῖ ὁ φλοιὸς αὐτοῦ, μεθ' οὗ ἀντὶ νεύρων δεσμεύουσιν

Κεραστιάς· ἡ Κύπρος ποτέ

κερασφόρος (cf. Soph. fr. 78)· κερατοφόρος

κεράσχειλοι· οἱ ἐπικαμπῆ ἔχοντες τὰ χείλη

κέρατα· τῆς φάλαγγος τὰ ἄκρα. καὶ μετώπου μέρος. καὶ ἡ τῶν κεράτων χρῆσις (cf. 2291 [ ])

†κερατεσσεῖς· οἱ τοὺς †ταύρους ἕλκοντες ἀπὸ τῶν κεράτων. καλοῦνται δὲ καὶ κεραελκεῖς (non Call. Dian. 179)

κερατουργός· ὁ ταῖς κιθάραις κέρατα ποιῶν

κέρατος φυτόν· ὃ πρὸς τὰ τόξα ⟨τοξικὰ?⟩ ἐχρῶντο

κερατωνία (Theophr. IV 2, 4)· συκῆ Αἰγύπτου

κεραβλογία ⟨κορδύλη?⟩· τὸ λαγωβόλον

κεραυνίας· ὁ κεκεραυνωμένος

Κεραύνιος· ἐμβρόντητος. καὶ Ζεὺς ἐν Σελευκίᾳ. καὶ ἱμάτιον ποιόν

κεραυνός· ψόφος, κτύπος. βροντή. ἀρρωστία. καὶ τὸ τοῦ Διὸς ἀμυντήριον. καὶ καύστρα

κέραφος (Lacon.)· χλευασμός, κακολογία

†κερβαλά· ἀσθενῆ. μεγάλα

κερβέριοι· ἀσθενεῖς. φασὶ δὲ καὶ τοὺς Κιμμερίους Κερβερίους· καὶ τὴν πόλιν οἱ μὲν Κερβερίαν καλοῦσιν, οἱ δὲ Κιμμερίη· ἄλλοι δὲ Κιμμη ...· ἔστι δὲ τόπος ἐν ᾅδου Κερβέριος

κέρβερος· κίνδυνος. τάρταρος. ὠχρός. καὶ κύων μέγας ᾅδου (τρικάρηνος)

κερβολ(ο)ῦσα (Lacon.)· λοιδοροῦσα, βλασφημοῦσα. ἀπατῶσα

κερδαίνει· πορίζεται

κερδαῖος· †τὸ ἐπικέρδη τοῖς †καθοῦσι, καθόσον ἐκβέβρασται

κερδαλέον (ζ 148 ο 450)· δόλιον, πανοῦργον. ἢ κέρδη περιποιοῦντα ⟨καὶ⟩ ὠφελείας. [2304a]

(κερδαλέος ν 291)· πανοῦργος. ἐπικερδής. συνετός (ἢ ποικίλος)

κερδαλεώτερον (Herod. IX 7, 1)· ἐπικερδέστερον

κερδαλεόφρων (Α 149 Δ 339)· ἐκ παντὸς κερδαίνειν φρονῶν διὰ δόλου. κερδοῦς φρόνημα ἔχων, τουτέστιν ἀλώπεκος, ὅθεν ὁ δόλιος

κερδαλῆ (Archiloch. fr. 89a, 5)· ἀλώπηξ

κέρδεα· πανουργία(ι) [9]

κερδίαν· ἀλωπεκίαν [11]

κέρδιστος (Ζ 153)· συνετώτατος. φρόνιμος. πανουργότατος

κέρδοπα (Cyprii?)· ὄσπρια ⟨κέδροπα⟩

νον

COD. 66 |εικὴ — ὀστράκιον — |εικὴν ⟨68 περγαμίας· δημοσίους?⟩ 69 |είνῳ 78 διδοῖον 80 cf. ἐρᾶσαι et κεάσαι 82 ἢ — δὲ αὐγὴν 83 κέρασος 84 |ίας 86 |χίλοι 87 φάραγγος 89 κερατοποιός 90 ὃ 91 cf. κερωνία 92 λαγο| 93 κεραυνόμενος 94 |τιστος Cf. Phot. 156, 16 96 cf. σκέραφος et Cretic. σχέραφος 99 κερβεροκίνδυνος ⟨cf. 2643⟩ τρικάρινος post 2298 2301 πορίζει 3. 4 = 4. 3 Post 3 ἢ ποικίλος 7 κερδάλη 8 κερδέα 10 κερδειίαν 13 ὄσπρεα

HES. 70 κεράμιον· τὸ τοῦ οἴνου ἢ ὕδατος (Marc. XIV 13) σταμνίον 73 κεράν(ν)υε· κέρασον ⟨2254⟩ 75 κεραόν· τέλειον. ἢ κέρατα ἔχοντα (Γ 24 paraph.) 76 κεραοξόος (Δ 110)· κερατοποιός 77 κεραὸς ἔλαφος (Γ 24)· ὁ εὔκερως Ad 79 δύναμις (I Regg. II 1) 2304a κερδαλέης (Κ 44) 9 κέρδεσι (Ψ 515)· πανουργίαις 11 κέρδιον· συμφορώτερον, ὠφελιμώτερον (Ζ 410)

κέρδος· σύνεσις. τέχνασμα. ὠφέλεια

κερδοσύνη (ξ 31)· σοφία. τέχνη. σύνεσις. πανουργία

κερδώ (Ar. Eqq. 1068)· κερδίστη. ἀλώπηξ [17. 18]

κερεῖ· ξυρεῖ

κερεῖς· θερίσεις

κερητίζει ⟨πειρ—?⟩· βασανίζει

κέρκα· ἀκρίς [23]

κερκάς· κρὲξ τὸ ὄρνεον

κέρκαξ· ἱέραξ

κέρκαφα· ἐγγύη

κερκέτης· τὸ μικρὸν πηδάλιον. ἀπὸ τῶν εὑρόντων

Κερκέται· ἔθνος Ἰνδικόν

κερκίδας· δονακίνας ⟨—ίτιδας?⟩. ἐπεὶ ταῖς ἀνθήλαις ἐχρῶντο εἰς κερκίδας

κερκιθαλίς· ἐρῳδιός

κερκίς· ἡ τῆς πίτυος κορυφή, ἡ αἴγειρος ⟨cf. 3282 et γάργα⟩. καὶ εἶδος ὄρνιθος

κέρκνος· ἱέραξ. ἡ ἀλεκτρυών

κέρκος· θηρίδιον τὰς ἀμπέλους βλάπτον. καὶ οὐρά. καὶ ἀνδρεῖον αἰδοῖον. ἡ ἀλεκτρυών. ἡ ἀρουραῖος μῦς

κέρκουρος (Cyprii)· εἶδος πλοίου. καὶ ἰχθῦς

κέρκυ· διπλῆ αὕτη, καὶ δικέλαδος, και διθύσανος. ἐχρῆτο δὲ αὐτῇ μᾶλλον ὁ ἐν Κῷ πρύτανις

Κέρκυρα (Callim. Del. 156)· νῆσος

Κερκυραία μάστιξ (Phrynich. fr. II p. 597)· [ad 37]

Κερκυραῖοι ἀμφορεῖς· τὰ Ἀδριανὰ κεράμια

κέρκωπες· ποικίλοι. πονηροί. πανοῦργοι

κερκωπίζοντες· κατασκώπτοντες

κερκώπη (Aristoph. fr. VII p. 961)· μικρὸν τεττίγιον τὸ καλαμαῖον λεγόμενον. τρία εἶναι γὰρ γένη τεττίγων φασίν. οἱ δὲ τέττιξ θήλεια μὴ φωνοῦσα (Speusippus)

κερκώπων· δολίων. πονηρῶν. σκωπτῶν. κακούργων: τεττίγων ⟨κερκωπῶν⟩

κέρκωψ· παιγνιώδης. ἡ εἶδος θηρίου μεγάλην οὐρὰν ἔχοντος

κέρματα· χρήματα. θραύσματα

κέρματα· εἰς λεπτὰ διαιρεῖ. ἤγουν, εἰς μικρὰ συντρίβει

κέρμηλος· ἀφ' οὗ χαλκὸς γίνεται

κέρνα· ἀξίνη ⟨cf. κέαρνα⟩

κέρνεα· τὰ τῇ μητρὶ τῶν θεῶν ἐπιθυόμενα

κέρνος· στεφανίς. ἀγγεῖα κεραμεᾶ

κερνοφόρος· ὁ τὰς θυσίας ἄγων

κεροβάτης (Ar. Ran. 231)· ὁ Πάν· ἤτοι ὅτι κέρατα ἔχει, ἡ οἱονεὶ κερατοβάτης, τὴν βάσιν ἔχων κερατίνην, [52. 53] ἐπεὶ τὰ κάτω τράγου εἶχεν

κεροπλάστης (Archiloch. fr. 59)· λεπτουργός. ἡ τριχοκοσμητής

κερουλκός· ὁ τοῖς κέρασιν ἕλκων τὸ ἄροτρον. καὶ ὁ κεραιοῦχος κάλως

κερουτιᾷ (cf. Ar. Eqq. 1343)· γαυριᾷ. μετενήνεκται δὲ ἀπὸ τῶν ὑψαυχενούντων ταύρων [57]

κέρσα· Ἀσιανὸν νόμισμα

κέρσαι· κόψαι, τεμεῖν. κεῖραι. γαλλίσαι. καὶ δραστήρια

κέρσης· γάμος

Κέρτα· πόλις, ὑπὸ Ἀρμηνίων

κερτομεῖ· χλευάζει, γελᾷ, ὑβρίζει [63]

κερτομία(ι)· παίγνια. προβασκάνια. ἐρεθισμοί. παραλογισμοί

.........· ψεῦσται, καὶ γελασταί

κερύχρη· εἶδος πλακοῦντος

κερχαλέον (Hippocr. III p. 642)· σκληρόν. ξηρόν. διψαλέον

κέρχανα ἢ κερχάνεα· ὀστέα, καὶ ῥίζαι ὀδόντων

κέρχνει (Hippocr. II p. 498 K)· τραχύνει

κέρχνη· τὸ ἐκ τῆς μελίνης ἕψημα. ἢ τὰ νῶτα τῶν ἰχθύων. καὶ ὀρνέου εἶδος ⟨κεγχρής⟩. καὶ ἡ μελίχρους

κερχνώμασι (Eur. Phoen. 1391)· τραχύσμασι. κυκλώμασι. γαργαλισμοῖς. καλοῦσι

COD. 28 Κέρκεται (Κερκῖται Phot.) 29 κερκίας — ἐπὶ 31 ἄγειρ ⟨32 ἀλκυών?⟩ Post 34] 43 35 αὐτή ⟨κερκυραία et δίκλαδος GDind.⟩ 37 |αῖα — τὰ μεγέθη 40 κερκοπίζοντες, κατασπῶντες (forte ἀπατεῶνες) 41 γῆν γὰρ γένα — τέττιγξ 42 σπόντων 49 schol. Plat. p. 354 κεράμεα 52 κεροδέκα 55 κάλος 56 κερουτίαι γαυριαί 59 γαμῆσαι ⟨60 κέρσις aut γάλλος⟩ 67 |άλεον 69 κερχνεῖ 70 μελαίνης — ὦτα

HES. 17 κερέα ⟨—αία⟩· ἀρχή. γράμματα 18 κέρεζε (Β 860)· πορθεῖ ⟨cf. κόραξε⟩ 23 κερδάλια· ἐπιτάφια, ἐντάφια ⟨τέρχανα⟩ Ad 37 περιττήν τινα τὴν κατασκευὴν εἶχον αἱ Κερκυραῖαι μάστιγες. οἱ δὲ καὶ διπλᾶς αὐτὰς ἔφασαν εἶναι. εἶχον δὲ ἐλεφαντίνους κώπας καὶ τῷ μεγέθει περιτταὶ ἦσαν. ὑπερηφάνους δὲ [καὶ] εὐπραγοῦντας τοὺς Κερκυραίους φησὶν Ἀριστοτέλης [ποιεῖσθαι, ἢ] γενέσθαι (Zenob. IV 49) 52 κερόδετα τόξα (Eur. Rhes. 33)· ..... 53 κεράμεναι (Prov. XXVI 22)· λυπόμεναι. καὶ ὥσπερ παιόμεναι 57 κερεκόψαι, ἢ σχίσαι ξύλα 63 κερτομίας (Υ 202)· ἐρεθιστικο(ὺ)ς (λόγους)

δὲ καὶ τὸν περὶ τὰς ἴτυς τῶν ἀσπίδων κόσμον, καὶ ποτηρίων ἐπιχείλων. λέγονται δὲ καὶ † νικακίδες

**κερχνωτά**· τετορνευμένα ἐπὶ τοῦ χείλους τῶν ποτηρίων, ὥσπερ κερχνώδη. ποικίλα. τραχέα. πολύπαστα

**κερῶ**· κεράσω. τελειῶ

**κερωνία**· δένδρον. ἡ συκῆ Αἰγυπτία ⟨2291⟩

**κέρως**· κέρατος [76]

**κέσκετο** (φ 41)· ἔκειτο

**κεσκίον** (Herod. choliamb. fr. 1)· στυππεῖον, τὸ ἀποκτένισμα τοῦ λινοῦ

**Κέσκος**· πόλις [ad 79] καὶ .... ποταμὸς Κιλικίας. [ad 79] καὶ Σκυβελίτης οἶνος, ἀπὸ Σκυβέλων, τόπου Παμφυλίας

**κέστερ**· νεανίας. Ἀργεῖοι

**κεστὸν ἱμάντα** (Ξ 214)· τὸν ποικίλον ἱμάντα. ἢ χιτῶνα ποικίλον. ἢ τὸν τῆς Ἀφροδίτης ἱμάντα. καὶ ὁ διακεκεντημένος χιτών

**κέστρα**· ἀμυντήριον ὅπλον. σφῦρα. καὶ εἶδος ἰχθύος (Dorio)

**κέστρᾳ σιδηρᾷ** (Soph. fr.)· ......

**κεστρεύειν**· κεχηνέναι π(ε)ινῶντα

**κεστρεῖς** (Arist. fr. IV p. 1007)· [ad 85] τοὺς Ἀθηναίους οὕτως ἔλεγον καὶ προσηγόρευον· τὸ γὰρ ζῶον αὐτὸ λαίμαργόν τέ ἐστι καὶ ἄπληστον

**Κεστρινικοὶ βόες**· οἱ ἐν Χαονίᾳ. ἡ γὰρ Χαονία πρότερον Κεστρίνη προσηγορεύετο· ἔστι δὲ μοῖρα τῆς Ἠπείρου διαφόρους ἔχουσα βοῦς

**κέστρος**· ἡ πρώτη ἔκφυσις τῶν σπερμάτων. καὶ ἀκόντισμα. καὶ ἡ ἐν τῇ γλώττῃ τραχύτης

**κέστρωσις**· βαφικὴ μιμουμένη

**κεστρωτὸν ξύλον**· βαρὺ ἔχον τὸ κέντρον. οὐκ ἔχει δὲ σίδηρον, οὐδὲ ἀκμήν. εἰώθασι δὲ οἱ βοτῆρες πυροῦν τὰ ἄκρα τῶν ⟨αὔων⟩ ξύλων, ἕνεκα τοῦ πεπωρῶσθαι πυρίκαυστα [90]

**κεύθεα**· κοῖλα. κρύφια

**κευθμός** (Call. Iov. 34)· κατάδυσις. πυθμήν. θησαυρός. κοῖλον, ἢ κοιλάς

**κευθμῶνες** (κ 283)· καταδύσεις· ἀπὸ τοῦ κεύθειν, ὅ ἐστιν κρύπτειν· κρύφιοι τόποι

[**κέφαλα**] **κεφάλαιον**· ἢ κόσμος τῶν νέων. ἡ κεφαλή. ἡ συναρίθμησις. ἢ ζήτημα ἄκρον [95]

**κεφαλή**· τὸ σύνηθες. καὶ ὄνομα (δήμου?). σῶμα. ψυχή. ὕψος

**Κεφαλίδαι**· γένος Ἀθήνησιν

**κεφαλῖνος**· ἰχθῦς ποιός (Dorio)

**κεφαλῖται**· οἱ γωνιαῖοι λίθοι

**Κεφα(λ)λῆνες**· ἔθνος περὶ τὴν Ἰθάκην

**κέφαλοι**· τῶν κεστρέων (Arist. HA. V 9, 6) τινὲς οὕτω καλοῦνται

**κέφαλον**· μέρος ἐν τῷ πλοίῳ, ἢ κόσμος, ἢ τὰ ἐρείσματα [2403]

**κέχανδε**· χωρεῖ. διὰ πλῆθος ψοφεῖ ⟨2424⟩ [5]

**κεχανότα σῦκα**· τὰ αὐτομάτως κεχηνότα

**κεχαραγμένος** (Herod. VII 1)· ὠργισμένος [8]

**κεχάρημαι**· χαίρω [ad 9] [10. 11]

**κεχαρισμένα** (Υ 298?)· ἀρεστά. προσφιλῆ

**κεχαρισμένος** (Call. L. P. 37 β 54)· ἀρεστός. προσφιλέστατος. μετὰ χαρᾶς πάντα ποιῶν [14]

**κεχειροτόνηται**· προβέβληται

**κεχειρωμένοι**· ἡττημένοι. κεκρατημένοι

**κεχήλωμαι πόδας**· δέδεμαι συνερραμ(μ)ένος τοὺς πόδας· χηλεύειν γὰρ τὸ ῥάπτειν, καὶ χήλινον τὸ πλεκτόν, ὡς Ἀνακρέων (Poll. VII 172), καὶ χήλευμα ⟨q. v.⟩ τὸ ὀπήτιον. Σοφοκλῆς Πανδώρᾳ ἢ Σφυροκόποις (fr. 442)

**κέχηνεν** (Ar. Eqq. 765)· ἔχασκε, τὸ στόμα ἤνοιγε. προσεδόκησε. ῥέμβεται

COD. 72 ἐπὶ — χενχρωιδῆ — τραχεῖα 75 κέρωτος 76 κρίνονται 77 κέσκειτο 78 κεσκι. 79 παροιμία γέγος — ἀπὸ τῶν νῦν — σκυβέντης 83 κεστρίαι, σιδηραί 84 πίνοντας Post 85] 83 89 πεπολῶσθαι πυρίκαυστοι 93 cf. κεθμῶνες 96. 97 = 97. 96 98 κεφαλῆνος 99 κεφαλῆται, γωνίαροι 2403 τὸν — συνεπαγόμενον 6 κεχάνια — αὐτόματα 10. 11 καχαρηότα θυμῷ· χαίροντα τῇ ψυχῇ. κεχαρειότα χαίρειεν. ἥσειεν 12 ἄριστα 13 ἄριστος 17 κεχήλω.., πόδας δ| καί.ηλινόν — ὁ Ἀ. — σπ.΄τιον 18 κέχηναν, ἐχάσκει

HES. 76 κερῶνται (Δ 260)· κιρνῶνται Ad 79 κέσκον οὐκ ἔχουσα — ὅθεν καὶ παροιμία [Κέσκος πόλις] Κέσκον οὐκ ἔχουσα. εἴρηται δὲ ἐπὶ τῶν νοῦν μὴ ἐχόντων Ad 85 τοὺς κεχηνότας καὶ πεινῶντας κεστρεῖς λέγουσι. καὶ ⟨Zenob.⟩ 90 κεῦθε (Δ 363)· κρύπτε 95 κεφαλαίωσον (Sirac. XXXII 9)· συντόμως συνάγαγε 2403 κεφωθείς (Prov. VII 22)· καταγελασθείς. εἴρηται δὲ ἐπὶ τῶν ἀλόγου δίκην ἀνοήτως συνεπαγομένων ⟨2243⟩ 5 κεχανδότα (Ψ 268)· χωροῦντα 8 κεχάραντο (Π 600)· ἐχάρη(σαν). ἢ ἐχώρησαν Ad 9 ἢ χωρῶ 10 κεχαρηότα (Η 312)· χαίροντα 11 κεχαροίατο θυμῷ (Δ 256)· χαρεῖεν. ἡσθεῖεν τῇ ψυχῇ 14 κεχαροίατο (Δ 256)· χάροιεν

κεχηνότας· χαύνους, χαίνοντας. ἐνεούς
κεχιλιῶσθαι· χίλια ἐζημιῶσθαι
κεχλαδότα· ἀνθοῦντα [22. 23]
κεχληδέναι· ψοφεῖν. προσλαλεῖν ⟨2404⟩
κεχλίαγκα· τεθέρμαγκα
κέχλοιδεν· διε(ί)λκετο
κεχλοιδιαμένους· διε(ι)λκυσμένους
†κεχμάζει· ἀνθίζει, ἀνθεῖ. ἵσταται ⟨κάχμάζει⟩ [29. 30]
κεχραμαί· εἶδος πορνείας
κεχραμένη· ῥερυπωμένη. †παραγαπωμένη. †πικραινομένη (λ 543?)
†κεχρηματεῖσθαι· πεφρύχθαι. Αἰσχύλος (fr. 421)
κεχρημένος· ἐνδεὴς ὤν, χρῄζων. ἢ †πεμφθείς
κεχρη(σ)μῳδημένα· μεμαντευμένα, προφητευθέντα, λεχθέντα μετὰ θείας ἀποφάσεως
κέχρικεν· ἐγκέχρικεν. κονίακεν. ἢ ἐγκεκέντρικεν
κεχρῖσθαι· πεπλῆχθαι
κεχρισμένα· ἠλειμμένα
κεχρυσωμένος· τετιμημένος
†κέω· σκέψει. Λάκωνες
κεώδης· καθαρός ⟨2024⟩
κεῶεν ὄζει· εὐωδεῖ [48]
κεωρεῖν ⟨κνε—?⟩· πασχητιᾶν
κεώσατο· κ(αθ)ήρατο ⟨2026⟩
κηδάζει· καθαίρει. κηδαλίζει
κηδαίνει· μεριμνᾷ ⟨cf. κηραίνειν⟩
κήδαλον· αἰδοῖον. κέρας. σκάλαθρον [49—51b]
(κήδεα·) μέριμναι, λῦπαι, ἀνίαι χαλεπαί, [ad 52] [53. 54]
κηδεία (Aesch. fr. 159)· οἰκειότης
κήδειν (Call. Del. 231)· κακοποιεῖν, ἀνιᾶν [ad 56] [57]
κήδειος· προσήκων. φροντιστής
κηδείους (T 293)· τοὺς προγενεστέρους, ἢ κατ' ἐπιγαμίαν οἰκείους, ἢ συγγενεῖς
κηδεμόνες· [ad 60] εὐεργέται. καὶ οἱ κατ' ἐπιγαμίαν οἰκεῖοι, ἢ συγγενεῖς
κηδεύς (Ψ 159)· κηδεύσιμος, ὑπὸ κηδεμονίαν πίπτων, καὶ φροντίδος ἄξιος
κήδεσθαι· φροντίζειν (Plat. Civ. 344 E). λυπεῖσθαι
κηδεσταί· πενθεροί, οἱ τῆς κόρης γονεῖς. καὶ οἱ τῶν γαμούντων οἰκεῖοι ἐκδιδόντες, καὶ συγγενεῖς, καταχρηστικῶς
κήδεται· [ad 64] ἐπιμελεῖται. βοηθεῖ
κηδεύειν (Eur. Rhes. 983)· φροντίζειν. ἐνταφιάζειν. ἐπιμελεῖσθαι. βοηθεῖν
κηδεύοντα (Eur. Or. 883)· ἐπιστατοῦντα, κηδόμενον
κηδεύσομαι· ἐπιμελήσομαι, θεραπεύσω
κηδέων· ἀνιῶν
κήδιστοι· φίλτατοι. (e I 642?) φροντιστικώτατοι. ἀναγκαιότατοι
κήδομαι (Herod. III 40)· φροντίζω, οἰκτείρω, λυποῦμαι, ἀνιῶμαι, ὀργίζομαι
κῆδος (Plat. Civ. 605 D)· κηδεία. πένθος, λύπη. φθορά. συγγένεια. †νηστεία. θεραπεία. φροντίς ⟨schol. Dion. Chrys. VII 52⟩
κήδων (Ω 542)· ἀνιῶν, κακοποιῶν
κη..· τάφος
κήθεια· κηθάρια. τὰ ὀξύβαφα, ἐν οἷς τοὺς κύβους ἔβαλλον ⟨2573⟩
κηθεῖν· βοηθεῖν. συντρέχειν
Κηθείδης (Ar. Nub. 981)· διθυράμβων .....
κήθευον· συνεπορεύοντο
κηθοί· βοηθοί ⟨1951, col. 489, 11⟩
κηΐα· καθάρματα ⟨1987⟩
κηκάδι (Callim. fr. CCLIII)
(κηκάζει·) λοιδορεῖ. χλευάζει
†κήκραν· ἐκεκράγασαν
κηκάς (Nic. Al. 185)· κακή. τιμωρός. κακολόγος. δύσφημος
κῆκες· λάροι
κηκίει· πηδᾷ, πιδύει
κηκίειν· ἀναφέρεσθαι. καὶ διϊδροῦν ⟨311⟩
κήκιεν· ἀνεφέρετο, ἀνεπήδα
κηκίς· ἀτμίς (Soph. Ant. 1008). στύμμα. καὶ ὁ καρπὸς τῆς δρυός. Κῷοι δὲ καὶ τοὺς ἀκάρπους στάχυας, καὶ στερητικούς
κῆλα· βέλη θεῖα (Α 53). σημεῖα. ξύλα· ὅθεν

COD. 21 κεχλιδότα  27 κεχλοιδιάματα  ⟨31 κεγχράμας· εἶδος ὀρνέου AM.⟩ 36 ἐκονίασεν  37 |ῆσθαι  43 κεῶν  54 κηδεῖ  56 κηδεῖν, κακοπαθεῖν  58 φροντιστέος  61 κήδιος  63 πενθερεῖς  72 κηδῶν  74 κηθάρεια  80 κηκαδεῖ  84 κηδεύει  86 ἀνεφέρειο

HES. 22 κεχλάνδαν· χάσκειν  23 κεχλαδοῦσι· χάσκουσι  29 κεχολωμένον (Α 217)· πικρόν, ὠργισμένον  30 κεχολώσεται (Α 139)· ὀργισθήσεται  43 κέων (η 342)· κοιμ(ηθ)ησόμενος  49 κήδεα· λῦπαι  50 κήδαιεν· ἠνία, ἔπλαψεν  51 Κηδάρ (Ps. CXX 5)· πένθος ⟨קדר cf. κῦδαρ⟩  51b κήδεαι (Z 55)  Ad 52 καλὰ ἢ καλὰ (Σ 8)  53 κῆδε δέ (E 400)· ἐλύπει δέ  54 κήδει (P 550)· λυπεῖ  Ad 56 λυπεῖν (I 611 paraph. λύπει)  57 κηδείαν (II Macc. IV 49)· ταφήν  Ad 60 φροντισταί (Ψ 163. 674)  Ad 64 φροντίζει (B 27)

καὶ καλόπους καὶ κηλώνειον. καὶ ἱερὰ ἀγάλματα. καὶ πυρετός

κηλάδες· αἶγες, αἱ ἐν τῷ μετώπῳ σημεῖον ἔχουσαι τυλοειδές

κηλαίνειν· θέλγειν † νοσεῖν

κηλάς (Theophr. de sign. pluv. II 6 p. 791)· νεφέλη ἄνυδρος. καὶ χειμερινὴ ἡμέρα. καὶ αἴξ, ἥτις κατὰ τὸ μέτωπον σημεῖον ἔχει τυλοειδές

κηλάστραι ⟨κοιλ—?⟩· σκαφίδες, ἀγγεῖα ποιμενικά. ἢ δένδρα (κήλαστροι Theophr. I 15 III 6)

κηλει· πραΰνει, θέλγει, πείθει. καταμαραίνει: (τέρπε) [94]

κηλείῳ (Ο 744)· καυστικῷ, λαμπρῷ

κηλέῳ (Θ 217)· ὁμοίως

κήληθρα· φίλτρα. παραμύθια

κηληθμῷ (λ 333 ν 2)· [ad 98] τέρψει, χαρᾷ

κηλήνη· μέλαινα

κηλήτειρα (Hesiod. Opp. 464)· ἡσυχάστρια

κηλητηρίους (Eur. Hec. 535)· τὰς ψυχὰς θεραπευούσας

κήλησις (Plat. Euthyd. 290 A)· ἡ δι' ᾠδῆς ἡδονή

κηλῖδες (cf. Aesch. Eum. 787)· μολυσμοί

κηλίς· ἕλκος. οὐλή. ὄνειδος (Soph. O. C. 1134). ῥύπος. καὶ εἶδος αἰσχρὸν ἐν ἱματίῳ

κηλόν (Iones)· ξηρόν ⟨1902⟩

?κηλοῖ· εὔχεται θεῷ

κηλούμενος· [ad 2507] τερπόμενος

†κηλοῦν· εὔ .εσθαι [9]

κηλώνεια (Herod. IX 119)· ἀντλητήρια ξύλινα

κηλώνειον (Ar. fr. XL p. 1185)· ξύλον, ἐν ᾧ ἕλκεται τὸ ὕδωρ

κήλων· ὁ ἐν τῇ νηὶ λεγόμενος. καὶ ὀχευτής (Archil. fr. 95). πεῦσις. καὶ ἄντλημα

κήμιψ· φλέψ. γεῶδες ἐν μέτραις ⟨πε—⟩

κημός (schol. Ar. Eqq. 1158)· πλεκτὸν ἀγγεῖον, ἐν ᾧ λαμβάνουσι τὰς πορφύρας. ἔστιν δὲ ὅμοιον ἠθμῷ, καὶ ἐν αὐτῷ τὸ δέλεαρ. δηλοῖ δὲ καὶ τὸ ἐπιτιθέμενον τῇ τῶν δικαστῶν ὑδρίᾳ πεπλεγμένον πῶμα, παρόμοιον χώνῃ. καὶ ὁ περιτιθέμενος τοῖς ἵπποις, εἰς ὃν αἱ κριθαὶ βάλλονται. καὶ γυναικεῖον προκόσμημα. καὶ εἶδος χαλινοῦ

κημός· στομὶς τῷ χαλινῷ ἐμφερής

κήμωσις· φίμωσις

†κήνεον· καθαρόν ⟨κηῶεν⟩ [18]

κηνούει· ἐκεῖ

κηνσός ⟨v. 2019 et εὐάν⟩· βοτάνη τις [ad 20]

κήνυγμα (Aesch. Prom. 157)· τὸ κενὸν τοῦ σώματος, οἷον σκιά, καὶ εἴδωλον, φάντασμα, ἀσθενές, καὶ ἀχρεῖον ⟨2509⟩

'κηνυσσόμ(ην Aesch. Cho. 196)· εἴδωλον ἐγενόμην

κηνύει· καλεῖ ⟨v. χαννύει⟩

κηνῶ· ἐκεῖθεν

κήξ (ο 478)· ὁ λάρος κατὰ Ἀπίωνα. λέγεται δὲ καὶ καύηξ. τινὲς καὶ αἴθυιαν ἀποδιδόασιν· οἱ δὲ κέπφον· οἱ δὲ διαφέροντα ἀλλήλων

Κήπιδος σκέλος (Com. V p. 120)· παροιμιῶδες ἦν (κατὰ) τὸ πέρδικος σκέλος

†κηπεύωνος· κηπεύον κηδομένως ⟨κηδεύων· ὁ?⟩

(κηπίων· ἔνιοι μέλος τι) cf. 716. 2573

κηποκόμος· κηπουρός

κῆπος· παράδεισος παρὰ Πέρσαις. ἢ εἶδος κουρᾶς, ἣν οἱ θρυπτόμενοι ἐκείροντο ὡς ἐπίπαν ἐν μιᾷ μαχαίρᾳ (Eur. Tro. 1175 sch.). καὶ τὸ ἐφήβαιον τῶν γυναικῶν ⟨hinc μανιόκηπος⟩. καὶ ζῷον ὅμοιον πιθήκῳ ⟨κῆβος Arist. HA. II 5⟩

κηρ (Α 44 — Α 228)· περισπώμενον καὶ οὐδετέρως λεγόμενον ἡ ψυχή· ὀξυτονούμενον δὲ καὶ θηλυκῶς ἐκφερόμενον ἡ θανατηφόρος μοῖρα, ἢ θάνατος [31]

κηραίνει· φθείρει. μεριμνᾷ, φροντίζει ⟨2447⟩. δυσθανατεῖ

κηραίνοντα· βλάπτοντα [34. 35]

κῆρας· ἀκαθαρσίας, μολύσματα. βλάβας ⟨Δ 11⟩

COD. 91 cf. εἱλάς et κατειλάδα 93 cf. 2143 κέλε 95 κηλέω 96 κηλείω, ὁ; cf. κέλωϊ 97 κήλιτρα φίλητρα π[ε]μύθεια 98 κηλ.θμῶ — τέρψις, χαρά; cf. ἠληθμῷ 2500 cf. εὐκηλήτειρα 10 |νια 15 κημοστόμης — ἐμφερ.ς 16 cf. κίμωσις 19 cf. κηρούει, κηνῶ 24 κήνω, ἐκεῖ 25 κάνηξ — ἐφυῖαν — κεπφ., οἱ δὲ διαφ[ε] ⟨27 κήπου ὦρος· κήπων κηδόμενος Meinek.⟩ 29 παρὰ πέρσαις post κουρᾶς 36 κήρας

HES. 94 κηλάδησαν (Ψ 869)· ἤχησαν. ἐβόησαν Ad 98 θέλγω, τέρπω Ad 2507 ἐν ἱματίῳ 9 κήλυγμα (Aesch. Prom. 157)· ἀχρεῖον. ἀσθενές ⟨cf. κήρυγμα⟩ 18 κηνσήτωρ· ὁ τὴν γῆν μετρῶν (censitor) Ad 20 τὸ δὲ τέλος κινσὸς διὰ τοῦ ῑ 31 κῆρ[α]· ψυχή. θάνατος 34 κηραίνειν· βλάπτειν 35 κηρακινύσσων (Ο 10)· παραφρονῶν

κηραφίς (Nic. Al. 394)· κάραβος [38]

κηρέσιον· ὀλέθριον. νοσηρόν

κηρεσσιφορήτους (Θ 527)· τοὺς ὑπὸ τῆς εἱμαρμένης μετενηνεγμένους ἢ ἀπωθησομένους ἐνθένδε ὑπὸ τῶν μοιρῶν [41—43]

κηρίναι· μάστιγες γίνονταί τινες κηρίναι, ὥσπερ οἱ λεγόμενοι κηρίονες .....

Κήρινθος· ἡ λεγομένη ἐριθάκη. ἔστι δὲ τροφή, ἣν παρατίθενται ἑαυταῖς αἱ μέλισσαι (Arist. HA. IX 27, 2) [ad 45]

κηρίον· τὸ τῶν μελισσῶν. καὶ εἶδος πλακοῦντος. καὶ ἕλκος ποιόν

κηριοῦσθαι· ἐκπλήττεσθαι ⟨ε 1390. 1434⟩

κηρίφατοι· ὅσοι νόσῳ τεθνήκασιν

κηρίῳ βύσασα (Ar. Thesm. 506)· εἰς τὸ στόμα τῶν παίδων ἐτίθεσαν κηρίον, ὑπὲρ τοῦ μὴ βοᾶν ὁπότε ὑποβάλλοιεν

κηριωθῆναι· ὑπὸ σκοτοδίνου ληφθῆναι

κηρίωμα (Soph. fr. 644)· †ὁμίλημα. ἔστι γὰρ τὸ κηρίον, ᾧ προσεικάζει τοὺς ὀφθαλμοὺς τῶν Φινειδῶν [51a]

κηρόν ⟨πηρόν?⟩· λεπτόν. νοσηρόν

†κηροπάζουσα· βαστάζουσα

†κηροσσαίων· παλαιῶν

κηρούει· ἐκεῖ. Κρῆτες ⟨2519⟩

Κηρουχίδαι (Archil. fr. 88a 1?)· γένος ἐν Μιλήτῳ, ἀπὸ Κηρούχου

κηρόφιν· ἐκ τῆς ψυχῆς

†κήρτεα (Cretice?)· τὰ κέρδη

Κήρυκες· οἱ ἄγγελοι, οἱ διάκονοι, οἱ τὰς ὑπηρετικὰς ἐπιτελοῦντες πράξεις (Α 391 al.). ἐκαλεῖτο δὲ καὶ γένος ἰθαγενῶν, ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ. Φανίας. καὶ τοὺς ἐρινάζοντας τοὺς ἐρινοὺς κήρυκας λέγουσι

κηρυκίνη· ἡ καταρωμένη

κηρύκ(ε)ιον· σκῆπτρον. καὶ (λίθος) ἐφ' ᾧ ἀναβὰς κηρύσσει [62]

Κηρύκιον· ὄρος τῆς Ἐφέσου, ἐφ' οὗ μυθεύουσι τὸν Ἑρμῆν κηρύξαι τὰς γονὰς Ἀρτέμιδος

κηρύλος (Ar. HA. VIII 5, 7)· ἄρσην ὄρνις συνουσιαστικός. τινὲς δὲ ἀλκυόνα (Alcm. fr. 21) [65]

κήρυξας (ἔχω Soph. Ant. 192)· ἀντὶ τοῦ ἐκήρυξα

†κησσόν εὔοδμον ⟨κηῶεν?⟩

κῆτα· καλαμίνθη [69]

κητε†ῖν· θυννῶν φορά

Κήτειοι (λ 521)· γένος Μυσῶν· ἀπὸ τοῦ παρα(ρ)ρέοντος ποταμοῦ Κήτεος. ἢ μεγάλοι

κητήνη· πλοῖον μέγα ὡς κῆτος

κήτιον· μέγαν. [ad 73] καὶ ἐμετήριον ἀπὸ λαχάνου ἀγρίου, ὅπερ ἀντὶ πτερῶν καθίεσαν εἰς τὸ στόμα, ὡς Κρατῖνος ἐν Ὥραις (p. 165) σημαίνει. καὶ ἥδυσμα. καὶ τὸ νεαρὸν κρόμμυον. [ad 73] οἱ δὲ τὰ Ὀφαρτυτικὰ συνθέντες διὰ τοῦ γ̄ φασὶ γήτιον

κῆτος (ε 421?)· θαλάσσιος ἰχθῦς παμμεγέθης: δηλοῖ δὲ καὶ ἀπορίαν ⟨χῆτος⟩

κητώεσσα (δ 1 Eur. Tro. 191)· ὑγρά. κοίλη. μεγάλη. εὔυδρος. καλαμινθώδης. οἱ δέ, ὅτι ἐκεῖ ἡ θάλασσα συνεχῶς κήτη ἐκβάλλει

κηφή(ν Arist. HA. IX 27, 1)· μυῖα ἄκεντρος, ἀργή, μὴ γεννῶσα

κηφῆνας· τοὺς ἄρρενας τῶν μελισσῶν, ἀπράκτους

κηφηνώδεις· τετυφωμένοι. κατασεσιγασμένοι

Κηφισιεῖς· γένος ἰθαγενῶν

Κηφισίς· λίμνη

Κηφισός· ποταμός [82. 83]

κῆχος (Pher. inc. XXIII Ar. fr. inc. LXXVIII)· τύπος. καὶ ποῖ κῆχος· ποῖ γῆς. ἄλλοι κῆγχος

†κηῶ· σύνθεσις

κηώδει (Ζ 483)· εὐώδει, τεθυμιαμένῳ, ἀπὸ τοῦ καίεσθαι τὰ θυμιάματα. ἔνθεν ⟨ἐνίοτε⟩ τὸ δυσῶδες

κηῶδες· τεθυμιαμένον, εὐῶδες, εὔπνουν. φωτεινόν

COD. 37 κήραφις; cf. καραβίδες et χήραβος 39 ὄλεθρον νοσήριον 40 κήρεσι φορητούς — ἀπεωσθησομένους Post 45 καὶ ἕλκος ποιόν 51 κηρίομα — ὅν — φινιδῶν 53 cf. χηροπτάζουσα ⟨54 καιροσέων ἀπ' ἔλαιον ? epic. inc⟩ 57 κηρόφην 64 κήρυλος, ἄρσεν — ἀλκύωνα 66 ἐκήρυξας 68 cf. κάεια καιέτα κητώεσσα 72 (μεγα)κήτηνῆ(α) Meinek. 73 πυρῶν — ἥδεσμα ⟨ἔδεσμα?⟩ — ὀψαρτειτυκά 75 |όεσσα 76 cf. ἀργή ἀρχή θρῶναξ καφάν 78 κηφιώδεις 79 κήφισι, εἰς 80 κήφισις 87 cf. κήνεον, κησσόν

HES. 38 κῆρες (Hom.)· ψυχαί. συμφοραί, μοῖραι θανατηφόροι 41 κηρί (γ 410)· εἱμαρμένη 42 κῆρι (Δ 46)· ψυχῇ 43 κηρείαις (Ioann. XI 44)· ἐπιθανάτια ἐντιλήγμενα ⟨L. ἐντυλίγματα⟩ Ad 45 καὶ πόλις Εὐβοίας (Β 538) 51a κήρωθι (Ι 300)· ἐκ ψυχῆς 62 κήρυγμα (Aesch. Prom. 175)· ἀχρεῖον. ἀσθενές 65 κῆρυξ (Hom.)· ἄγγελος, διάκονος, πρεσβευτής 69 κήτει ναίει (π 35)· ἐρημίᾳ. στερήσει Ad 73 καὶ ὃ ⟨l. ᾧ⟩ τὰς ψήφους διωθοῦσιν ἐν τοῖς κληρωτηρίοις ⟨h. e. κήθειον⟩ — ἔνιοι μέλος τι ⟨h. e. Κηπίων⟩ 82 κηχί· ὄνυξ ⟨κηλίς⟩ 83 κήχρα· δανείζει ⟨κιχρᾷ⟩

κηῶεν· μέλαν ⟨ad ἴδεν?⟩. καθαρόν. εὔοδμον, τεθυμιαμένον

†κιανθείς· ἑταίρα κιανγάλη

κιάντωρ· κιναιδῶς ⟨μιάντωρ· κίναιδος?⟩

κίατο· ἐκινεῖτο ⟨ἔκειτο?⟩

†κίβαλος· διάκονος

κίββα· πήρα. Αἰτωλοί

κιβδηλιᾶν· ὠχριᾶν

κιβδηλιῶντας (Arist. Probl. II 1, 5)· ὠχρούς, ὑπὸ τῆς κιβδήλεως ἐνοχλουμένους. ἔστι δὲ κίβδηλις ἐν τοῖς μετάλλοις σκωρία, ἀφ' ἧς πᾶν φαῦλον κίβδηλον, μοχθηρόν, ψεῦ(σ)μα, νόθον, ἀδόκιμον

κίβδης· κακοῦργος. κάπηλος. χειροτέχνης [98. 99]

κίβισις (Callim. fr. CLXXVII)· πήρα. Κύπριοι

†κιβλεῦραι· στοχάσασθαι

κίβον· ἐνεόν. Πάφιοι

κιβώριον· Αἰγύπτιον ὄνομα, ἐπὶ ποτηρίου

κιβωτός· λάρναξ ξυλίνη. ἢ σορός

κίγκασος· κυβευτικός τις βόλος

κιγκλίδες· θύραι, ἃς ἡμεῖς καγκελλωτὰς λέγομεν

κιγκλίζειν (cf. Theognid. 303)· κινεῖν. πειράζειν

κίγκλος (Arist. HA. IX 13, 1)· ὄρνεον πυκνῶς τὴν οὐρὰν κινοῦν. ἀφ' οὗ καὶ τὸ κιγκλίζειν· ὅ ἐστι διασείεσθαι. τινὲς δὲ σεισοπυγίδα

κίγκρα· κίρνα

κιγκράμας (Arist. HA. VIII 14, 6)· ὄρνεον [11]

κιγχάνειν· εἰσπράττειν. λαμβάνειν

κιγχάνω (Eur. Alc. 480)· τυγχάνω [14—16]

κίδαλον· κρόμμυον

κίδαρις· πῖλος βασιλικός, ὃν καὶ τιάραν· ἔνιοι δὲ κίταριν διὰ τοῦ τ̄. ἢ στρόφιον, ὃ οἱ ἱερεῖς φοροῦσιν. ἔστι δὲ ἐκ σμύρνης καὶ λαβύζου. ἡ δὲ λάβυζός ἐστι πολυτιμοτέρα αὕτη τῆς σμύρνης καὶ ὄζει ἥδιστον καὶ θυμίαμά ἐστιν κάλλιστον παρὰ βασιλεῖ· ἐκ τούτων ἡ κίδαρις πέπλασται. ἢ ἐκ τριχῶν ὕφασμα, ἢ περικράνιον περίθεμα κεφαλῆς εὐκόσμιον, καλὸν εἶδος καμελαυκίου. τινὲς δὲ περικράνιον πίλιον

κιδαφεύειν· πανουργεῖν· κιδάφη ⟨v. κινδ—⟩ γὰρ ἀλώπηξ. ἢ ἐσθίειν, ἀπὸ τῶν κιῶν

κιδαφίων ⟨κινδ—⟩· πανούργων· κιδάφην γὰρ τὴν ἀλώπεκα λέγουσιν. ἔνιοι δὲ παρὰ τοὺς κίας φασὶ πεποιῆσθαι τὴν λέξιν καὶ δηλοῦν τὸν διαβιβρώσκοντα

κίδαφος· δόλιος. καὶ ἡ ἀλώπηξ

κίδνασθαι· σκεδάννυσθαι, σκορπίζεσθαι

†κιδνόν· ἐνθάδε. Πάφιοι [24]

κίδρα· αἱ ἐγχώριοι πεφρυγμέναι κριθαί

κίε· βάδιζε. παρεγένετο

κίειν· πορεύεσθαι

κιέλλη· φέγγος, αὐγή, φῶς. πάχνη. ὁμίχλη

κίεν· [ad 29] παρεγένετο [30]

κίες· θηρίδια σιτοφάγα

κίθαρις· κιθάρα (Call. Ap. 12. 19) κιθάρισμα (Γ 55)

κιθαριστήριοι· αὐλοί τινες

κίθαρος· στῆθος. πλευρά (Hippocr.). καὶ ἰχθῦς (Arist. HA. II 12, 13)

κιθών· πῶμα πίθου

Κιθωνέα· ἐπίθετον Ἀρτέμιδος

†κιχαῖος· ἴσον ἐλλύχνιον τὸ τῶν καρπῶν λέπος

κίκαμα (Nic. Ther. 841 sch.)· τῷ λαχάνῳ καυ(κα)λίδι ὅμοιόν τι

?κίκι (Herod. II 94)· φυτόν

†κίκελος· τροχός

?κίκιμον· τῆς κορώνης τὸ κόπριον

†κίκερος· ὁ χερσαῖος κροκόδειλος

†κίβερροι· ὠχροί. Μακεδόνες [44]

†κικίννα· τριχοπλάστης

†κικιρδής· συκῆ

κίκιρρος· ἀλεκτρυών ⟨2654⟩

†κικκάβιν.· ἐλάχιστον. οὐδέν

κίκκα· ἀλεκτορίς

κίκκασος· ὁ ἐκ τῶν παραμηρίων ἱδρὼς ῥέων. καὶ βόλου ὄνομα ⟨v. κίγκασος⟩

COD. 89 Ἰανθίς· ἑταίρα λίαν καλή Meinek. 94 cf. κίβισις κίρβα κύβεσις κύμβη 96 κηβδηλίς — παμφύλλον κίβδηλλον — φαῦλον 97 πηλός ⟨2602 = κέπφον⟩ 5 κιβευ| cf. κίκκασις 6 καγγ| 8 |σείσεσθαι — σισοπύγιδα 9 κιγκρᾶ, κίρνα 10 cf. 2431 18 πολυτιμωτέρα — καμαλαυκίου — πήλιον 20 σκίας — |εῖσθαι τῇ λέξει 21 cf. κίραφος 22 κιδιᾶσθαι 25 κίδναι 27 |σεσθαι 34 κιθαρος (Dor.) 35 κίθων 38 κιχαμία — καυλίδι 43 cf. κέρβερος 45 τριχόπλαστος 48 cf. οὐ μάλα κικκάς

HES. 98 κιβικία ⟨h. e. κιμβικεία⟩ 99 κιβίνδα· κατὰ νότου ⟨κυβησίνδα⟩ 2611 κίγκρ.ται· κνίζεται. ὀδύρεται 14 κιγχλίζει· σαλεύει. μοχλεύει. κινεῖ ⟨κιγκ—⟩ 15 κιγχλίς· ὁ τοῦ δικαστηρίου κάγγελος ⟨2606⟩ 16 κιγχλισμός· αἰσχρὸς γέλως μετὰ ἀταξίας ⟨2826⟩ 24 κιδνωτέρους· ἀσθενεστέρους ⟨ἀκιδ—⟩ Ad 29 ἐπορεύετο (B 565) 30 κίενεν· ἐπετέλεσεν ⟨κρήηνεν⟩ 44 Κικινῆς (v. l. Ar. Nub. 210)· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς ⟨2667⟩

κίκκη· συνουσία. ἢ ἀπὸ τῶν αἰδοίων δυσοσμία

κικκίδαι· μινθῶνσ..

κικκιλόνδις· παιδὸς ἀφόδευμα

κικκός· ἀλεκτρυών ⟨2647. 49⟩. κλέπτης. διαχώρησις (cicus, in malo punico discrimen)

κίκλην· τὴν ἄρκτον τὸ ἄστρον. Φρύγες [56—58]

κικνία· μικρὰ φθειρία

κίκνωψ· θηρίον ⟨i q. κνώψ⟩

κικοβαυλιτίδες· κογχυλίου τι γένος μέλαν. καὶ τὰ ἐκ στέατος σκωλήκια

†κίκους· ὁ νέος τέττιξ

κικριβιντίς· ἀνδράχνη ⟨2825⟩

κικυμίς (Callim. fr. CCCXVIII)· γλαῦξ

κίκυμος· λαμπτήρ. ἢ γλαυκός. ὁμοίως καὶ κίκυβος

κικυμώσσειν· δυσβλεπτεῖν ⟨2829⟩

Κικυννῆς (Ar. Nub. 210)· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς ⟨2644⟩

κῖκυς (λ 392)· δύναμις

Κίκων· ὁ Κίκων Ἀμυθάονος ἦν, οὐδὲν αἴσιον προθεσπίζων (Hippon. fr. 2) [70]

†κιλάριος· ὁ ἥλιος

κιλίας· στρουθὸς ἄρσην

Κίλικες· οἱ Ὑποπλακίους Θήβας οἰκοῦντες (Z 397?): ἢ δημόται ⟨2172⟩

κιλικίζεσθαι· κακοηθίζεσθαι

Κιλίκιοι ἄρτοι (Plato com.)· ῥυπαροί, μεγάλοι

Κιλίκιοι λόγοι· οὗτοι ἀναφέρονται εἰς κύρβασιν, ἢ κυάρβασιν ⟨Κυβίσσην⟩ ἢ τράγοι· δασεῖς. καὶ τὰ ἐκ τριχῶν συντιθέμενα κιλίκια

Κιλίκιος ὄλεθρος· [ad 77]

Κιλικίους (Attici)· πικρὰς τιμωρίας

?Κίλικι λιμῷ ⟨—κίῳ· δεινῷ?⟩· ὀλέθρῳ. ἔλεγον γὰρ Κιλίκιον ὄλεθρον [80]

Κίλλα (Α 38?)· πόλις, ἔνθα ἱερὸν Ἀπόλλωνος

κίλλαι· ἀστράγαλοι: ἢ ὄνοι ⟨κίλλοι Dores⟩

κιλλακτήρ (Dores)· ὀνηλάτης, κυνηγός

κιλλαμαρύζειν· κατιλλώπτειν

Κίλλεια· εἶδός τι λαχάνου. ἢ ἀκάνθαι τῶν ἐχίνων. ἢ πηγή, ἢ κρήνη. ἢ ὄρος τῆς Ἀττικῆς. χωρίον δασύ, ὅπερ διαφόρως προσαγορεύουσιν, οἱ μὲν Κάλλιον· οἱ δὲ Κυλίαν· ἄλλοι Κύλλου πέραν (Aristoph. p. 1058 Cratin. p. 79)

κι(λ)λίβαντες· τραπεζῶν βάσεις καὶ ὑποθέματα, ἢ τρισκελεῖς τράπεζαι

Κιλλικύριοι (Herod. VII 155)· [ad 87]

Κιλλικῶν (Ar. Pac. 362)· προδότης οὕτως ἐπωνομάζετο, Ἀχαιὸς μὲν τοὔνομα, Κιλλικῶν δὲ ἐπικαλούμενος, ὃς Μίλητον προέδωκε τοῖς βασιλέως στρατηγοῖς

κίλλιξ· στάμνος. ἢ βοῦς τὸ ἓν κέρας ἔχων διεστραμμένον ⟨2680⟩

κιλλόν· εἶδός τι χρώματος φαιοῦ

κίλλος· ὄνος. καὶ τέττιξ

κίλλουρος· σεισοπυγίς

κίμαι· χυμὸς πύρινος † πρωϊνὸς ὑπὸ Κυπρίων

κιμαός· χυλὸς μορέας

κιμβάζει· στραγγεύεται [96]

κιμβεία (Aristot.)· σκιφία. μικρολογία

κιμβερικόν (Ar. Lys. 45. 52)· χιτωνίσκου εἶδος πολυτελοῦς, ὃ λέγεται στατός

†κιμβεύει· ὁδοιπορεῖ

κιμβικεία· πανουργία. ἐνεασμός

κίμερος· νοῦς. Φρύγες

Κιμμερὶς θεά· ἡ μήτηρ τῶν θεῶν [2701]

κίμμυρος ⟨v. κύμβινον⟩· μικρολόγος [ad 4]

κίμψαντες· ἐρείσαντες, στηρίξαντες [6. 7]

Κιμώνεια ἐρείπια (Cratinus)· ἔνθα ἠσχημόνουν περαινόμενοι

κιναβεύματα (Ar. Thesm. fr. XVII. CVI)· πανουργήματα. (ἀποκαθάρματα ὄζοντα 2736)

COD. ⟨52 μινθῶνες Meinek.⟩ 53 κοκ| 54 cf. ἰσκός et κιξάλης 61 |ιλίου (i. q. κηκίβαλοι?) 64 |υῆϊς 66 |ώειν, δυσβλέπειν 67 κικίνν.ς 68 κικὺς 71 Forte σκιάλλιος· ὁ Ἀπόλλων Macrob Sat I 17 74 cf. ἐγκιλ— 75. 76 |κειοι 82 cf. μελαιαί 84 κιλαμαρίζειν· κατιλλόπτειν 85 κυλυπεραν 86 κιλιβάντις — βάσις 88 κιλλικών — ὡς μιλητῶν 89 ἔχον 90 τριχώματος 91 κιλλός ⟨2682. 3⟩ 92 κίλλυρος, σισ| 93 χυλλός Post 91 πρωινὸς ὑ. Κ. 94 κιμά ὁ — μοραίας 95 στρατεύεται 96 στράτευε 97 post 2700 κιμβία 2700 κιμβηκία 1 I. q. σκεμμός 5 ἐρίσαντες 8 κιμώνια ἐρίπια 9 κιναβεῦμα, πανουργεύματα

HES. 56 κικίσκει (χ 397)· καλεῖ 57 κικλισμός· γέλως ⟨κιχλ—⟩ 58 Κίκονες (ι 47. 59)· γένος Θρακῶν 70 κικλαίει· καλεῖ ⟨h. e. κλάει· κλαίει; 2819⟩ Ad 77 πονηρός. πονηροὶ γὰρ οἱ Κίλικες 80 κιλιβοῦς, τὸ ἓν κέρας εἶχον ἀπεστραμμένον ⟨2689⟩ Ad 87 οἱ ἐπεισελθόντες γεωμόροι(;). δοῦλοι δὲ ἦσαν οὗτοι καὶ τοὺς κυρίους ἐξέβαλον 96 κίμβαξε· στραγγεύου [κίμβαξ γὰρ ἡ ἀσπίς] 2701 Κιμμέριοι (λ 14)· Σκύθαι. καὶ ἴχνος ⟨l. ἔθνος⟩ περὶ τὸν ὠκεανόν Ad 4 [ἢ μακρολόγος] 6 κιμήλια· σκεύη, δῶρα, καὶ τὰ ἀπόθετα χρήματα 7 κίμωσις· φίμοσις ⟨κήμωσις· φίμωσις⟩

κινάβρα· δυσωδία τῶν τράγων
κίναδος (Soph. Ai. 103)· θηρίον. ὄφις
κιναθίας· κρυπτός
κιναθίζειν· ἰδιάζειν, ἀποθησαυρίζειν κατὰ μικρὸν συλλέγοντα. ἔνιοι μινυρίζειν ⟨2720⟩. καὶ κινεῖν
κινάθισμα (v. l. Aesch. Prom. 124)· κίνημα πλήθους, παραγώγως· ἐξ οὗ πλῆθος (, ὃ) παραγίνεται, ὑπακούεται [15]
κίναιδος· ἀσελγής, πόρνος [17]
†κινάδρα· ἀλώπηξ [19]
κιναρύζεσθαι· θρηνεῖν μετὰ τοῦ γογγύζειν. καὶ κινεῖσθαι ⟨2713⟩
†κιναουϊδές· ἰχθῦς ⟨2732 — εἶδος ἰχθύων⟩
κιναύρου ψῦχος· τὸ ἅμα ἡμέρᾳ. Κύπριοι
κιναφεύειν· πανουργεύεσθαι ⟨2619. 2709⟩
κίνδα· πόρνη ἀσχημοσύνη ⟨κιναιδία· πορνική ?⟩
κίνδαξ· εὐκίνητος
κίνδακας· εὐκινήτους ⟨cf. σκίνακες⟩
κινδαύει· κινεῖται. κερατίζει
κινδάφη· ἀλώπηξ ⟨2619⟩
κινδαφίων· πανούργων. ἀλωπέκων ⟨2620⟩
Κινδαψοί· ὄρνεα. καὶ ὄργανα κιθαριστήρια. καὶ Ἰνδοί
κίνδυνος ἡ 'ν πρώρᾳ σελίς· οἱ πολέμιοι γὰρ τὴν πρῶραν εὐθέως ἐφάλλονται. Σελὶς δὲ ἡ καθέδρα
κίνερμοι· οἱ μικροὶ ἰχθύες ⟨2721⟩
κίνημα· κίνησις, ταραχή, ὁρμή. χόλος, κότος, ἢ ὀργή
κινῆδος (Boeot.)· ἀσελγής
κιννάβαρις (Anaxandrid. fr. II p. 168)· εἶδος χρώματος ἀληθινοῦ, ὃ λέγομεν κόκκινον· καὶ παρὰ τοῖς ζωγράφοις [36]
†κιναθίδα· χρῖσμα γυναικεῖον
κιννάμωμον· ἓν τῶν λιβανωτῶν, ἢ τῶν ἀρωματικῶν, λιβάνιον. καὶ ὄρνις (Ar. HA. IX 14, 2). καὶ πόα εὐωδεστάτη
κιννυρίδες· τὰ μικρὰ ὀρνιθάρια ⟨κινυ—⟩
κινούρας· τοὺς κακούργους ἵππους [41. 42]
κινύρα· [ad 43]: οἰκτρά ⟨ad κινυρά⟩
Κινυράδαι· ἱερεῖς Ἀφροδίτης
Κινύρας· Ἀπόλλωνος καὶ Φαρνάκης παῖς, βασιλεὺς Κυπρίων
κινύρεσθαι (sch. Call. Ap. 20)· θρηνεῖν, κλαίειν
κινυρή (P 5)· ἁπαλή, νέα. λεχώ. οἰκτρά, θρηνητική
κινυρόν· λεπτόν. καπυρόν. ὀξύ. οἰκτρόν
κίνυσθαι· κινεῖσθαι. ἐγείρεσθαι. ἄρχεσθαι. [† ἰδεῖν. διανοεῖσθαι ⟨ad πίνυσθαι ?⟩. † αἰδεῖσθαι ⟨αἰσθέσθαι ?⟩] ὁρμᾶν
κίνυται· τὰ αὐτά
κινύτιδος· κινητικός ⟨ῆς ?⟩. † χαραδριός
Κινύφειον· τὸν Ἀνταῖον. ἀπὸ Κινύφου τοῦ ποταμοῦ
κινῶ (Empedocl.)· κίνησις. Δωριεῖς [54]
κινώπετα (Coll. Iov. 25)· κνώδαλα, θηρία
κιξάλλαι (Democritus)· κλέπται
κιξάλλης· φώρ, κλέπτης. ἀλαζών
κιξαλλία· πᾶσα κακοτεχνία
†κίξαντες· ἐλθόντες. πορευθέντες
κίξατο· εὗρεν. ἔλαβεν. ἤνεγκεν
κίξιος· τέττιξ
κιονίδα· σταφυλήν (oris columellam, uvam)
κίουρος· ἐμβολεὺς οἰσύϊνος, κόφινος, ᾧ τὸν σῖτον ἀναβάλλουσιν οἱ ναυτικοί. ἢ μέτρον τι [64]
κίραφος· ἀλώπηξ. Λάκωνες
κίρβα· † πειρά. † φθηρά
Κιρβιαῖον· ἔθνος ἐχόμενον Λυδῶν
κίρετη (Boeoti)· φθείρεται. δαπανᾶται
Κίρις· λύχνος, Λάκωνες. ὄρνεον. ἢ Ἄδωνις (Κύπριοι)
†κίρκασμα· τοὺς βότρυας
κίρκοι· κρίκοι. ἁρπάγαι. καὶ πάντα τὰ ἐπικαμπῆ κίρκοι λέγονται
κίρκος· κρίκος. ἱέραξ (ο 526). κωπηλάτης. καὶ τῆς αἰγείρου ἡ βλάστησ(ις)
κιρνᾷ (Herod. IV 66)· οἰνοχοεῖ

COD. 10 |αν τῶν τραχίων 15 cf. ἀκίναγμα 18 ἀλόπεξ (L. κινδάφα Dor. vel e Suida κινάδιον, Siculi) 20 Confusa κινύρεσθαι et κίνυσθαι? 22 ψύχος (cf. ἄγχουρος) 24 schol. Plat. p. 353 31 ἡ ἐν πρώραις 36 Phot. 166, 4 44 κιννυ| 45 κιννυ|φαρνα.. 47 κιννύρη 51 χαράδριος 52 κινύφιον 54 χρυσόφρους; cf. ἰωνός et Ath. VII 328 C 55 κινώδαλα 55. 56 —άλαι, ης 60 cf. κιχείς 61 cf. κίκους et κίλλος 65 Λάκωνες post 64 66 πήρα Arabes 68 κίρεται 69 κιρίς cf. ἀκιρίς et Κύρις⟩ 71 ἅρπαγες. πάντα 72 cf. κερκίς

HES. κιναίδοιον ⟨—διον⟩· ὄρνεον, ἴυγξ 17 κινάκεσθαι ⟨κιμβικεύεσθαι⟩· μικρολογεῖν 19 κίναρχος· ἄψυχος ⟨2722⟩ 36 κιναβρεύματα· ἀποκαθάρματα ὄζοντα ⟨2709⟩ 41 κινηθέντος (Α 47)· ὀργισθέντος 42 κίνσος (Matth. XXII 19)· εἶδος νομίσματος. ἐπικεφάλαιον Ad 43 ὄργανον μουσικόν, κιθάρα (I Reg. X 5?) 54 κίνωσις ⟨ἰωνίσκος⟩· χρύσοφρυς 64 κίρα· ἀλώπηξ

κιρρά (—ρίς Arist. HA. VIII 29, 3)· ἰχθῦς ποιός

κιρρόν (Nic. Al. 44)· πυρρόν. ἐρυθρόν. ξανθόν

κίρρος· ὄρος ⟨ὄρρος?⟩. καὶ αἷμα. καὶ πόμα γάλακτος Λάκωνες

?κίρυλος· ἰχθῦς ποιός. καὶ ὀρνέου εἶδος ⟨κηρύλος⟩

κιρσός· πάθος τι περὶ τὸ σῶμα (Hippocr. I p. 321 K), ὅπερ τινὲς ἰξίαν καλοῦσιν· ἄλλοι κρισσόν

κίρων· ἀδύνατος πρὸς συνουσίαν. καὶ αἰδοίου βλάβη. καὶ ἀπε(σ)κολλυμμένος. καὶ κυρίως μὲν ὁ σάτυρος, καὶ ἐντεταμένος, ὁ γυναικίας, καὶ μὴ δυνάμενος χρῆσθαι

κίς (Sappho)· ζωύφιον ἐν τοῖς ξύλοις καὶ τῷ σίτῳ γινόμενον

Κισθήνη (Cratin. fr. V p. 136)· πόλις καὶ ὄρος ἐν Θράκῃ

κίσθος (Eupol. p. 426)· θάμνος, ἧς τὸ μὲν ἄρρεν, τὸ δὲ θῆλυ (Theophr. VI 1, 4)

κίσιρνις (Ar. Avv. 1181)· ὄρνις ποιός

κίσπρα· πικρά τὸ ἦθος, παλίγκοτος. Κῷοι

κίσσα· ἐπιθυμία. ὄρνεον (Ar. Avv. 302). καὶ ἰχθῦς ποιός. καὶ γυναικεῖον πάθος

Κίσσιοι (Herod. III 91)· ἔθνος Περσῶν

?κίσσηρις· βούνευρον

κισσός· ὁ κιρσός. Ἀχαιοί

?Κισσοέτιοι· οἱ Κνώσιοι

κισσός (Soph. Ant. 826)· εἶδος φυτοῦ. ἢ βλάστημα ἑλισσόμενον

Κισσός· ὄρος (Nic. Ther. 804) ἐν Μακεδονίᾳ. καὶ πόλις [ad 91] [92]

†κισσουάλλα· κισάλα. κρόμμυα

κισσύβιον (ι 346)· τὸ ἐκ κισσίνου ξύλου ποτήριον. καὶ ὁ σκύφος

†κίσταμα· τόξευμα. ὀϊστός [96]

κίστας· κυρτός ⟨κύρτους?⟩

?κισετή· τέλη

κίστη (ζ 76)· ἀγγεῖον πλεκτόν, εἰς ὃ βρῶμα ἐνετίθετο καὶ ἱμάτια. κιβωτός. ἢ †ἁπαλός

κιτρίον· τὸ Ἰνδικὸν μῆλον

κιτταί· πρόγονοι

κιττᾶ(ι)ν· γλίχεσθαι· ἐπὶ τῶν γυναικῶν· ἐπιθυμεῖν

κίτταλος· μυρρίνη

κιττάναλον· ἡ κρησέρα

κίττανος· ἡ κονιακὴ τίτανος

κίτταρις (Ctesiae c. 47)· διάδημα, ὃ φοροῦσι Κύπριοι. οἱ δὲ τὰ διαδήματα φοροῦντες κίτταροι λέγονται

†κίττεα· ἄκιτος. Λάκωνες

κιττόν· καλόν. Λάκωνες

κίττυλα· τὰ κελύφη τῶν καρπῶν

κιττῷ· καλῷ, χρηστῷ, ἀγαθῷ

κιτύμινα· γλαυκά

κιφφός· μανικός ⟨v. κίβος⟩

κιχάνειν· εὑρίσκειν. καταλαμβάνειν. εἰσπράττειν

κιχεῖν· κιχῆσαι ⟨—ναι⟩. καταλαβεῖν. εὑρεῖν. ἐνέγκαι

κιχείς (Π 342)· καταλαβών

κιχείω (Α 26)· τὸ καταλαμβάνω, καὶ καταλήψομαι

κιχῆλαι (Siculi)· αἱ κίχλαι, τὰ ὄρνεα [2818—20]

κίχησις· ἡ λῆψις

κιχητός· †ὃ ἐμβάπτεται ὁ λιβανωτός. Κύπριοι

κίχλη· ἰχθῦς θαλάσσιος. καὶ ὄρνις (χ 468)

κιχλίζουσι· γελῶσι, μειδιῶσιν

?κιχληβῶτις· ἀνδράχνη ⟨2663⟩

κιχλισμός (Ar. Nubb. 1073)· γέλως σφοδρός. (αἰσχρὸς γέλως μετὰ ἀταξίας) 2616

κιχόρια· λαχανίδια ἄγρια

κιχρήσει· δανείσει

κιχυβεῖν (Cretic.)· δυσωπεῖν. νυκτιλωπεῖν

κίψει· κακοποιεῖ ⟨ἴψει⟩

κίων· ὁ στῦλος. καὶ τὸ ἐν τῷ στόματι, ὃ καλεῖται σταφυλή [32—34]

κλαγεῖν· κλάγξαι, φθέγξασθαι [36]

κλάγος· γάλα. Κρῆτες

κλάδα (epic. ap. Herod. π. διχρ. 283, 5)· κλάδον. ῥάβδον

COD. 75 πῦρ 78 κρῶσσον 79 cf. ἀκιρῆ 81 post 85 ⟨88 κρισσός· ὁ κιρσός, Ἀττικοί?⟩ 91 κισσοῦς 93 cf. κίδαλον 94 κισσίβιον 2804 κρήσερα ⟨11 κιχυμίδα· γλαῦκα?⟩ 14 καταλα 17 cf. ἰχάλη 24 κιχλήσκουσι μ. δῶσιν 27 cf. παγκράτιον κιχώρια 28 δανείση ⟨29 cf. κικυμώττειν⟩ 35 κλαγγεῖν 37 κλαγγός 38 κλάδαν (Cretice?)

HES. Ad 91 Θρᾴκης 92 Κισσηΐς (Z 299)· Κισσέως θυγάτηρ 96 κιστ.ρνα· λάκκος φρέατος. βάραθρα (ϑ). ἢ βοή ⟨l. βυθός⟩ 2818 κιχῆναι (π 357)· κιχήσασθαι. λαβεῖν 19 κιχήσατο· εὗρε (Z 498). κατέλαβεν (Δ 385) cf. κίξατο 20 κιχήσεσθαι (Z 341)· καταλήψεσθαι 32 κιών· ἐλθών (K 406), βαδίζων (P 707), πορευθείς (Λ 35) 33 κλαγγή· φωνή, ἠχή (Λ 49), βοὴ ἡ κλαγγὴ ὀρνέων (Γ 3) 34 κλαγγηδόν (B 463)· μετὰ κραυγῆς 36 κλάγξαντος (K 276)· κράξαντος

κλαδάει· σείει, κινεῖ
κλαδαρόμ(μ)ατοι· εὔσειστοι τὰ ὄμματα
κλαδαρὸν κλάδον· ...... ⟨cf. 3910⟩
κλαδαρόρυγχος· τροχίλου εἶδος
κλαδάσαι· σεῖσαι
†κλαδάραχοι· φραγμοί ⟨2943⟩
κλᾷδες· ζυγά. Αἰολεῖς
κλαδόνες· κλάδοι
κλάδος· ὄζος [48]
κλάει· δακρύει ⟨2670⟩ [ad 49]
Κλαζομένιοι· οὗτοι κωμῳδοῦνται. δοκοῦσι γὰρ ἐπικύπτοντες προστιλᾶν
Κλαζομένιος (Com. V p. 119)· οὗτος Ἡρακλειδης ὁ Κλαζομένιός τε καὶ ὁ βαῦς καλούμενος
κλάζοντες (Aesch. Ag. 48)· κραυγάζοντες
κλάζων (Soph. Ant. 112)· βοῶν. [ad 52] κλείων (Dor.). ἢ κέλευθον· ἀντὶ τοῦ σημαίνων τῷ ψόφῳ τὴν πορείαν
κλαήσει (Dem. 546, 21)· κλαύσεται
†κλαιόν· τὸ κανοῦν. καὶ
κλᾶϊς (cf. Call. Cer. 45)· μοχλός
?κάβακος· ὁ κάχληξ
κλᾶισαι· κλεῖσαι
κλαμαράν· πλαδαράν. ἀσθενῆ
κλαμμίς· ἀναδενδράς ⟨v. μαματίδες⟩
κλαμυστῆσαι· βοῆσαι, καλέσαι
κλᾶν· κάμπτειν. ἐμποδίζειν. τέμνειν ἀμπέλους, ὅπερ ἡμεῖς κλαδεύειν
κλανία· ψέλλια βραχιόνων ⟨v. καρπία⟩
κλαπάζειν· χρονίζειν ⟨v. λαγγάζει⟩
†κλαραγείων· ἐλαφρῶς καθεύδει. Σικελοί
κλάρας· φοῖνιξ, τὸ δένδρον
κλάρες· αἱ ἐπὶ ἐδάφου(ς) ἐσχάραι
κλαρία· κληρία (Lacon). κλήματα. ἀμπελόφυλλα. [ἢ χωρίον. κλῆροι
Κλάριον· ἀμπελόφυτον (Hom. h. Dian. 5). καὶ ἐπίθετον Ἀπόλλωνος (Call. Ap. 70)
†κλάριοι· κλάδοι [71]
Κλαρῶται (Cretes)· εἵλωτες. δοῦλοι
κλᾷσθρον· κλεῖθρον
κλάσματα· συντρίμματα. θρύμματα
κλαστήριον· δρέπανον τὸ τῆς ἀμπέλου (φύλλα τέμνον)
κλάστης· ἀμπελουργός [77]
κλαυθμυριζομένων· κλαιόντων
κλαυμαριόμενον· κλαίοντα. Ταραντῖνοι
κλαυμαρεῖται· [ἢ] κλαίει
†κλαῦσιν· ἀγῶνα. ἄνθος τι
κλαυτάν· ποιὰν φωνήν [83]
†κλέα Γῆς· βοήματα. ῥήματα
κλεεννόν (Simonid.)· ὀνομαστόν
κλεεννῶν· ὀνομαστῶν, ἐνδόξων
κλεῖδα· ὑποδήματος εἶδος. Κρῆτες ⟨2889⟩
Κλεῖδες (Herod. V 108)· ἄκρα τῆς Κύπρου (κλειδία· τάριχος) 2990 [89—91]
κλειδόνα (Boeoti)· κληδόνα, φήμην, δόξαν
κλείει· ἐπαινεῖ, ὑμνεῖ [94]
?κλούς· κλειτάριον μικρόν. Λάκωνες
κλειμάζειν (Dinarchus)· παλαίειν. σκ(ε)λίζειν. ἀπατᾶν ⟨l. κλιμακίζειν⟩
Κλείμακα· χωρίον Εὐβοίας
κλειμακτήρ· κλῖμαξ, βαθμός. ἢ χωρίον ⟨2995⟩ [99. 2900]
κλεῖν (Dem. 247, 11)· κλεῖδα. λέγειν, ἐπιφημίζε ν
κλεινοί· οἱ εἰς τὰ παιδικὰ ἐπὶ κάλλει ἁρπαζόμενοι παῖδες
κλείοιμι· ᾄδοιμι
κλείομαι· ἐπικαλοῦμαι
κλείουσαι (Call. Iov. 51 an Eur. IA. 1046?)· ὑμνοῦσαι [6]
†κλείπους· κόσμος τις τοῦ καλουμένου γεισοῦ; ⟨γείσου?⟩
κλείρ (Elei)· κλειδίον
κλείσατε (cf. Ar. Avv. 1745)· εἴπατε

COD. 39 κλαδεῖ 41 κλαδαρῶν· κλάδων ⟨44 ordo κλαδε—⟩ 45 κλᾶδες 50 οὗτω — πρὸς τιλάν 56 κλαῖς ⟨cf. πλαῖσι⟩ 58 κλακαι ⟨61 καλιστρῆσαι (χαρυ)?⟩ 70 κλάροι· κλάδοι. ἢ κλῆροι (h. e. κλᾶροι); voc. χωρίον inserto ante ἀμπελόφυτον? 72 δοῦλοι post 70 73 κλάσθεον κεῖθρον 74 θρέμ| 84 κλεάγης, βοηθήματα (Forte λόγος [σκελεαγής] β. ῥ.) 85. 86 κλεαι| 88 ἀκρατεῖς (ϊ) Κύπριοι 90 |λείας 91 v. κλητή 92 κλεηδόνα 93 κλεῖ ⟨2901⟩ 96 κλειμαζειν 2903 αἰδοῖμι 8 κλεῖρος

HES. 48 κλαδεῖ· λοιδορεῖ· φθέγγεται ⟨κελαδεῖ⟩ Ad 49 κλαίει ⟨Moer.⟩ Ad 52 διασχίζων ⟨κεάζων⟩ 71 κλαρά· ψέλια 77 κλαυκίθων (Υ 172 Cretice)· λαμπρυνόμενος τὰς ὄψεις 83 κλέα (Ι 189)· τὰς ἀνδραγαθίας. Κλέος γὰρ ἡ δόξα, καὶ ἡ φήμη, καὶ ὁ λόγος 89 κλειθῆ· περιτραπῆ 90 κλεῖθρα (Iob. XXVI 13)· μοχλοί. ἀσφάλειαι. πύλαι 91 κλέει· νεοσσεία ⟨l. KACCH⟩ 94 κλειδοῦχος· γυνή ⟨2449⟩ 99 κλείματα (Ierem. XLVIII 32)· ὑποδήματα ⟨2959. 2996⟩ 2900 κλεινός· ὡραῖος. ἔνδοξος, ὀνομαστός ⟨onomast.⟩ 6 κλειόων (ω 208)· πυλῶν, ὅπου ζεύγεσιν ἦν τόπος εἰς στάσιν

(κλεισιάδες cf. 3013) [10. 11]

†κλείτα· μέρη. καὶ ἡ οὐράνιος ἄρκτος

Κλειταγόρα (Ar. Lys. 1237)· ᾠδῆς τι εἶδος. καὶ Λεσβία τὸ γένος

κλεῖται· λέγεται, ὑμνεῖται, ᾄδεται

Κλειτ†όεν ὕδωρ· ποταμὸς Ἀρκαδίας. Κλείταιόν φασιν εἶναι οἱ Κρῆτες (?)

κλείτει (Alcm. fr. 91)· κλίματι. γωνίᾳ. ἡ ἀγαθὴ †δόξα. ἢ ὀνομαστή ⟨ad κλειτή⟩

κλειτορίς· τοῦ γυναικείου αἰδοίου ἡ ὑποδορίς ⟨ἐπίδερις?⟩, ἔνθεν καὶ τὸ κλειτ(ορ)ιάζειν τὸ ψηλαφᾶν

κλειτός· ὁ ἔνδοξος [19. 20]

κλεμμάδιον (Plat. Legg. 955 B)· κλοπαῖον

κλέμμιν· δίφρον ἀνακλιτόν

κλεμμύς· χελώνη ⟨col. 523, 30⟩

†κλεμμύειν· κηρύσσειν

κλέομαι (? ν 299)· ἐπικαλοῦμαι. εὔχομαι

κλέος· δόξα, τιμή. φήμη ἀγαθή. ὅ ἐστιν ἔπαινος. ὄνειδος (Ar. fr. inc. CLXXXVIII)

κλέπας· νοτερὸν πηλῶδες, ἢ δασύ, ἢ ὑγρόν

κλέπει· πορεύεται. ἐπιθυμεῖ. ἐξαπατᾶ[ται]

κλέπτεσθαι· θέλειν. ἐπιθέσθαι. πορεύεσθαι. ζητεῖν. ἐπιθυμεῖν ⟨3073⟩

κλέπος· ὑψηλόν. νοτερόν. δασύ. καὶ φώριον (Solo), κλέμμα (poeta ap. sch. Aesch. Prom. 400) [31. 32]

†κλεπτομένου· χλευαζομένου [34. 35]

†κλευσόμεθα· ἀκούσομεν. φθεγξόμεθα

†κλευτόν· τλευτόν

κλέψαι· κλέπτειν τὸ τῶν ἀλλοτρίων ἐπιθυμεῖν

κλεψίαμβοι· Ἀριστόξενος, μέλη τινὰ παρὰ Ἀλκμᾶνι

κλεψίρρυτον ὕδωρ (Callim.?)· τὸ τῆς κλεψύδρας. αὕτη δέ ἐστι κρήνη Ἀθήνησιν, ἀπὸ τῆς ἀκροπόλεως ἐπὶ σταδίους εἴκοσιν ὑπὸ γῆν φερομένη, εἰς ἣν τὰ ἐμβαλλόμενα πάλιν θεωρεῖται ἀρχομένων τῶν ἐτησίων

Κλεψύδρα· κρήνη, ἥτις τὸ πρότερον Ἐμπεδὼ ⟨cf. Πεδώ⟩ προσηγορεύετο. ἔχει δὲ τὰς ῥύσεις ἀνατελλούσας εἰς τὸν Φαληρέων δῆμον. σημαίνει δὲ καὶ τὸ σκεῦος. ὡρολόγιον, ὄργανον, ἐν ᾧ αἱ ὧραι μετροῦνται

Κλεωναῖαι· ῥαφανίδων (Theophr. VII 4, 2) τι γένος· ἀπὸ τοῦ ἐν Κλεωναῖς εἶναι

κλήδεα· φραγμοί ⟨2844⟩ [44]

κλήδην· ἐλθόντα ἐπὶ τὴν ἑκάστου σκηνήν. τὸ καλέσαι (I 11) πρός τινα ἐλθόντα καὶ δημοσίᾳ κηρύσσοντα

κληδόν (Maced.?)· σωρόν

κληδονίσαι· ἀκοῦσαι φήμην τινά, μαντεύσασθαι

κληδόνος (Eur. Andr. 561)· πρεσβείας

κληδοῦχος (Aesch. Suppl. 299)· γυνή, ἀπὸ τοῦ τὰς κλεῖς τῆς οἰκίας ἔχειν

κληδόσι (Call. Ep. I 14)· φήμαις

κληδών (Herod. IX 101)· κλέος, δόξα, φήμη [52]

κλήθρη (ε 239)· δένδρου εἶδος

κληῖδες· τῆς νεὼς τὰ ζυγά, ἐφ' ὧν οἱ ἐρέσσοντες κάθηνται (μ 215). ἐνίοτε δὲ καὶ ἡ κλεὶς κληΐς (M 456), καὶ θύραι· παρὰ τὸ ἐπικλείεσθαι. τάσσεται δὲ καὶ ἐπὶ τοῦ ἀνθρωπείου μέρους. καὶ παρὰ Ἐφεσίοις τῆς θεοῦ τὰ στέμματα [55]

κληιζόμενος· φημιζόμενος [57—60]

κληματίδες· αἱ ἐκ τῶν κλημάτων δέσμαι [62—64]

κληπικοί· ἰσχνοί. καὶ ἄσιτοι [66. 67]

κλῆρος· τὸ βαλλόμενον εἰς τὸ λαχεῖν. ἡ ψῆφος. ἡ οὐσία. ἡ μέρος. καὶ σκωλήκιόν τι (σ)μήνεσι (ἐγ)γινόμενον (Ar. HA. IX 27, 20)

COD. ⟨12 κλίτεα· μέρη πλάγια?⟩ 15 Forte Κλείταιον ὕδωρ· ποταμὸν Ἀ. φησὶν 16 κλειτ.˙ 17 κλείτορες — αἱ ὑποδορεῖς — κλειτιάζειν 27 πρότερον (30 κλεῖτος· ὑ| Meinek.) 40 ἐστιν 41 σημαίνει — σκεῦος ante ἔχει Φαληρ..ν 42 Κλεώνδαι — [ἐ] τὶ — Κλεώνδαις 46 cf. χλ— 47 ἀκονῆσαι, φ| 48 |είαις 54 κληῖδες — π τοῦ 57 κληῖσι — κατακλήσεσι 65 ἰσχυροί 68 cf. 4030 et σκληρός

HES. 10 κλέσις· ἡ σκηνή 11 κλεισμός· θρόνος. κλίνη, κλιντήρ 19 κλέζω (non ρ 418)· καλῶ, φωνῶ 20 κλέθος ⟨κλέος⟩· κληδόνα 31 κλέπτε (A 132)· παραλογίζου 32 κλέπτε νόῳ (A 132)· παραλογίζου τῇ διανοίᾳ 34 κλεύθωμαι (v. l. Ψ 244)· κελεύθωμαι. παραγένωμαι, ὁδεύω 35 κλεύσομαι (v. l. Ψ 244)· κελεύθωμαι. ὁδεύσω 44 κλήδων (paraphr. I 11)· καλεῖν ἐξ ὀνόματος 52 κληείδας· τὰς κλεῖδας 55 κληῖδα (P 309)· τὴν κατακλεῖδα 57 κληῖσι (σ 294)· ταῖς κατακλείσεσι τῶν περονῶν 58 κληϊσταί (β 344)· κλεισταί. ἢ κλείθροις ἠσφαλισμέναι 59 κλῆμα· ὑπόδημα ⟨2899⟩ 60 κλημακόεσσαν (B 729)· τραχεῖαν, καὶ ὀρθήν 62 κληνίδιον· κράββατος, ὑποκοριστικῶς 63 κλήνιος· ἔνδοξος 64 κλήομαι· καλοῦμαι 66 κληροδόσια (LXX)· κλῆρος. μερίς 67 κληρωδόσεται (II Esdr. IX 12)· λαχμῷ δόσεται

κληροῦται· διαιρεῖται

κληρουχία· δεσποτ(ε)ία

κληροῦχος (Herod. V 77)· ὁ δεσπότης, καὶ ὁ γεωργός [72—74]

†κλησίασον· σύναξον [76. 77]

κλητεύει· καλεῖ εἰς δικαστήριον

κλητεύεις· μαρτυρεῖς

κλητήρ (Ar. Av. 1422)· ὁ εἰς δίκην καλῶν, ὁ κλητεύων, καὶ μαρτυρῶν τοῖς καλοῦσιν εἰς δίκην

κλητῆρα· τὸν καλέσαντα. Ἴων Φρουροῖς (fr. 49) [82. 83]

κλητῆρες (Dem. 1147, 6. 224, 3)· μάρτυρες

κλητόν· κεκλημένον

κλητός· ὁ ἐξ ὀνόματος κεκλημένος. ἢ ὁ ἔνδοξος

†κλητροί· κλήτορες

κλητρόν· †καλούμενον. κλήσσιν

κλήτωρ· κήρυξ. ἄγγελος. ὑπηρέτης. μάρτυς

κλιδία· τάριχος (Ath. VII 315 D)

(κλιμάζειν ⟨imo κλιμακίζειν⟩· παλαίειν, σκελίζειν. ἀπατᾶν cf. 2896)

(Κλίμακα· χωρίον Εὐβοίας cf. 2897)

κλίμακες (Soph. Tr. 525)· πάλης εἶδος

κλιμα†τοφόρος· ὁ ἐπὶ κλιμακίου τιθεὶς τὸν νεκρόν [93]

κλιμακισμοί· πάλαισμα ποιόν [95. 96]

κλίναι· τροπαὶ τῶν μαχομένων. καὶ τὸ περιέχεσθαι ἔξωθεν ὑπό τινος. καὶ τὸ σύνηθες [98—3000]

κλινίς· ἐπὶ τῆς ἁμάξης νυμφικὴ καθέδρα [2—4]

κλινοπετεῖς· ἐπὶ δίφρου καθήμενοι [6]

κλινόσ†τριχνον· τὴν ψαλίδα ⟨τριχῶν⟩

κλιντήρ· δίφρος ἀνακλιτός

κλιντῆρες· δίφροι, κλῖναι

κλίνη· κράββατος

κλινίδιον· ὑποκοριστικῶς τὸ αὐτό

κλισία· κλίνη. σκηνή

κλισιάδες (Herod. IX 9)· αἱ δίπτυχοι θύραι. [14] αἱ αὔλειοι πυλῶνες

κλισίη· σκηνή· καθέδρα (τ 55). καὶ ἡ ἔπαυλις· ἀπὸ τοῦ κλίνεσθαι ἐν αὐτῇ τὰ θρέμματα. καὶ πρόθυρον. Νίκανδρος

κλισίον· στήλη. οἱ δὲ κρηπῖδα ⟨ῥιπίδα?⟩, ἐν ᾗ οἱ θρόνοι ἔκειντο. Διονύσιος δὲ † Ποσειδῶνος ⟨ὁ Σιδώνιος?⟩ οἶκον

κλισίον (ω 207)· πανδοχεῖον. ἡ βάσις, ἐφ' ᾗ τίθεται ὁ θρόνος

κλισίον· προστάς. πρόστῳον. καὶ βοῶν στάσις καὶ εἴσοδος. ἔνιοι τὰς τοῦ πυλῶνος θύρας πλατείας, εἰς ἃς δύναται ζεῦγος βοῶν εἰσελθεῖν

κλισμοί· θρόνοι. ἢ ἀνάκλιντρα ⟨2911⟩ [20]

κλίτα· στοαί. ἢ σέλλας εἰς τὸ κατακλίνεσθαι

κλίτος· τόπος κατωφερής

κλιτῦς (cf. Π 390) καὶ κλιτύες· τὰ ἀποκλίματα τῶν ὀρῶν. ἢ τὰ καταφερῆ τῶν ὑδάτων. ἢ κλίμακες. ἢ ὀρῶν λόφοι. καὶ αὐλῶνας. καὶ φάραγγας

?κλιμαδόν· ὁ δερμάτινος δίφρος

κλοιός· μέρος τι τῆς νεώς. ἢ περιτραχήλιος δεσμός, κολλάριον, ἤτοι μανιάκης

κλοῖστρον· κλῷστρον

κλοιωτά· δεσμοῖς διειλημμένα. Κλοιὸς γὰρ εἶδος δεσμοῦ περιτραχηλίου

κλοιώτης· ὁ δεσμώτης [29. 30]

κλονεῖ· ταράσσει (Λ 526?). φθείρει. φοβεῖ

κλονεῖται· φθείρεται. σπέρχεται [33]

κλονέοντο· ἐθορυβοῦντο, ἐταράσσοντο (Ε 8). καὶ τὰ ὅμοια [35]

†κλόνιον· ἰσχίον. ῥάχις. ὀσφύς. τὰ δὲ αὐτὰ καὶ τὰ ὅμοια (κλόνις)

κλόνος (Ε 167)· ταραχὴ πολέμου. ἢ σεισμός

COD. 90 cf. κλειδία 94 |κίσκοι; cf. διακλιμακίσας 97 κλιναί (κλοναί?) conf. cum κλῖναι 3011 κλινήδιον 15 κλίσις 16 κλισία 18 πρὸς τὰς πρὸς στοῶν — στάσεις 21 ἐλαίας (cf. καὶ τὰν στοάν) 23 κλιτύς — ὠρῶν — ὀρολόφοι 25 cf. κοινός 27 διεξει| 32 ἔρχεται; cf. ἐκλόνεον 36 τὰ τὰ δὲ

κουρὶξ αἰνυμένους (epic. inc.)· τῆς κόμης λαμβανομένους. ἢ νεανικῶς, παρὰ τὸν κοῦρον· ἢ τῶν τριχῶν, παρὰ τὴν κουράν· ἢ τῆς κόμης ἀπρὶξ δράξασθαι, λίαν, καὶ βίᾳ. τινὲς δὲ ἀνδρικῶς καὶ νεανικῶς

κούριξαν· ἀπέκειραν

κουριῶν· κουρᾶς δεόμενος. καὶ διαφέρειν φασὶ κομᾶν καὶ κουριᾶν. τὸ μὲν γὰρ κομᾶν ἐστιν ἐπιμελούμενον τρίχας ἔχειν· κουριᾶν δὲ τὸ κατὰ συμφορὰν ἄλλως καθιέναι κόμην [61]

κοῦρος· παῖς, νέος, υἱὸς ἄρρην, νεανίας, νήπιον ⟨—ος⟩ [63]

κουρότερος· νεώτερος

Κουροτρόφος (Call. Del. 276)· παιδοτρόφος. ὑφ' ἑτέρων ἡ Δημήτηρ (Ar. Thesm. 300)

† κουρῶν· πρέπων [67. 68]

κούταρον· τῶν † ὀσπητίων. τοῦ βοὸς ἡ σὰρξ ὑπὲρ τὰ ἄρθρα

κουτίδες· συκαλλίδες

κουτίδια· δίκτυα τὰ πρὸς τὰς συκαλλίδας

κοῦφα· τὰ μὴ βαρέα

κουφίζει (Eur. fr. 577)· μετεωρίζει

κουφικὸν τρόπον· τὴν κωμητικὴν ὄρχησιν

κουφολογία (Thuc. IV 28, 4)· φλυαρία

κοῦφον· † κόπον. μετέωρον

κοῦφος· ἐλαφρός. ταχύς. γοργός. εὔ(σ)καιρος ⟨onomast.⟩

κουφόσκευος· οὐ βαστάζων τὴν πανοπλίαν

κοὐχί (Arist. fr. XVIII p. 958)· καὶ οὐχί

κόφινος· μέτρον χωροῦν χοᾶς τρεῖς (Strattid. fr. I p. 768)

κοχλίαι· τὰ ἐσθιόμενα ζῶα. καὶ τὰ ἐν τοῖς ὀργάνοις ξύλινα

κόχλος· τοῖς θαλαττίοις ἐχρῶντο πρὸ τῆς τῶν σαλπίγγων εὑρέσεως. καὶ ὁ στρόμβος

κοχύ· πολύ. πλῆρες

κοχυδεῖ (cf. Theocr. II 107)· ῥεῖ ἰσχυρῶς καὶ μετὰ ψόφου καὶ λάβρως

κοχυδεῖν· ὑπερχέειν

κοχῶναι (Ar. fr. XIV p. 1145)· τὸ ἱερὸν ὀστοῦν τὸ τῆς ῥάχεως πρὸς τῷ δακτυλίῳ. οἱ δὲ τοῦ ἱεροῦ ὀστέου τὰ ἑκατέρωθεν μέρη. τίθεται δὲ καὶ ἐπὶ τοῦ ἰσχίου

κοχώνα (Ar. Eqq. 424)· τὰ ἰσχία, καὶ τὰ ὅμοια

† κόψα· ὑδρία

(κόψειον· cf. 3482)

† κόψενα· παραστάτης, χαλκός

κόψεν· ἔπληξεν, ἐπάταξε τὴν θύραν, ἔκρουσε. κατέαξεν

† κοψία· χύτρα

κόψεσθε· προσοχθιεῖτε (*succensebitis*)

(κοψίχεια cf. 3482)

κόψιχος (Ar. Av. 806)· εἶδος ὀρνέου, ὃ κόσσυφος παρ' ἐνίων λέγεται. τάσσεται δὲ καὶ ἐπὶ τοῦ θαλασσίου (Ar. HA. V 11, 1)

κοῶ· αἰσθάνομαι [95. 96]

κ(ο)ῶν· εἰδώς

κράανον· τέλεσον

COD. 46 πλευράναν — κώμας 50 κουρίαν 54 παρὰ δὲ αὐτοῖς τετραχείρ.. (cf. κυνακίας) 55. 56. 57 = 57. 56. 55 55 ὑμεναιόμενος γ. δ. τ. λ. ⟨56 cf. ῥιζῶν⟩ 58 κουριξαινομένους — κόρης Post 59] 3841 κουρίον 60 δεομένων 72 βαθέα 73 μεται| 74 κομητικὴν 76 μεταί| 78 ὁ β| 79 κουχίον 80] post 3873; cf. 2763 81 χώα 82 πρώτης; cf. στρόμβος 83 πλῆθος 84 κοχυδέρει 85 ὑπερζέειν 87 κόχωνα 88 ὑδρεία

HES. 45 κούρη (Hom.)· κόρη 47 Κουρήτεσι (I 547)· Κρησίν 48 Κουρήτων (I 545)· ἔθνος Κρητῶν Ad 49 ἐδόκουν εἶναι μάντεις .... θεσπ[εσ]ιῳδὸν στόμα 51 κουρίας· ὀροφικὸς πίδαξ ⟨3837⟩ 53 κουριδίης (Α 114)· ἐκ παρθενίας γαμετῆς 61 κοῦροι· παῖδες, νέοι (Α 470), ἄρρενες 63 κουροτέροισι (Δ 316 φ 310)· κούροις, νέοις 67 κουστωδία (Matth. XXVII 65)· βοήθεια στρατιωτική 68 κουστωδίας· τοῦ τῷ δεσμωτηρίῳ ἐπικειμένου στρατεύματος, ἢ συναγωγῆς 95 κοεῖ· αἰσθάνεται 96 κόν· εἰδός

κραάρα (Lacones)· κόσκινον. ἢ ὄρυγμα ⟨καίατα?⟩

κράβος· ὁ λάρος

†κραγιον· σύντριμμα ἐν κεφαλῇ

κραγόν (Ar. Eqq. 487 κραυγαστικῶς)

Κράγον· κραυγήν. βόημα. καὶ ὄρος

κραγών· ἔνυδρον ζῶον. καὶ εἶδος καρίδος (Arist. HA. IV 2, 1)

κραγγών· κίσσα

κραδαίνειν· κραδεύειν, σείειν, τινάσσειν

κραδαί(ν)ει (Aesch. Prom. 1049)· σείει, τινάσσει [3908]

κραδαίνων (Ar. Ach. 965)· ὁμοίως

κράδαλοι· κλάδοι συκῆς [11]

κράδεμνον (Eur. Phoen. 1490)· κάλυμμα. στεφάνη. μίτρα. τὸ ἐπικράνιον στεφάνωμα

κράδη· συκῆ. κλάδος. καὶ ἀγκυρίς, ἐξ ἧς ἀνήπτοντο οἱ ἐν ταῖς τραγικαῖς μηχαναῖς ἐπιφαινόμενοι

κραδησίτης (Hipponax?)· φαρμακός, ὁ ταῖς κράδαις βαλλόμενος

κραδία καὶ κραδίη· καρδία [16. 17]

κραδίης νόμος (Hipponax)· νόμον τινὰ ἐπαυλοῦσι τοῖς ἐκπεμπομένοις φαρμάκοις, κράδαις καὶ θρίοις ἐπιραβδιζομένοις

κραδίης τυρός· ὁ ὑπὸ τοῦ ὀποῦ τῆς κράδης πησσόμενος

κραδοφάγος· συκοφάγος, ἰσχαδοφάγος. σημαίνει δὲ καὶ τὸν ἀγροῖκον [21]

κραίνειν (Soph. OC. 449)· τιμᾶν. βασιλεύειν

κραίνουσι· πληροῦσι, παρέχουσι. τιμῶσι. βασιλεύουσιν (θ 391)

κραίνων (Soph. OC. 296)· ὁμοίως

κραιπάλη (Ar. Ach. 277)· ἡ ἀπὸ τῆς χθιζῆς μέθης κεφαλαλγία

κραιπαλώσας· μεθυσ(ά)ας

κραιπνά· ταχέα, ὀξέα

κραιπνόν· ταχύ, ὀξύ [29. 30]

κραῖρα· ἡ κεφαλή, [ad 31] καὶ ἀκροστόλιον ⟨3921. 3973⟩

κραῖροι· στόλοι νεῶν. μέτωπα. κεφαλαί

Κρακαλίδαι (Aeschin. p. 68, 38. 43)· τῶν Κρισσαίων βασιλεῖς. ἢ διάφορον γένος

κράματα· κεράσματα

κραμβα†τέλος· ξηρὸς καὶ καπυρός

κράμβαλα· μνημεῖα

κραμβαλίζουσιν· καπυρίζουσι. κατασείουσιν

κράμβη· ῥάφανος, καὶ ἕτερα λάχανα [39]

κραμβ.ῖον (Hippocr. II p. 782)· τὸ κώνειον

κράμβον· καπυρόν τινα γέλωτα καὶ ξηρόν φασιν ⟨4181⟩ [ad 41]

κραμβότατον (Ar. Eqq. 539)· καπυρώτατον

κράμβωτον· ἰκτῖνος τὸ ζῶον

κράνα· κεφαλή

κρᾶναι· κρῆναι τέλειαι. καὶ αἱ τῶν ὑδάτων. καὶ ἐπιτελέσαι (Aesch. Ag. 144)

κραναῆς (Γ 201)· τραχείας

†κραναοίκορον· μοῖρά τις τοῦ ἱερείου

κραναόν· ὑψηλόν. τ(ρ)αχύ. (πλατύ. σεμνόν. ἰσχυρόν. ὀχθῶδες)

Κραναοῦ υἱός· Ῥαρός

κραναῶν πόλιν (Ar. Av. 123)· τὰς Ἀθήνας ἀπὸ Κραναοῦ

κράνεα χηλευτά (Herod. VII 89)· πλεκτὰ ἐκ σχοίνου, ἢ ἄλλης τινὸς ὕλης μαλάκια

?κραναῇ· τὰ προσκεκολλημένα συρίγγια, εἰς ἃ τὰ πτερὰ ἐμβάλλεται

κράνεια· λεπτοκάρυα [54]

κράνεσι (Ar. Pac. 1257)· περικεφαλαίαις

κρανέω· ἐπιτελέσω

κράνη· περικεφαλαῖαι

κρανία· τόξον (Eur. fr. 782). εἶδος δένδρου. περικεφαλαῖαι (Boeot.)

κρανίξαι ⟨2272⟩· ἐπὶ κεφαλὴν ἀπορρῖψαι

Κράνιοι (Thuc. V 35)· τῆς Κεφαλ(λ)ηνίας αὗται τέσσαρες ..... Κράνιοι

COD. 3901 Forte (ἐπι)κράνιον σύστρεμμα· (τὸ) ἐν κ. 2. 3 κραγόν, κραυγήν. κράγον, βοήθημα καὶ ὄρος 6 κραδεύειν· κραδαίνειν 13 ἀγγυρίς — ἀνίπτοντο 20 κραδαφ| 33 κρι..έ.. βασιλεῖς 34 κράμβατα ⟨35 κραμβαλέος? κράμβα· γέλως?⟩ δ' 40 κραμβίον 42 cf. 4182 45 cf. κροῦναι 48 cf. 3961 50 κράνδην — κραν α' 53 |κάρια 55 κρανέσι 57 κράνηος περικεφαλαι 58 |λαία ⟨ad κράνια = κράνεα⟩

HES. 3908 κραδαινόμενον· σειόμενον (Ρ 524), τινασσόμενον, ταρασσόμενον 11 κραδάων (Η 213)· σείων 16 κραδίην ἐλάφοιο (Λ 225)· δειλότατον 17 κραδίης (Κ 10)· καρδίας 21 κραι.΄ρα· κεφαλή. καὶ ἀκροστόλιον ⟨3931⟩ 29 κραιπνοῦσι· ταχέσιν (Π 671), ὀξέσιν 30 κραιπνότερος· ὀξύτερος (Ψ 590), ταχύτερος Ad 31 ἢ κραέρα 39 κρᾶμα (Tim. Locr. 95 E)· κέρασμα, καὶ εὔκρατον Ad 41 ἢ τὴν κράμβην 54 κρανέεσθαι (Ι 622)· τελέσαι, τελειῶσαι

*Κράν.ιον* (Xen. Hell. IV 4, 4)· [ad 61] *γυμνάσιον*
(*κρᾶνον· κεφαλή*)
*κράνος· περικεφαλαία* [63]
*κραντῆρες· ὀδόντες* (Arist. HA. II 4)· *οἱ ὕστερον φυόμενοι, οἱ λεγόμενοι, σωφρονιστῆρες. οἱ δὲ τόπον Κεφαλληνίας*
*κραντήριοι· οἱ κραίνοντες, καὶ ἐπιτελοῦντες*
*κρᾶξαι· βοῆσαι, ἠχῆσαι*
*κράος· ἐν ᾧ τὴν γῆν σκάλλουσι. καὶ ἡ σκαλευομένη* [ad 67] *ἄμπελος*
*Κράπαθος· ἡ Κάρπαθος* [69]
*κραπαταλίας· ἀνεμώδης, καὶ ἀσθενής. καὶ ἀνίσχυρα λέγων. ἄμεινον δὲ ληρώδης*
*κραπαταλοί· ἰχθύες τινές*
*κραπαταλός· παρὰ πολλοῖς ὁ μωρός. ἢ νόμισμα* (Pherecr. fr. IV p. 288) [73]
*κρᾶς· κρέας. τινὲς δὲ κεφαλή* ⟨*κράς* Simm. Rhod.⟩
†*κράσβολα· κόλλαβοι δερμάτινοι* ⟨2281⟩
*κρασέρα· ἀλευρότησις* [77]
*κρᾶσις· κέρασμα*
*κράσπεδα* (Soph. fr. 558)· *τὰ ἐν τῷ ἄκρῳ τοῦ ἱματίου (κε)κλωσμένα ῥάμ(μ)ατα, καὶ τὸ ἄκρον αὐτοῦ*
†*κραστῆναι· διάκονοι γυναῖκες*
*κραστήρια· τῶν ἐνηλάτων αἱ κεφαλαί, καὶ συμβολαί, καὶ τὰ ἄκρα* [82—84]
*κραταιᾶς* (Callim. fr. LXVI 1)· *ἰσχυρᾶς*
*κραταίγονον· βοτάνη μεθ' ἧς πλέκουσιν*
*κραταιγός* (Theophr. III 15, 6)· *δένδρον*
*κραταιγύαλοι* (*Τ* 361)· *στερροὶ κατὰ κύτη, τουτέστιν τὰ ὅπλα* [89]
*κραταίλεων* (Aesch. Ag. 667)· *ἔδαφος ἐκ σκληροῦ λίθου γεγονός*
*κραταίλεων· ἡ Νιόβη*
*κραταιόν* (Aesch. Prom. 427)· *ἰσχυρόν* [ad 92]
*κραταίπεδον οὖδας* (*ψ* 46)· *λιθόστρωτον ἔδαφος*
*κρατεῖ·* [ad 94] *κρύπτει* (sch. Aesch. Ch. 78). *κυριεύει.* [ad 94] *ἄρχει*
*κράτει· δυνάμει* [ad 95] [96]
*κρατέοντα· κρατοῦντα, ἰσχύοντα* [98]
*κρατεροφ†όρος· γενναῖος* [4000]
*κρατερώδοντες· καρτερούμενοι*
*κρατερώματα· μῖξις χαλκοῦ καὶ κασ(σ)ιτέρου* [3. 4]
*κρατευτάων* (*Ι* 214)· *τῶν βάσεων, ἐφ' ὧν οἱ ὀβελίσκοι τίθε(ν)ται πρὸς ὄπτησιν* [6]
*κρατῆρες· σιτλία, σκυφία*
*κρατηρίσκοι· οἱ τοῦ ὀφθαλμοῦ, καὶ μήκωνες* ⟨q. v.⟩ *λέγονται* [9]
*κράτιστα· καλά. κρατούμενα*
*κρατιστεύει· δυναστεύει, κυριεύει*
*κράτιστος· ἰσχυρότατος, δυνατώτατος*
*κρατόδετον* (*σφενδόνην· δεδεμένην*). *τὰ ἄκρα τῆς σφενδόνης* (*κεφαλὰς ἐκάλουν*) [14—15a]
*κρατύνει* (Aesch. Prom. 150)· *κρατεῖ*
*κρατύνεσθαι· ὀχυροῦσθαι*
*κρατυνάμενος· ὀχυρωσάμενος* (sc. *ἀρχήν*)
*κρατυνθέν· κρατηθέν, βεβαιωθέν*
*κρατυντήρια* (Democrit.)· *κατισχύοντα*
*κρατύς* (*Π* 181) [ad 21] [22]
†*κραύγαρ· ὁ ἰσχυρός*
*κραυγή· βοή. ἢ νόσημά τι παιδίοις ἐπιφερόμενον, ὃ καταβλάπτει* [ad 24]. *καὶ γὰρ ἡ γραῦς ἐριφία* ⟨col. 360, 12⟩ *ἀκρίς ἐστιν ἡ λεγομένη βασκανία*

COD. 61 *κρα...ν* 67 cf. *κράφα, ἀγρίφη* 71 *κραπάταλλον* 72 *κραπάταλλος* 75 *κελλάβοι* 76 *κράσσεα, ἀλευρωτίς* ⟨3899⟩ 78 *κράσις* 81 |*ρίαι, τῶν ἐνηλακτῶν* ⟨3091⟩ 88 *κύτην* 92 *οὖδας* pro *ἰσχυρὸν* 93 *ἰσχυρὸν* pro *οὖδας* 99 |*φροσι· γενναίοις* 4001 |*όδοντες* 13 |*ώδετον* ⟨3983⟩ 24 *γ.αῦς ἐριφιακρίς*

HES. Ad 61 *πλατύ, ὑψηλόν. σεμνόν. ἰσχυρόν, ὀχθῶδες. καὶ ἡ κεφαλή. ἢ* 63 *κρανῶν· βασιλεύς* Ad 67 [*ἀμπέλων ἢ*] 69 *Κράπαθα* (*Β* 676)· *τὴν Κάρπαθα, νῆσον Ῥόδου* 73 *καράρα· πέπονθε τὴν κεφαλήν* ⟨*καρηβαρᾶ*⟩. *οἱ δὲ βοῶν πυρετός* (Ar. HA. VIII 22, 2). *καὶ ἀκροστόλια νεῶν* ⟨3931⟩ 77 *κρᾶσιν* (*Κ* 152)· *κεφαλήν. καὶ κράτεσφιν* (*Κ* 156) 82 *κράστιν* (Aristoph. fr. CXCIV)· *Ἀττικοί. διὰ τοῦ γ οἱ νῦν γράστιν φασίν· ἔστι δὲ ὁ χλωρὸς χόρτος* ⟨Moeris⟩ 83 *κραστόδετον· σφενδόνην δεδεμένην· τὰ γὰρ ἄκρα τῆς σφενδόνης κεφαλὰς ἐκάλουν* ⟨4013⟩ 84 *κρᾶτα* (*θ* 92)· *κεφαλή(ν)* 89 *Κράταιϊς· προπαροξυτονεῖται, τὸ κύριον ὄνομα τῆς μητρὸς τῆς (Σ)κύλλης* (*μ* 124). *τὸ δὲ (προ)περισπώμενόν ἐστιν ἐπὶ τοῦ Σισύφου προσηγορικόν* (*λ* 597) Ad 92 *ἢ λιθόστρωτον ἔδαφος* Ad 94 *μένει — δυνάμει* Ad 95 *κεφαλῇ* (*Γ* 336) 96 *κρατέει* (*Α* 79)· *κρατεῖ, καὶ ἄρχει* 98 *κρατερόν· ἰσχυρόν* (*Λ* 326), *δυνατόν* (*Μ* 129) 4000 *κρατερόφρονος* (*δ* 333)· *βουληφόβου* ⟨—*ρου*⟩ 3 *κρατερώνυχες* (*κ* 318)· *ἰσχυροὺς ὄνυχας ἔχοντες* 4 *κρατευταί· ὀβελίσκοι* 6 *κράτει· νίκη. ἀρχῇ, ἐξουσίᾳ* 9 *κρατί* (*Ε* 743)· *κεφαλῇ* 14 *κρατός* (*Ε* 7)· *τῆς κεφαλῆς* 15 *κράτος· βασιλεία. ἰσχύς, δύναμις* (*Ι* 25). *δόξα. ἐξουσία* (Hebr.) 15a *κρατὸς λιμένος* (*Ι* 140)· *τῆς ἀρχῆς τοῦ λιμένος* Ad 21 *ἄρχει, ἐξουσιάζει* ⟨ad *κρατύνει*⟩ 22 *κραυαίνει· φροντίζει* ⟨*κηραίνει*⟩, *ἐπιθυμεῖ* ⟨*κροαίνει*⟩ Ad 24 [*τοῖς παιδίοις*]

κραυγίας· ἵππος, ὁ ὑπὸ κραυγῆς καὶ ψόφου ταρασσόμενος [26]

κραυγός· δρυοκολάπτου εἶδος

†κραυγόν· ποιὸς ὄρνις

κραυρότερον (Plat. Tim. p. 60 C)· ξηρότερον [30]

κραῦσον (Cretice?)· τὸ πῦρ

κράφα· ᾧ οἱ κηπουροὶ τοὺς †βόλους ἀπάγουσιν

κρεάγρα· ἐν ᾗ αἴρεται τὰ κρέα (Ar. Eqq. 772). ἁρπάγη, καὶ λύκος, ἐν ᾧ τὰ ἐκ τῶν φρεάτων ἀνέλκουσι

†κρεάνας ἐλπίδας

κρέας· καὶ τὸ σῶμα ἔλεγον (Ar. Ran. 190), καὶ τὸ διδόμενον τοῖς Ἀρεοπαγίταις. ἡ γὰρ ἐξ Ἀρείου πάγου βουλὴ κρέας ἐλάμβανεν [36. 37]

κρεῖον (I 206)· ἀγγεῖον, εἰς ὃ κρέα βάλλεται [39. 40]

κρείττονας· τοὺς ἥρωας οὕτω λέγουσιν. δοκοῦσι δὲ κακωτικοί τινες εἶναι. διὰ τοῦτο καὶ οἱ παριόντες τὰ ἡρῷα σιγὴν ἔχουσι μή τι βλαβῶσι. καὶ οἱ θεοὶ δέ. Αἰσχύλος Αἰτναίαις (fr. 10)

κρειττόνων· ἐναρέτων

κρείων· [ad 43], ἄρχων, κρατῶν, ἰσχύων (Callim.)

κρέκει· κιθαρίζει

κρέκελος· θρῆνος

κρέκοντα· κερκίζοντα [47. 48]

κρεμβαλιάζειν (Hermipp. fr. V p. 391)· κογχύλια καὶ ὄστρακα συγκροτοῦντας εὔρυθμόν τινα ἦχον ἀποτελεῖν τοῖς ὀρχουμένοις

κρέμβολα· ἐφ' οἷς τὰς κρόκας ἐντυλίσσουσιν αἱ γυναῖκες

κρέμυνον (Boeoti)· κρόμυον

κρέξ· κορυφαία. καὶ ὀρνεόν (Arist. HA. IX 1, 17) τι, ὃ τοῖς γαμοῦσιν οἰωνίζεται (Euphor. p. 41). τάσσεται δὲ καὶ ἐπὶ τριχός

(κρεωδαίτης· ὁ δαιτρός) 4269

κρήγυον (A 106)· ἀγαθόν, ὠφέλιμον, ὑγιές (Hippocr. I p. 238 K)

κρήδεμνα· τὰ χείλη

κρήδεμνον· ἐπιβόλαιον, ὅ ἐστι κεφαλόδεσμος (X 470), ᾧ χρῶνται αἱ γυναῖκες. κατὰ μεταφορὰν καὶ τὰ τείχη λέγεται κρήδεμνα (Π 100): στεφανίς. καὶ κόσμος

†κρήδεσμον· κεφαλόδεσμον (X 470?) [57]

κρήηνεν· ἀπετέλεσεν, ἐτελείωσεν

κρηθεῖν· κακολογεῖν ⟨cf. ἀκρηθής⟩

κρῆθμον (Callim. fr. LXIV)· λάχανον

κρήϊα (Philet. Ath. 645 D)· ζώδια

κρήϊον (Iones)· κρεοθήκη

κρήϊον· ἐπίκοπον, κρεοδόχον λέβητα

κρημνοβάτης· νευροβάτης

κρημνός· ὄχθος, ἐξοχὴ πέτρας, καὶ ὄρους βάθος, χάος

κρηνάγχη· ἀρχὴ ἐπὶ τῆς ἐπιμελείας ὕδατος [67]

κρήνη· πηγή, ὕδωρ ἀγώγιμον [69]

Κρηνιᾶς· τοὺς Κεφαλλῆνάς τινες

κρηνιῶν· χαρηβαρῶν

κρηνοφύλαξ (Athen.)· ὁ τὴν κρήνην φυλάσσων

κρηπίδων βάθροις (Eur. Tro. 16)· βωμῶν

κρηπίς· ὑποβάθρα, θεμελίωσις (Herod. I 93), ὑπόδημα. λέγεται δὲ καὶ τὸ περίθεμα τῶν ἐγχύτων πλακούντων. καὶ περὶ τὴν ἀρχιτεκτονίαν τῆς κτίσεως, ἐφ' οὗ οἱ στυλοβάται. ἀπὸ ταύτης οἱ ποιηταὶ τὰς καταρχὰς καὶ θεμελίους λέγουσιν

κρῆσαι· κεράσαι, ἐπιχέαι (ε 254?)

†κρησίαι· καλλίονες

κρησίπαιδα· ἐν Σαμιακῇ θυσίᾳ ἡ λέξις φέρεται. δῆλον ὅτι μέρη ἱερείων λέγεται

Κρήσσας· Κρητικάς, ἀπὸ Κρήτης

κρησφύγετα (Herod. V 124)· τὰ πρὸς †τῆς χειρὸς στεγνά. καὶ ὀχυρώματα. σπήλαια. διαλανθάνοντες τόποι

Κρῆτα τρόπον (Simonides)· τὸ παιδικοῖς χρῆσθαι [81]

COD. 30 ποιήσει 31 τὸν πυρετόν, cf. 1921 41 κακότυχοι — βλαβοῦσι — αἰτναίας 42 ἀρετῶν 46 κρέκαντα, κερκύζοντα 52 οἰωνίεται — ἐπίτροχος 58 κρήϊνεν 60 κρηθμόν 62 κρήϊνον, κρεω| Forte κρήϊνον Laconicum est 66 |άγγη 70 κρηνίας 73 καὶ βάθρων 74 περὶ θεμάτων — στυλοβῶται 78 κρήσας, κρητικός 80 κρητὰ τόπον — παιδικὴν

HES. 26 κραυγάζει· βοᾷ ⟨col. 308, 32⟩, καλεῖ 30 καυρο ώς (L. ΚΛΗΡΟC)· νόσος μελισσῶν, ὅταν σκώληκας καὶ (ἀ)ράχνας ποιήσῃ 36 κρέατα (γ 33)· κρέα 37 κρέασι (M 311)· συμποσίοις 39 κρείουσα (X 48)· καλλιστεύουσα (non Callim.) 40 κρεῖσσον (ζ 182)· κρεῖττον, βέλτιον, κάλλιον Ad 43 βασιλεύων (B 609) 47 κρεμῶ· κρεμάσω (H 83?) 48 †κρέμων· ἐκρέμασα 57 κρήϊνον· τέλεσον, ἐπιτελείωσον (A 504) 67 κρηνῶν ⟨—έων H 129⟩· πηγῶν, ὑδάτων 69 κρήϊνον, ἔλδωρ (A 41. 504)· τελείωσον τὸ ἐπιθύμημα 81 Κρήτηθεν (Γ 233 Call. Del. 309)· ἀπὸ Κρήτης

κρητήρ· ὁ φάρυγξ. καὶ τὸ οἰνοχόον ἀγγεῖον
?κρατῆρας· τοὺς κρατοῦντας [84]
κρητήριον· ἐπίχυσις· κατακρῆσαι γὰρ τὸ καταχέαι
κρητίζειν· [ad 86]
Κρητικόν (Eupol. fr. XXXVI p. 560)· ἱμάτιδιον λεπτὸν καὶ βραχύ. τὰ γὰρ τοιαῦτα Κρητικὰ ἔλεγον. καὶ γένος ὀρχήσεως
Κρητικὸν μέλος (Cratin. fr. X p. 144)· οὕτω Κρῆτες ῥυθμοὶ ἐλέγοντο ἀπὸ Κρητῶν. καὶ γένος ὀρχήσεως
κρῖ (δ 41 al.)· κριθή. εἶδος ὀσπρίου. ἢ γένος τι
κριδδέμεν (Stratt. fr. III 7 p. 781)· γελᾶν. Βοιωτία δὲ ἡ λέξις
κριβάνας (Alcman)· πλακοῦντάς τινας
κρίβανος· ὁ βαῦνος τῶν κριθῶν. κριθαῖς γὰρ τὸ πρότερον ἐχρῶντο, καὶ βαύνους τὰς καμίνους ἔλεγον. καταχρηστικῶς δὲ καὶ ὁ λέβης
κρίγδανον· πέλτη, ἀσπίς
κριγή· ἡ γλαῦξ (Hipponact. fr. XXXIX)· οἱ δαίμονες, εἴδωλα
κρίδιον· ὁ μικρὸς κριός
†κρίες· ἡ χελιδών
κρίζει (Menand. fr. CCXCIV)· ὀξὺ αὐλεῖ
κρίζειν· κεκραγέναι [99. 4100]
κρίθα· κρίθινον. καὶ ἵππου ἀρρώστημα
κριθή· πυρόν. ἢ τὸ τοῦ ἀνδρὸς μόριον. ἢ ὀφθαλμῶν ἐπανάστασις παρὰ ἰατροῖς (Hippocr. III p. 436)
†κριθόγιτον· †ἀπόβριμα κριθῆς
κριθόκανον· σπέρμα μελανθίῳ ὅμοιον
κριθοφυλακία· ἀρχὴ ἐπὶ τῆς ἐξαγωγῆς τῆς κριθῆς ἢ σίτου
κρίθων· ἐπώνυμον ἀνδροκιδάλου
κρίκα· κρίκον
κριθῶν ὄχλος· ἐν Τροφωνίῳ (Cratini)· παρέθηκε δὲ παίζων τὸ ἀργύριον
κρικάδεια· τὸ ἐναλλάξαι τοὺς δακτύλους ὥσπερ †κρυβούς
κρίκεν (Π 470?)· ἐψόφησεν, ἔτρισεν
κρίκος· κίρκος, ἔνθα ἡ κώπη εἰσέρχεται [12. 13]
κρίματα· ψῆφοι, δίκαι
κριμνῆστις· πλακοῦντος εἶδος
κριμνούς· λευκάς τινας βοτάνας
κριμνός (Callim. fr. CCV)· ἡ κριθή [18]
κρίνα· ἄνθη καλλίπνοα εὐωδιάζοντα. ἢ μάζα (Attici). ἄμεινον δὲ θυμιάματα ἢ τὸ †μέλι φυρατὸν ἡδὺ τὸ λευκόν
κρῖναι (Thuc. VI 39)· τάξαι. χωρίσαι. δοκιμάσαι. δικάσαι. ἐπιλέξασθαι
κρίναιμι· ἐπιλέξαιμι
κρινάμενοι· ἐπιλεξάμενοι [23. 24]
κρίνατο· ἐπελέξατο. ἐδίκασεν
κρῖνε (Aesch. Eum. 433)· δικάζε. καὶ τὰ ὅμοια
κρίνειν· ἀριθμεῖν. χωρίζειν. ἀνακρίνειν, συγκρίνειν [ad 27]
κρινεῖς· διαχωρίσεις
κρίνθη· διεκρίθη. ἐχωρίσθη [30]
κρίνη· κνίδη ⟨3139; κνίφη· κνίδαι?⟩
κρίνομαι· δικάζομαι
κρινόμεθα· μαχόμεθα. διαλυόμεθα
κρινομένους· ἀναιρουμένους, ἀποθνήσκοντας
κρί(ν)ον· τὸ ξηρόν. τάσσεται καὶ ἐπὶ πτωχοῦ, καὶ νεκροῦ, καὶ ἐκπεπτωκότος. καὶ σχῆμα χορικῆς ὀρχήσεως (Apollophanes)
κρίνοντες (Β 446)· διαχωρίζοντες
κρίξαι· ἠχῆσαι, φωνῆσαι [38. 39]
κριός· ῥόπαλον πολιορκ(ητ)ικόν (Xen. KΠ VII 4, 1). καὶ τὸ τῶν προβάτων ἄρσεν. ὄργανον ἀσπίδων. Ἀθηναῖοι (Hegesandr.) δὲ τὰς τραχείας κόγχας καλοῦσι κρείους. καὶ παρὰ Ταραντίνοις †τὰ μεταλλικὰ ἀναγράφεται κριός. καὶ παρὰ τοῖς ἀρχιτέκτοσι μέρος τι τοῦ Κορινθίου κίονος
κριὸς ἀσελγόκερως· ἦν ἐν τῇ ἀκροπόλει κριὸς ἀνακείμενος μέγας χαλκοῦς. ἀσελγόκερων δὲ αὐτὸν εἶπε Πλάτων ὁ κωμι-

COD. 82 κρητηρά 83 κρητῆρας· τοὺς ἀκρατοῦντας? 88 κρῆται 89 κρί 90 κριάδεμεν γεννᾶν 94 κρίγη 4101 κρίθα Confundit κριθαί et κριθᾶ 6 κρίθον 9 κρικαδιᾶν — .ρυβούς (cf. ἐγκρικάδεια) 15 κριμνίτης? 17 κρίμνον Suid. 18 °ριγε ⟨cf. κρυμνεῖ⟩ 26 κρῖναι 35 χωρικῆς ⟨cf. εὐκρινής⟩ 40 ὁ τῶν — ὄργανον ἀσπίσων — κριοὺς

HES. 84 κρατῆρας στήσασθαι ἐλεύθερον (Z 523)· εἰώθασι τῷ Διῒ ὑπὲρ ἐλευθερίας ἱστάναι τοὺς πολεμίους ἀπωσάμενοι Ad 86 ἐπὶ τοῦ ψεύδεσθαι καὶ ἀπατᾶν. ἔταττον δὲ τὴν λέξιν ἀπὸ (τοῦ) τοὺς Κρῆτας ψεύστας εἶναι 99 κριζόν ⟨—τόν⟩· ἐπίλεκτον, διάφορον 4100 κρίζαος ⟨κνύζα⟩· ψώρα. κρίζα 12 κρῖ λευκόν (E 196)· κριθὴν λευκήν 13 κρῖμα (Rom. III 8)· ἀνταπόδοσις θεοῦ 18 κριμνεῖ· ἔρριγε, πέφρικεν ⟨κρυμώσσει?⟩ 23 κρινάμενος (Λ 696)· ἐπιλεξάμενος 24 κρίνας· ἐπιλέξας (Z 188). χωρίσας Ad 27 ἔνιοι κρινόμεθα ἀντὶ τοῦ μαχόμεθα. ἢ διαλεγόμεθα ⟨4133⟩ 30 κριθέντας (Y 141)· χωρισθέντας 38 κρίον (I 206)· ἀγγεῖον 39 κριόντων (Θ 31)· βασιλευόντων

κός (p. 688) διὰ τὸ μέγαν εἶναι, καὶ συναριθμεῖ αὐτῷ τόν τε δούριον ἵππον ....... τὸ γὰρ ἀσελγὲς οὐ μόνον ἐπὶ τοῦ ἀκολάστου ἔταττον οἱ παλαιοί, ἀλλ' ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου· καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσιν, ὡς Εὔπολις (p. 559). ἄμεινον δὲ τὸν ἀσελγόκερων δέχεσθαι εἶναι τὸν κυρίττοντα, καὶ οἱονεὶ ἐξυβρίζοντα τοῖς κέρασιν

κριὸς (τὰ) τροφεῖα ἀπ(έ)τισε· παροιμία [ad 42]

κριοῦ διακονία· ὅταν προ(σ)τάσσωμεν παιδία διακονῆσαι, λέγομεν· δώσω σοι εἰ τύχοι ἀστραγάλους, ἢ ἰσχάδας. καὶ ὁ κριὸς οὖν εἶπε, †κατέλειψε τοῦ ἀστραγάλου σοι δώσω

κριοφάγος· θεός τις, ᾧ κριοὶ θύονται [45]

Κρίσαμις Κῷος [ad 46] [47]

κρισίαι· τάξεις ἱππικαί

κρίσιν· ἀκολουθίαν

κρίσις· ἀνάκρισις

κρισσός· ἡ ἐν ταῖς δρυσὶ γινομένη διάφυσις, ὅθεν ῥέει ὁ ἰξός. ἢ ἡ ἐν τοῖς ἄρθροις διάφυσις σκληρὰ καὶ ὀζώδης

†κρίσμιον· φυλάκιον

κριτάν (Dor.)· κριτήν

κρίτανος· τέρμινθος

κριτάς· ὀδόντας [56. 57]

κριτός· ἄριστος. [ad 58], ἐπίλεκτος

Κριῶθεν (Ar. Av. 645)· ἀπὸ δήμου. ἔστι γὰρ ὁ Κριωεὺς δῆμος φυλῆς τῆς Ἀντιοχίδος

κροαίνων (Z 507 O 264)· τοῖς ποσὶ κρούων· ὁ ἐπιθυμῶν

†κροβάντιον· πολίον

Κρόβυζοι (Herod. IV 49)· γένος Θρᾳκῶν [63]

κροιός (Cyprii)· νοσώδης, ἀσθενής

Κροίσειοι στατῆρες· τινὰ (......)

κρόκα (Hesiod. opp. 538)· κρόκην

κρόκη· πέμματος εἶδος. ἡ ῥοδάνη

κρόκκαι (Lycophr.)· παραθαλάσσιοι ψῆφοι

κροκάλαι· ψῆφοι. ἀκταί. ἄμμος

κρόκαλον· τὸ πανοῦργον παιδίον

κροκόδειλος· †τὴν τύλην, καὶ τὸ ζῶον, καὶ (τὸ) ἐν τῷ Νείλῳ, καὶ τὸ χερσαῖον

κροκόπεπλος (Θ 1)· κροκοειδῆ ἱμάτια ἔχουσα

κρόκος· τὸ †κροτόν. †καὶ ἀλεκτρυόνες οἱ τὸν τράχηλον τοιοῦτον ἔχοντες †κρόκη

κροκόττας· ζῶόν τι τετράπουν Αἰθιοπικόν

κροκύδες· γνάφαλα

κροκυλεγμός· τὸ κολακευτικῶς τὰς κροκύδας ἀπολέγειν τῶν ἱματίων [77]

κροκύς· ἡ †ἐχίδνιος βοτάνη

κροκώδης· τινὲς ὡς δυσλύτων ὄντων τῶν ἐκ τῆς κρόκης δεσμῶν, ἔνιοι δέ, ὡς κρόκου φυομένου ἐκεῖ. τινὲς δὲ κροκώδη, ἐκ κροσσῶν συνεστραμμένων

κρολίαζε (Lydi)· πλησίαζε θᾶττον

κρόμβος· ὁ κόνδυλος. καὶ ὁ καπυρός

κρομβότατον· καπυρώτατον. κατακεκονδυλωμένον

κρόμμυα (Eupol. fr. V p. 550)· τὰ κρομυοπώλια [84]

Κρόνια· ἑορτὴ ἑκατομβαιῶνος μηνὸς Κρόνῳ

Κρονίδαρ (Lacon.)· πολυετής

κρονικαὶ λῆμαι (Ar. Plut. 581)· παρὰ τὴν παροιμίαν γέγονε, τὴν χύτραις λημᾶν καὶ κολοκύνταις, ἐπὶ τῶν ἀμβλυωττόντων

Κρόνιον· ἑορτήν. ἢ παλαι..

κρόνιππον (Ar. Nubb. 1070)· παλαιόν

Κρονίωνας· παλαιοὺς ἀνθρώπους

κρονιώτερα (Plat. Lysid. p. 112, 17)· ἀρχαιότερα

Κρόνοι (Com. inc. CCCXI^b)· παλαιοί

Κρόνου πυγή· τὸ ἀρχαῖον καὶ ἀναίσθητον κρέας. ἀπὸ τοῦ Κρόνου

COD. 41 τὸν κρείττονα καὶ 42 πλάττουσιν 54 κρίταμος Diosc. II 156 55 κρίτας 59 κριωθείς δ| 62 κροβυζοί 65 κρειΐσειοι, 66 ἡ κρόκη 70 κροκαλεῖτο, π. Cf. κρωκαλέον 72 ἔχοντα 76 κροκύλεγμος — κρόκυδας 79 κρώσσων 80 Col. 294, 13 81 cf. 3941 Confusa sunt κρόμβος, κρομβός 82 Cf. 3942 83 αν, τὰ κρομμωπωλία 91 κρονικ| 93 κέρας

HES. Ad 42 ἐπὶ τῶν ἀχαρίστων ἐστί. τὰς φάτνας γὰρ οὗτοι πλήττουσιν [οἱ κριοί] 45 Κρῖσα (B 520)· πόλις Φωκίδος Ad 46 ἦν πολυθρέμματος. τούτῳ φασὶν ἔγχελυν ἐπιφαινομένην κατ' ἔτος τὸ κάλλιστον τῶν προβάτων ἀφαρπάζειν. καὶ τὸν Κρίσαμιν ἀνελεῖν. φαινομένην δὲ ἐν τῷ ⟨αὐτῷ⟩ ὄναρ κελεῦσαι καταθάψαι αὐτήν, τὸν δὲ μὴ φροντίσαντα παγγενεὶ ⟨cod. —ῆ⟩ ἀπολέσθαι 47 κρίσεως (LXX)· δοκιμασίας 56 κριτήριον (Daniel. VII 10. 26)· δοκιμαστήριον, δικαστήριον 57 κριτικὸς ἐνθυμήσεων (Hebr. IV 12)· διακρίνων λογισμούς Ad 58 ἐπιλελεγμένος (H 434) 63 κρόβαλος· ὁ ὁμαλλὸς τῶν παίδων, καὶ αἱ τρίχες τῶν αἰδοίων 77 Κροκύλια (B 633· βοτάνη 84 κρόμμυον· τὸ πρωὶ ὄψον τῷ πότῳ (Λ 629) προσφάγιον· ἐρεθιστικὸν τοῦ οἴνου, τὸ δριμὺ κρόμμυον

†κρουτᾷ· καταcήπεται

Κρουτίδαι· μάντεων γένος [96]

κρόξ· κρόκη [98]

κρόσσας (*M* 258)· κλίμακας καὶ προκρόσσας ἄλλας ἐπ' ἄλλαις. τινὲς δὲ τὰς κεφαλίδας τῶν τειχῶν, ἢ προμαχῶνας, ἢ στεφάνας τῶν πύργων, ἢ τὰ κρηπιδώματα. καὶ γὰρ κροσσοὺς ἄχρι νῦν, τὰ κατώτατα τῶν ἱματίων. ὃ καὶ βέλτιον. καὶ γὰρ τὸ ὄνομα τῆς κλίμακος ἐγίνωσκεν ὁ Ὅμηρος, καὶ οὐδέπω ἦν πολεμικὰ ὄργανα

κροσσούς· τὰ κάτω τῶν ἱματίων τὰ ῥαμματώδη

κρόσταλλος (Cyprii)· εἶδος ὑέλου

†κρόστινα· φυλακτήρια [4203]

κροταλίζει· κρούει ταῖς χερσίν

κρόταλον (Ar. Nubb. 260 Eur. Cycl. 104)· περίτριμμα. κρότημα

κροταφίς· σιδηρᾶ σφῦρα †ἀκμή, (ἐκ) τοῦ ἑτέρου ὀξὺ ἔχουσα, ἐκ δὲ τοῦ ἑτέρου κρόταφον

κροτεῖ· κρούει

?κρόταφος· κόρρη

κρότημα (Eur. Rh. 499 Soph. fr. 823)· ἐπὶ τῶν δολίων τάσσεται

κροτήσας· κτυπήσας ταῖς χερσίν [11]

κροτήσουσιν· ἐπαινέσουσι

κροτητά (Eur. fr. 470)· ἐκγεγλυμμένα. εὐτίνακτα. ἐπιτετρημένα

κρότοι (Plat. Legg. 700 C)· εὐφημίαι, ἔπαινοι [15]

κρότοι· οἱ κροτῶνες

†κροτονία· σταφυλή. αὐλίς

κρότων· οὕτω καλεῖται, ὅ τινες κίκι Αἰγύπτιον, οἱ δὲ σησαμὴν ἀγρίαν (Hippocr. II p. 865). καὶ τὸ ζῷον τὸ ἐν κυσὶ καὶ βουσὶ γινόμενον (Ar. HA. V 17, 9). ἄλλοι δὲ πυρσός ⟨πῦος? (Hippocr. II p. 267)⟩

κροτώνη (Theophr. I 8, 6)· τὸ ἐπιγινόμενον τοῖς δένδροις, μάλιστα τῇ ἐλαίᾳ

κρότωνος ὑγιέστερος (Menand. p. 161)

κρουερ.' (Lacon.)· τοῦ φοβεροῦ

†κροῦμαι· μύξαι ⟨3705⟩

κροῦναι· τὰ ἄφορα δένδρα ⟨h. e. γρῶναι⟩

κροῦναι· κρῆναι τέλειαι ⟨3945⟩

κρουνοί· ῥεῖθρα, ὀχετοί, ὑδάτων ἐκβολαί

κρουνοφόρον· οὕτω καλεῖταί τι τῶν ἐν ταῖς ναυσίν [27]

κρούπανα· ξύλινα ὑποδήματα (Cratin. fr. CLIII). καὶ κλεῖς. καὶ κρουπέζια καὶ κρουπεζοφόρος, ὁμοίως

κρουπα†λίας· κλεῖδας

κρουπεζούμενος (—υμένους?)· τὰ ξύλινα σανδάλια κρουπέζια λέγεται, καὶ ὑποδήματα ξύλινα, μεθ' ὧν τὰς ἐλαίας πατοῦσι. θέλει οὖν δηλοῦν, τοὺς τραχεῖς πόδας ἔχοντας

κρούπετα· ὑψηλὰ ἢ ξύλινα ὑποδήματα, ἢ γυναικεῖα

?κρύπτει· σκώπτει ⟨col. 707, 28⟩

κρουσιδημῶν (Ar. Eqq. 859)· κρουσιμετρῶν. ἀπὸ τῶν ἐν τῷ μετρεῖν ἀπατώντων

κρουσιμετρεῖν· ἐλλιπῶς μετρεῖν καὶ ἐνδεῶς. οἱ γὰρ φαύλως μετροῦντες συνέκρου(ο)ν τὰ μέτρα εἰς τὸ ἀποπίπτειν τὰ μετρούμενα. ἐντεῦθεν καὶ τὸ παραλογίζεσθαι παρακρούεσθαί φασιν

κρουσίης· ἐλλιπής (e. c. μέδιμνος)

κρουσίθυρον· μέλος τι οὕτως ἐκαλεῖτο

κροῦσιν· τὴν ὑπόκρισιν, τὸν παραλογισμόν. καὶ μουσικὸν ὄνομα [ad 37]

κροῦσις· τὴν πρὸς τὸ λεγόμενον ἐν ταῖς ζητήσεσιν ἀντίρρησιν καὶ παράκρουσιν οὕτω φασίν

κρουτεῖται ⟨scrutatur⟩· κοκκύζει

κρυβάζει· ἀποκρύπτει ⟨4657⟩ [41. 42]

κρυβηλός· κρυπτὸς πύργος

κρύβες· νεκροί

κρυβησία· νεκυσία

κρυβήτας· τετελευτηκότας

κρυερήν· ψυχράν. κρυσταλ(λ)ώδη

COD. 95 Κρητίδαι Phot. 178, 15 Κρεουτίδαι Th. Bergk. Pind. N. VI 41 97 κρόκος 99 κρόσσαι. κρόσσας, κλίμακας ἄλλας 4200 κρωσσούς — ῥαμα| 1 ὑέλλου 6 κρόταλος a pr. m. mutatum in κρόταφος 8 κρούς 9 cf. μυλώτατον 13 κρόττα, ἐκπεπαυμένα — |ιμμένα ⟨15 κρότωνες· ὁμοίως Hippocr. II p. 267?⟩ 16 κρότονοι, κρότονες (cf. col. 242, 7788 et κ 3671) 18 κικαὶ αἰγύπιον — σισαμὶν (ζῷον est κροτών) 28 cf. ἀμφίλινα 33 κρουσιμετρεῖν — ἀπαντώντων 34 λετρούμενα 35 κρουσιής 36 |ρος, μέρος τὶ 39 |κίζει

HES. 96 Κρόντωνας· ὁμοίως ⟨4215⟩ 98 κρόπιον· ἀξίνη δίστομος ⟨276. 4275⟩ 4203 κρόρας πύργων (*M* 258)· τὰς ἀναβαθμίδας τῶν τειχῶν 11 κροτήσατε χεῖρες (Ps. XLVI 1): ἐπαινέσατε ταῖς χερσίν 15 †κρόττονες· ὁμοίως ⟨4196⟩ 27 κρουνῶν (*Δ* 454)· ῥευμάτων Ad 37 καὶ †τῶν πρὸς τὸ λέγειν ἐν ταῖς ζητήσεσιν ὑποκρούονται 41 κρύβδα (Σ 168)· κρυφιμένως 42 κρύβδην (λ 454)· λάθρα

κρυερόν· φρ(ι)κτόν. μισητόν. ἀναιδές. φοβερόν. ἐλεεινόν, οἰκτρόν, δεινόν, χαλεπόν. πονηρόν, κακόν, δυσχερές [49]
κρυμνός ἢ κρυμός· πάγος, ψῦχος, μέγα ῥῖγος (Eur. fr. 683, 3)
† κρυμνεῖ ⟨—ώσσει⟩· ῥιγᾷ, πέφρικε
κρυόεσσα (Ε 740)· φρικτή. μισητή. τραχεῖα [53]
κρύος (Aesch. Sept. 834)· ῥῖγος, ψῦχος [55]
κρυπτεύομαι (Eur. Hel. 541)· ἐνεδρεύομαι
κρυπτάδιος· λαθραῖος [58. 59]
κρυφανδόν· κρυφίως
κρυφῇ (Soph. Ant. 85)· λάθρα, ἀδήλως, κρυπτῶς
† κρυφίνους· ὑπούλους
κρυψίνους (Xen. ΚΠ I 6, 19)· δόλιος, πανοῦργος
κρυώδους· φρικώδους
κρώβιον· δρέπανον ⟨4275⟩
κρωβύλος (Thuc. I 6)· ὁ μαλλὸς τῶν παίδων, ἢ ὁ κόρυμβος τῆς. ἐκ πλοκῆς γάρ ἐστιν ἀνηνεγμένη ἀπὸ μέσου τοῦ μετώπου ἐπὶ τὴν κορυφήν. οὕτω δὲ καὶ ὁ ῥήτωρ Ἡγήσιππος, καὶ † δήγγος ἐκαλεῖτο Κρωβύλος (Aeschin. 9, 35. 10, 31). καὶ ὁ μαλλὸς τῶν αἰδοίων
Κρωβύλου ζεῦγος· παροιμία [ad 67]
κρώζειν· ὡς κόραξ κράζειν [69]
κρωκαλέον· παιδίον πανοῦργον ⟨4170⟩
κρωμακόεν· κρημνῶδες ⟨v. κλω—⟩
κρῶμαξ· σωρὸς λίθων
Κρῶμνα· πόλις Παφλαγονίας (Β 855), καὶ † Θεσσαλίας [74]
κρωπίον· δρέπανον. τινὲς δὲ διὰ τοῦ β κρώβιον ⟨4265⟩
κρωσσοί· ὑδρίαι, στάμνοι, λήκυθοι

† κρωτάνεροι· βάνα.σοι. πολῖται. καὶ ἐξελευθεριῶται [78]
κτᾶναι· φονεύειν, ἀνελεῖν
κτάνειν· κτείνειν
κτάνθεν· ἀπώλοντο
κτάρα (Callim. fr. XXXVIII 1)· ἰχθῦς βραχύτερος πάντων ⟨v. ἴκταρα⟩ [83]
κτᾶται· ὠνεῖται [85]
κτᾶτο· ἐκτήσατο: ἀπέθανεν ⟨κτάτο⟩
† κτεανήχης· πένης
κτέανον· κτῆμα [89—92]
κτείς· κτένιον
κτεατίσασθαι· κτήσασθαι
κτένας (Aesch. Ag. 1594)· τοὺς τῶν χειρῶν καρποὺς καὶ τῶν ποδῶν. καὶ τὰ [σ]τήθη. μεταφέροντες ἀπὸ τῶν εἰς τὰς τρίχας ἐπιτηδείων κτενῶν. λέγουσι δὲ καὶ τὰς νωτιαίας πλευράς
κτένια· τῶν κιθαρῶν οἱ ὑπερέχοντες ἀγκῶνες λέγονται [97]
κτενωτή· ὑφαντή
κτενωτὴν τρίχα· τὴν ἐφαπτίδα. κτενωτὴν τὴν ὑφαντήν, τρίχα δὲ ἐπεὶ τὰ ἔρια τρίχες εἰσὶν τῶν προβάτων [4300]
κτέρεα (α 291)· ἐντάφια
κτέρες· νεκροί. καὶ ἀκτέριστοι οἱ ἄταφοι
κτερίζω· κτῶμαι. † σκυλεύω. ἐνταφιάζω
κτερίσαι καὶ κτερίξαι (α 291)· θάψαι, ἐνταφιάσαι
κτερίσαι ⟨—σματα?⟩· πάντα τὰ εἰς τιμὴν τοῖς κατοιχομένοις ἐπιφερόμενα
κτηδών· τριόδους
κτήματα· πάντα τὰ ὑπάρχοντα
κτήνεα (Call. Dian. 125)· βοσκήματα
κτήνη (Aesch. Ag. 122)· χρήματα [10]
κτησάμενος· λαβών. ἔχων [12. 13]

COD. 51 cf. 4118 et στιβιᾶν 57 ἀρχαῖος 60 κρυφάνδων 62 κρυψίνους Cyr. κρυφίμους? 65 κρόβον 66 κροβαλὸς ὁ ὔμαλος — κρόβουλος καὶ ὁμαλὸς 67 κροβύλου 71 κρωμακ.εν, κριμνῶδες 73 Κρώμνα 75 κρόπιον — κρόβιον ⟨4198⟩ 77 κρωτᾶνερ (Lacon.)· οἱ? ⟨80 κτανεῖν? καίνειν?⟩ 83 κτᾶσθαι 84 ὀνεῖται 87 πύνης 4305 κατεχομένοις ἐπιφέρομεν 6 κτήδων, τριώδους (Phot.) 8 χρήματα 9 βοσκήματα

HES. 49 κρύμα (Ε 488)· εὔρυμα 53 κρυόεσσα ἰωκή (Ε 740)· ἡ φρίκη καὶ φοβερὰ βοή 55 κρυπτάδην (Ζ 161)· λαθραίᾳ, κρυφιμαίᾳ 58 κρύσταλος (ξ 477)· τὸ πεπηγὸς ὕδωρ ὑπὸ κρύους 59 κρύφαλον· σαβάκανον ⟨κεκρύφαλον· σαβακάθιον⟩ Ad 67 ταττομένη ἐπὶ τοῖς ὑπερβαλλούσῃ κεχρημένοις πονηρίᾳ. μετενήνεκται δὲ ἀπὸ πορνοβοσκοῦ τινος ...... 69 κρωδετής, ὁ δετρός 74 κρώζει (Ar. Av. 2)· κράζει (ordo κρώζει· κεκράξεται) 78 κτᾶ (Φ 236)· ἔκτεινε Ad 79 [κτᾶν·] 83 κτάσθαι (Ο 558)· ἀναιρεθῆναι. κτανθῆναι 85 κτάτεσι (Ε 154)· κτήμασι 89 κτεάνων (Greg. Naz. C. XVI 5 p. 104 Dr.)· κτημάτων 90 κτέαρ (Greg. Naz. C. XVI 6 p. 104 Dr.)· δῶρον. κτῆμα. γέρας. σκεῦος 91 κτεάτεσι (Ε 154 al.)· κτήμασι, χρήμασιν (Greg. Naz. C. XVI 7) 92 κτείνει (ι 408)· φονεύει, ἀναιρεῖ 97 κτενώμεθα (Λ 667)· ἀναιρούμεθα 4300 κτέρας (Κ 216)· κτῆμα 10 κτηνωδέστερα· ἀλογώτερα (cf. Nicet. David p. 3, 13)· κτήνη γὰρ τὰ ἄλογα 12 κτῆσις (Prov. VIII 18)· πλοῦτος 13 κτήτορες (Act. Ap. IV 34)· οἰκί κτῆσται
δ

κτιδέα (Κ 335)· γένος περικεφαλαίας. καὶ κτὶς δέ ἐστι ζῷον ὅμοιον γαλῇ, οὗ τὸ δέρμα εὔθετον εἰς περικεφαλαίας. τινὲς δέ φασι δορὰν λύκου

κτιλεύσασθαι ἢ κτιλώσασθαι· συλληθῆναι ⟨συνεθίσαι?⟩

κτιλίς· τιθασσός. πρᾶος. ἡγεμών

κτίλον (sch. Pind. P. IV 31)· συνήθη

κτίλος (Γ 196)· ὁ προηγούμενος τῆς ποίμνης κριός

Κτιμένη· κατῳκισμένη. καὶ πόλις Θεσσαλίας

κτίμενον· τὸ οἰκούμενον

κτίσαι· ἱδρῦσαι. οἰκίσαι (sch. Aesch. Prom. 815). ἄρξασθαι [22. 23]

?κτίτερ· κτίστης

κτίται (Eur. Or. 1621)· κτίστορες

(κτιῶ)· κτίσω. θήσω. ἀπάρξομαι. ποιήσω

κτυπεῖ· τῇ χειρὶ κρούει [28]

κτυπία· ὁ ἐπιθαλάμιος κτύπος

κτυπίων· τῶν ἐπικρουμάτων τοῦ θαλάμου, ἃ ἐπικτυποῦσιν ἔξωθεν, ὅταν συγκατακλίνηται τῷ νυμφίῳ ἡ γημαμένη

κτύπος· ψόφος. βροντή

†κτύναι ἢ κτοῖναι· χωρήσης προγονικῶν ἱερείων. ἢ δῆμος μεμερισμένος

κτωμένοις· κεκτημένοις

κύαθος· σταγών, μικρὸν μέτρον. ἢ ἀντλητήριον [35]

κυαίνων· ἔγκυος ὤν [39]

κυαμεύειν· κληροῦσθαι

Κυαμίτης· ὁ †πάγκος καλούμενος

κύαμος· ὄσπριον. [ad 40] ἢ ὁ κλῆρος. καὶ τὸ ὑπὸ τὴν θηλὴν τοῦ μαστοῦ πρῶτον συνιστάμενον γάλα. καὶ τὸ Αἰγύπτιον (Hippocr. II p. 850 K) κιβώριον λεγόμενον καὶ †καλούμενον ⟨κολοκάσιον?⟩

κυαμοτρώξ (Ar. Eqq. 41)· ἐν ταῖς διαψηφίσεσι κυάμοις ἐχρῶντο καὶ ἐλάγχανον κυάμῳ, καὶ τοὺς τὸν λευκὸν κύαμον λαβόντας εἰληχέναι ἐνόμιζον

κυάμῳ ἐκκλησιαστικῷ· ψήφῳ

κυάμῳ πατρίῳ· Σοφοκλῆς Μελεάγρῳ (fr. 370), ὡς καὶ τῶν Αἰτωλῶν τὰς ἀρχὰς κυαμευόντων. διεκλήρου(ν) δὲ αὐτὰς κυάμῳ καὶ ὁ τὸν λευκὸν λαβὼν ἐλάγχανεν. ἀνάγει δὲ τοὺς χρόνους, ὡς καὶ ἐν Ἰνάχῳ (fr. 268). κυαμοβόλως ⟨—ολῶ σε?⟩ δικαστήν [44—46]

κυανέων (Hesiod. Opp. 497 = 528)· Μαύρων, Αἰθιόπων

κυανόν· εἶδος χρώματος οὐρανοειδές

κυανόπεζα· μελανόπους (cf. Λ 628)

κυανός· θαλάττιον ὕδωρ. καὶ ὄρνις (Ar. HA. IX 18, 3) [51]

κύαρ· τὸ τῆς ῥαφίδος τρῆμα (Hippocr. II p. 97). καὶ τὸ τῆς κώπης †τοῦ μήλου

Κυάρη· ἡ Ἀθηνᾶ

†κυβάβδα, αἷμα. Ἀμαθούσιοι

Κύβαβος· θεός (Combabus)

†κυβαΐζοντες· λάσωνες [57]

κυβάσαι· καταστρέψαι ⟨cf. γυβῷ⟩

?κύβας· συρός

κύββα· ποτήριον

κύβεθρα· τὰ τῶν μελισσῶν ⟨cf. σίμβλαι⟩

κυβεῖον (sch. Aeschin. 3, 22)· τόπος, εἰς ὃν συνῇσαν κυβεύσοντες· ὃ νῦν τόπον δεξιόν

Κύβελα· ὄρη Φρυγίας. καὶ ἄντρα. καὶ θάλαμοι

Κυβέλη· ἡ μήτηρ τῶν θεῶν

κυβερνᾷ (Menand. p. 213)· ἰθύνει. διοικεῖ [66]

κύβεσις ἢ κίβισις· πήρα

κυβεῦσαι· παῖξαι. [ad 68] χλευάσαι

κυβευτήν (Soph. fr. 862)·

σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην τὸν τοῖς κύβοις χρώμενον. ἐπιστήμην γάρ τινα ἐδόκουν τὸ [δὲ] δεξιῶς χρῆσθαι. ἐπιστημονικωτέραν τὴν πεττείαν τῆς κυβείας ἐνόμιζον

†κυβέβις· γάλλος. κίναιδος. μανιῶν ⟨4639⟩

COD. 21 οἰκῆσαι 26 θύσω ⟨30 κτυπιῶν⟩ 35 ευ[γγ] β' 40 μεστοῦ 41 εἰνηχέναι 42 ἐνκαστικῷ Post 42] 39. 38 43 καὶ ὅταν λ| ⟨50 ὄρνις] κύανος⟩ 52 τρίμμα 62 κυβείου — συνίεσαν κυβεύσοντες — τόπος δεξιός ⟨63 θαλάμαι?⟩ 65 θύει 67 ἡ Cf. 2594. 2600 69 τυχεῖν

HES. 22 κτίσμα (Sirac. XXXVIII 45)· ποίημα, οἰκοδόμημα 23 κτίστης (LXX)· ποιητής, πλάστης 28 κτυπίων (Η 479)· κτύπων. βροντῶν 35 κυάθους (Exod. XXV 29)· σκαφιώλια. φάρια σιδηρᾶ, οἷα κύαθος. δέχεται ὑγροῦ τινος οὐγγίας δύο 39 κυαιστεωμάριοι· βασανισταί Ad 40 φάβα με[γ'] 44 κυανέη (Ε 345)· μελαίνη. φαιά 45 κυανέησι (Λ 528)· φαιαῖς. μελαναῖς 46 κυάνεος· μέλας. σκοτεινός· ἐλέλικτο δράκων (Λ 38) μέλας ἐν τῷ ἀναφορεῖ 51 κυανοχαίτης (Υ 144)· μελανόθριξ. Ποσειδῶν 57 κύβ, τὸν ἐνθου...ντα, ἢ τὸν Ἑρμῆ ⟨κύβηβον — κύβον⟩ 66 κυβερνήσεις (I Cor. XII 28)· προνοητικαὶ ἐπιστομαὶ ⟨—ῆμαι⟩ καὶ φρονήσεις Ad 68 ταβλίσαι.

κυβηβᾷ· θεοφορεῖται. κορυβαντιᾷ

Κυβήβη· ἡ μήτηρ τῶν θεῶν. καὶ ἡ Ἀφροδίτη ...... καὶ Φρυγῶν (Charon Lamps.). [ἡ] παρ' ὃ καὶ Ἱππῶναξ φησί·

καὶ διόσκουρος Κυβήκη καὶ Θρηΐκη Βενδῖν

ἄλλοι δὲ Ἄρτεμιν καὶ ὑποδήματα ⟨—ά τι?⟩ παρὰ Ἀρκάσιν

κύβηβος (Cratin. fr. IX p. 65)· ὁ κατεχόμενος τῇ μητρὶ τῶν θεῶν

κυβηλικὸν τρόπον (Com. an. CXLV) ⟨4536⟩

κυβηλιστάς ⟨—ικτάς⟩· καὶ κοβάλους † τὰς κακούργους λέγει

κύβηλις (Lycophr. 1170)· μάχαιρα. ἄμεινον δὲ πέλεκυν, ᾧ τὰς βοῦς καταβάλλουσι

κυβηλίσαι· πελεκίσαι· κύβηλις γὰρ ὁ πέλεκυς [77. 78]

κύβηλις· τινὲς τὴν τυροκνῆστιν φασιν. ἔπαιξεν δὲ ὁ Κρατῖνος (p. 198) παρὰ τό·

χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν

† κύβη· κυβευτήν

† κύβηνα· σκήνωμα [82]

κυβησίαν ⟨κύβησιν?⟩· πήραν

κυβησίνδα· ἐπὶ κεφαλήν, ἢ τὸ φορεῖν ἐπὶ νώτου, ἢ κατὰ νώτου ⟨2599⟩

† κυβισίς· κήλη

κυβητίζω ⟨κυβιστάζω?⟩· ἐπὶ κεφαλὴν ῥίπτω

κυβιτίζω (Epicharm.)· τοῖς ἀγκῶσι πλήττω

κυβιτόν (Siculi)· ὁ ἀγκών

κύβον (Ath. 114 A)· τετράγωνον (ἄρτον)

κύβος· πᾶν τετράγωνον. ἢ σχῆμα γεωμετρικόν. καὶ ἀριθμός τις. καὶ ᾧ οἱ κυβευταὶ χρῶνται. ἐκαλεῖτο δὲ τοῦ βόλου σχῆμα. καὶ παρὰ τοῖς μεταλ(λ)ικοῖς κύβος. καὶ οἱ Σαλαμίνιοι λέγουσι κύβον τὸ τοῦ ἱματίου σημεῖον, Πάφιοι δὲ τὸ τρύβλιον. (ἡ ὀσφύς)

κύβωλα· ἀγκῶνα. [ad 91] ἢ μεγάλα ὀστᾶ, καὶ ὠλέκρανα ⟨4719⟩ [92—94]

κυδάγχας· μάχας. λοιδορίας

κυδαγχόμενα· λοιδορούμενα

κυδάζει· ταράσσει. λοιδορεῖ

κυδάζεσθαι (Aeschyl.)· λοιδορεῖσθαι

κυδαίνει· τιμᾷ, θαυμάζει. ἐγκωμιάζει [4400]

κυδαίνεται· δοξάζεται, σεμνύνεται

κυδαλίμη· ἔνδοξος, τιμία

Κυδαντίδαι (Hyperides)· δῆμος τῆς Πτολεμαΐδος φυλῆς

κυδαξόμενα· λοιδορησόμενα [5]

κύδαρ· τάφος ⟨2451⟩

κύδαρος (Antiphan. fr. LXXXIX)· νεὼς εἶδος

κυδάττειν· ἐπιφωνεῖν

κύδεϊ γαίων (Α 405)· τῷ καθ' ἑαυτὸν ἀξιώματι (γαυριῶν)

κύδηνεν (Ψ 793)· ἐδόξασεν. ἐμετεώρισε κατὰ διάνοιαν

κυδιάνειρα· μεγάλους καὶ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσα [12]

κυδίας· τὰ ἄνθη τῶν ὀδόντων

κύδιμος· ἔνδοξος, σεμνός, τίμιος (cf. Greg. Naz. C. VI 21 p. 221 Dr.)

κυδίμων (Pind. Ol. XIV 34)· τὰ αὐτά

κύδιον (Eur. Alc. 960)· κρεῖττον, αἱρετώτερον [17]

κύδιστε· [ad 18] σεμνέ, τιμιώτατε

κύδνος· κύκνος

κυδοιμός (Κ 523)· πόλεμος. θόρυβος, ταραχή

κυδοιδοπᾷ (Ar. Pac. 1152)· ταράσσει, θορυβεῖ, κυκᾷ [22]

κῦδος· δόξα, ἀρετή, νίκη, τιμή, ἀριστεία: λοιδορία, κακολογία ⟨κύδος⟩

κυδρή· [ad 24] σεμνή, τιμία, ἔντιμος

κυδρός· ἔνδοξος, καὶ τὰ ὅμοια. γαυριῶν. πεποιθώς. (Ἴων) Εὐρυτίδαις (fr. 13). †συγκοπὸν Καλλίστρατος πεποιθώς [26]

Κύδωνες (γ 292 Call. Iov. 45 D 197)· ἔθνος

κυδώνιον· μέγα, καὶ ἀξιόλογον. ἢ ἀπατηλόν, δόλιον. λοίδορον (Aeoles). καὶ τὸ

COD. 71 κυβῆκαι — κορβαντιᾷ 71ᵃ κυβήκη — ἱππόναξ καὶ ὑπ... Ἀρκάσιν ante [ἡ] 72 κύβηκος 75 κυβηλίς 76 πελεκῆσαι 79 κύβιλις — τυροκνιστὴν — θεὸν — κυβινδὶν 82 h. e. κύβηνδις (pro κύμινδις)· γλαῦξ ⟨88 κίββα, κίρβα, κύβεσις κίβισις κύμβη⟩ 90 κῦβος — μεταλικοῖς cf. 4391 et Simarist. Ath. IX 399 A 91 κύβλα, κῶλα. ἡ ὀσφὺς ἡ μ. ἠολέκρανα 97 κυδάσσει ⟨4408⟩ Tarentini? Post 98] 4404 4409 κυδηγαίων 10 κύδηνεν — ἐμεταιώρησε 12 ἡ — δοξάζουσα 21 κυδοιδοπεῖ (cf. ἰδοιδοπεῖ) 25 εὐρύτιδις

HES. 77 κυβηστήρ, πηδήτας (Eur. Phoen. 1158)· τινὲς ὀρχηστὰς ποικίλους 78 κυβηακή· πραγματεία. κύβευμα 82 κυβῆναις· γλαῦξαις ⟨4401⟩ Ad 91 [ἡ ὀσφύς] 92 Κυδαθήναις· ἔνδοξος Ἀθηναῖος 93 Κυδαθηναῖος· δῆμος τῆς ἀφυλῆς τῆς Πανδιονίδος ἐν ἄστει 94 Κυδαθόν· ὁμοίως 4400 κυδάναν· τὴν γλαῦκα ⟨4382⟩ 5 κυδάϊ· ἀρετῇ 12 κυδιανείρῃ (Ζ 124)· τῇ τοὺς ἄνδρας δοξαζούσῃ 17 κυδιόων· σεμνυνόμενος. χαίρων (Ο 266). δόξῃ ἐπαιρόμενος (Ζ 509) Ad 18 ἐνδοξότατε (Δ 122) 22 κυδοιμῶν (Iob. XXVIII 25)· θορύβων, ταραχῶν Ad 24 ἔνδοξος (Σ 184) 26 κυδύλιον· ἔνδοξον ⟨κύδιμον⟩

μῆλον. Κυδωνία δὲ πόλις Κρήτης. καὶ τὸ φυτόν (Arist. fr. CXCVII)
κυέει· ἐγκυμονεῖ, ἐν γαστρὶ ἔχει
κύει· ἐγκύμων ἐστί, γεννᾷ [31]
κύεσσαν (Dor.)· κύουσαν [33]
Κυζικηνοὶ στατῆρες (Dem. 914, 11) [ad 34]
κύημα (Plat. Civ. 461 C)· τὸ κατὰ γαστρός. καὶ ἡ προβολὴ τῶν φυτῶν ⟨3229⟩
κυηρόν· ἔγκυον. ἁπαλόν, βλαστόν
κυήσατο· ἐν γαστρὶ ἔσχεν [38]
Κυθέρεια (Hesiod. Th. 198)· ἡ Ἀφροδίτη. καθ' †Ὅμηρον μὲν †οὐχ ὅτι προσέκυρσε Κυθήροις, ἢ ὅτι κευθόμενον ἔχει ἐν ἑαυτῇ τὸν πάσης ἐρωτικῆς φιλίας ἐξηρτημένον τὸν κεστὸν ἱμάντα, ἤγουν τὸν ποικίλον. ἢ ὅτι οἱ ἐρῶντες ἐν αὐτοῖς κρύπτουσι τὸ ἐρωτικὸν πάθος
κυθηγενέσι (Callim.?)· κρυφογενέσιν
Κύθηρα (Pherecr. p. 322 Thuc. IV 53)· νῆσος Κρήτης. καὶ πόλις Θεσσαλίας ⟨Θαλασσία?⟩. τινὲς δὲ νῆσον πρὸ Μαλέου. Μάλεον δὲ ἀκρωτήριον τῆς Λακωνικῆς [42]
κυθηροδίκης Thuc. l. l.)· ἀρχή τις τὰ ξενικὰ διοικοῦσα
Κύθηρος (Dem. 1041, 12)· δῆμος τῆς Πανδιονίδος φυλῆς
Κυθήρων· Ἀφροδίτης ἡ πόλις (Κύθηρα)
κυθνώλης· ἐξώλης ⟨4627⟩. ἔνιοι δὲ πεποιῆσθαι τὴν λέξιν φασί(ν) ἀπὸ Κύθνου τῆς νήσου· ἀπολέσθαι γὰρ αὐτὴν ὑπὸ Ἀμφιτρύωνος (Aristot. Zenob. IV 83)
κυθνωνύμου (Antimach. EtGud. 352, 7)· [ad 47]
κυθνόν· τὸ ἄχυον φάρμακον. καὶ πολύκυθνα πολύσπερμα. κυθνὸν γὰρ τὸ σπέρμα
κυθώδεος· δυσόσμου
κυΐντατα· οἰκτρότατα ⟨4619⟩
κυΐσκει· συλλαμβάνει
κυΐσκεται· ἔγκυος γίνεται
κυκᾷ· ταράσσει τὰ κάθυγρα ἄλφιτα (κ 234?)
Κύκαλα· δῆμος τῆς Αἰαντίδος φυλῆς [55. 56]
κυκῆ (Dor.)· ταράσσει
†κύκημα· τάραχος [59]
κυκήθραν· ταραχήν [61]
κυκήσεων· ταραχῶν [63]
κύκκαρος· τὸ ἐλάχιστον
κύκλα (E 722 al.)· οἱ κύκλοι. τροχοί. ἢ χοροί
κυκλάζει· κύκλῳ περιέρχεται
κυκλαίνει· στρογγυλοῖ
κυκλάμινος· πόα τις ὑπὸ τῶν ῥιζοτόμων [69. 70]
κυκλήσομεν (H 332)· ἀνάξομεν, ἐπ' ἁμαξῶν κομιοῦμεν
κύκλιοι αὐλοί· οὕτω τινὲς ἐκαλοῦντο. εἶεν δ' ἂν οἱ χορικοί
κυκλιοδιδάσκαλον (Ar. Av. 1403)· κύκλιον χορὸν διδάσκοντα
κύκλιοι χοροί· .....
Κυκλοβόρος (Ar. fr. inc. LXXXVI)· ποταμός. τινὲς δὲ χαράδραν μετὰ ψόφου ῥέουσαν
κύκλοι· τροχοί. ὀφθαλμοί (Soph. OT. 1270)
κύκλος· περίβολος. καὶ ἐν ἀγορᾷ τόπος, ἔνθα σκεύη καὶ σώματα πιπράσκονται. καὶ ἐν ταῖς κωμῳδίαις ὑπότροχόν τι κατασκεύασμα. καὶ παρὰ τοῖς γεωμέτραις ἐπίπεδον σχῆμα ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον. καὶ εἶδος ἱππασίας
κυκλοτερές (Δ 124?)· περιφερές. ἐπικαμπές
κύκλους καὶ τροχούς· τὰ τείχη. τροχὸν δὲ τὸ τεῖχος, ὡς Σοφοκλῆς Ἡρακλεῖ (fr. 208)· Κυκλώπιον τροχόν
κυκλοφορούμενος· κατὰ κύκλον φερόμενος
†κυκλογάλων· γλίσχρων, σμικρολόγων

COD. 37 κυήσας ⟨39 Ἡσίοδον μὲν οὖν?⟩ 41 προμαλέου προμάλεον 43 κυθηροδιη 46 κυθμώλης — κύδμου 47 ἢ τοῦ ἂν 49 cf. ὕσκυθα 53 ἢ τὰ 57 κυκεῖ 62 κυκησ, κυκέων, ταραχῶν 68 κυκλάμενος 71 κυπλείσομεν 72 κύκλειοι 73 κύκλειον, δ — κυκλεῖον 74 κύκλειοι 78 κυκλω| 79 ἠρακλέα κυκλώπιον

HES. 31 κυέουσαν (Ψ 266)· ἔμβρυον ἐντὸς ἔχουσαν 33 κυζιθμός (π 163)· ἡ ἀσαφὴς τῶν κυνῶν βοή ⟨4578⟩ Ad 34 διεβεβόηντο ὡς εὖ κεχαραγμένοι. πρόσωπον δὲ ἦν γυναικὸς ὁ τύπος 38 κύθεν (γ 16)· ἔκρυψεν, ἐκάλυψεν 42 Κυθηρίῳ (K 268)· τὸ ἐκ Κυθήρων Ad 47 αἰσχρὸν κλέος ἔχοντος. ἢ οὐ ἄν τις ἐπικρύψειε τὸ ὄνομα διὰ τὰς συμφορὰς (καὶ) τὰς πράξεις. ἢ ἀξίου κεκρύφθαι 55 κυκεῶ (Plat. Civ. III 408 B)· κυκεῶνα ⟨Moer.⟩ 56 κυκειῶ (Λ 623)· πόμα ἐκ πολλῶν βοτανῶν συγκείμενον φαρμακίας, ποτὸν δηλητήριον 59 κυκηθήτην (Λ 129)· ἐταράχθησαν, δυϊκῶς 61 κυκεῶ (κ 290)· κυκεῶνα. ἐξ οἴνου καὶ μέλιτος καὶ ὕδατος καὶ ἀλφίτων ἀναμεμιγμένον πόμα. κατὰ ἀποκοπὴν τῆς να συλλαβῆς. τὸ δὲ αὐτὸ καὶ μετὰ τοῦ ῑ κυκίω (Λ 623) 63 κυκήσωμεν (H 332)· ἐπανάξωμεν 69 κύκλετε· ἀκούσατε ⟨κέκλυτε⟩ 70 κύκλευον ⟨κυκεών⟩· εἶδος πόματος ἐξ εἰδῶν συγκείμενον

Κυκλώπων ἕδος (Trag. adesp. fr. 212)· ἐπειδὴ Κύκλωπες ἐτείχισαν τὰς Μυκήνας

Κυκλώπων (non ζ 5)· χαλκέων

κύκνος (Callim. Ap. 5)· ὄρνεον [85]

κυκύιζα· γλυκεῖα κολόκυντα

κύκυον· τὸν σικυόν ⟨cucumis⟩

κυκῶν· ταράσσων. ἀναζέων [ad 88] [89. 90]

κύλα· τὰ ὑποκάτω τῶν βλεφάρων κοιλώματα. τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς †μῆλα. τὰ ὑπώπια ⟨4505. 4515⟩

κυληβίς· κολοβή ⟨4511⟩

†κυλικία· ἡδιάτοῖς ἐπὶ τόπον. Ἰόβας

κυλικήρυτον αἷμα· ὡς τὸ κοτυλήρυτον, οἷον πολύ

Κυλικράνων· Πολέμων (fr. LVI) φησίν, ὅτι τοὺς ὤμους κεχαραγμένοι ἦσαν κύλικες. οἱ δὲ τοὺς ὑπὸ τῇ Οἴτῃ Ἡρακλεώτας ἀπό τινος ...... ὠνομάσθαι (Hermipp. fr. IV p. 97) [96. 97]

κύλινδροι· †ὄφεις. καὶ σφραγῖδος εἶδος (Plin. h. n. XXXVII 5). καὶ ὅλμοι ⟨q. v.⟩. καὶ λίθοι στρογγύλοι [99]

κυλίνθιον· προσωπεῖον ξύλινον ⟨4583⟩

κύλιξ· κοτύλη, ποτήριον

κυλίχνη (Arist. fr. XI p. 1153)· φιάλη. καὶ ἡ ἰατρικὴ πυξίς

κυλιχνίδες (Achaei fr. 14)· πυξίδες. ἄλλοι λιβανωτίδες. ἕτεροι ἀγγεῖα κεραμεᾶ. ἄλλοι κύλικας. ἄλλοι πυξίδας ἰατρικάς (Hippocr.)

κύλλα· σκύλαξ. Ἠλεῖοι

†κύλλαβοι· ὑπώπια ⟨4491. 4515⟩ [4506. 7]

κυλλάραβις· δίσκος. ἢ γυμνάσιον ἐν Ἄργει

κύλλαστις (Arist. fr. I p. 1047)· ἄρτος τις ἐν Αἰγύπτῳ ὑποξίζων ἐξ ὀλύρας [10]

†κυλλήβδην· κολοβόντα. οἱ δὲ κέρατα κολόβια παρ' Ἱππώνακτι (fr. 122)

?κυλαίνων κάτω· Σοφοκλῆς Φαίδρᾳ (fr. 620). τὰ ὦτα καταβαλών, ἧπερ οἱ σαίνοντες ..... ποιοῦσιν·

ἔσαιν' ἐπ' οὐρὰν ὥτε κυλαίνων κάτω

οἷον·

οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε καὶ οὔατα κά(β)-
βαλεν ἄμφω [13]

Κυλλήνιος (ω 1)· ὄνομα κύριον

†κύλλια· ὑπώπια μελανά ⟨4491. 4505⟩ [16. 17]

κυλλός (Hippocr.)· χωλός. καμπύλος. (κολόχειρ)

?κόλλοβος· ξηρὰς συκῆ ⟨cf. μύσηλοι⟩

κύλλου πήρα· ζητοῦσι διὰ τί τὸ πορνεῖον Κύλλου Πήραν Ἀριστοφάνης εἴρηκεν ἐν Δράμασιν ἢ Κενταύρῳ (fr. IX)·

τὸ δὲ πορνεῖον Κύλλου πήρα.

ἔστι γὰρ χωρίον Ἀθήνησιν ἐπηρεφὲς καὶ κρήνη. ἀντὶ δὲ τοῦ Πέραν (Theognost. 101, 11) πήραν ἔφη

Κυλών(ε)ιον ἄγος· ἀπὸ ἱστορίας. τοῦτο δὲ λέγει σαφῶς Θουκυδίδης (I 126)

κῦμα· ὕδατος ἐπιδρομὴ βιαία. καὶ τὸ ἔτι ὂν ἐν τῇ κοιλίᾳ. καὶ τὸ γεννώμενον κύημα (Aesch. Cho. 128 Eur. fr. 107)

κυμάδας· ἐγκύους [24]

κυμαίνεται (Pindar.)· ταράσσεται

κυμαίνουσα· ταράσσουσα. οἰδαίνουσα. ὑπερβλύζουσα

κύμαρος· κόμαρος. βόστρυχος ⟨4506⟩ [28]

κυμάτια· τὰ χείλη, διὰ τὸ κυμαίνειν. ἢ αἱ ὑπεροχαί, παρὰ τέκτοσι καὶ λιθοποιοῖς (Exod. XXV 10?) [30]

κυματοφορτίδες· κόγχοι

κυματωγή (Herod. IV 196)· ῥαχία. αἰγιαλοῦ ὑπαγωγή

κύματα· ὑδάτων ἐπιδρομαὶ βίαιοι. κυήματα ⟨3229⟩. τὰ γεννώμενα. καὶ τὰ (ἐν) ταῖς κοιλίαις ἔτι ὄντα· καὶ δένδρα. καὶ ὄρη

κύμβαι (Empedocl. 226 Sz.)· ὄρνιθες [35. 36]

κύμβαλον· βακύλιον. [ad 37] εἶδος ὀργανοῦ μουσικοῦ

COD. 82 ἐτείχησαν (cf. Τιρύνθιον) 92 κυληβίς, ἄκαρπος κράμβη Theognost. 21, 19 94 κυλίκρανον — κύλικες — ὑπό τισι τῇ — ὀνομᾶσθαι 96 κυλινδεῖ 98 ὄρχεις? — πόλεμοι καὶ λίθοι 4500 προσώπιον (ΚΥΛΙΘΡΟΝ? cf. κύριθρα κυριττοί) 2 πῆξις 3 λιβανατρίδες — κεράμεα 4 κύλλας, κύλαξ 8 κυλαραβίς 9 κυλλάς τὶς — ὑπὸ ῥιζῶν ἐξολλύρας 11 cf. 4492 ἱππόνακτι 12 ἅπερ — ἔσται ἐπούρανῶτικυθλάννων. καὶ τὸ — οὔρημεν, ῥογέσηνε 18 μονόχειρ post 4517 20 διὰ τὸ π| — ἐπιφερὲς (cf. 2685) 26 οὐδενοῦσα 27 κύτταρος Phot. 193, 2 34 cf. κόμβα

HES. 85 κυκοίας· προγόνους ⟨3303. 3826⟩ Ad 88 θρηνῶν ⟨κωκύων⟩ 89 κυκοῦντος· θρηνοῦντος 90 κυκλοστάθμοις (Hagg. I 4)· ὑψηλοῖς ⟨v. κολοστ—⟩ 96 κυλίνδει (Ρ 688)· ἐπιφέρει. κυλίει 97 κυλίνδεσθαι (Λ 147)· ὁμοίως 99 (........) κυλινδούμενος (Θ 86), κυλιόμενος (Χ 414), περιστρεφόμενος 4506 κυλλαίνει· θυμαίνει ⟨σκυδμαίνει⟩ 7 †κύλλαιος· βόστρυχος ⟨4527⟩ 10 †κυλλατούς· τοὺς ὀφθαλμούς 13 Κυλλήνη (Β 603)· ὄρος Ἀρκαδίας 16 κυλινδέσθαι (Λ 147)· κυλίεσθαι 17 κυλλοποδίων (Σ 371)· χωλός 24 κυμάγχη· ἡ εἱρκτή ⟨κυν—⟩ 28 κύματι κωφῷ (Ξ 16)· ἤχῳ 30 κύματι κωφῷ (Ξ 16)· τῷ μὴ ἠχοῦντι, ἀλλ' ἀρχομένῳ μεγεθοῦσθαι 35 κύμβαδον, ἀκρότατον (Ο 535) 36 κυμβαλικὸς ⟨κυβηλ—⟩ τρόπος· τῷ πελέκει κακουργῆσαι Ad 37 βαβούλιον

κύμβας· ὄρνιθας. καὶ ... κοίλας καὶ περιφερεῖς. καὶ εἴδη ποτηρίων

κύμβαχος (Ε 586)· ἐπὶ κεφαλῆς, καὶ ἄνω τοὺς πόδας. καὶ τὸ ἀνώτατον μέρος τῆς περικεφαλαίας

κύμβη (Soph. fr. 123)· νεὼς εἶδος. καὶ ὀξύβαφον. καὶ πήρα ⟨cf. κύββα, κίββα⟩

κυμβίον (Com. V p. 555)· εἶδος ποτηρίου, καὶ πλοίου

κύμβοι· τὰ †ἐμπωλήματα ⟨ἐκπώματα?⟩ [48]

κύμβος· κοῖλος μυχός. βυθός. καὶ κεραμίου πυθμήν (Nic. Al. 129)

†κυμβατευταί· ὀρνιθευταί

κύμηχα· κύαμον

κύμινδις (Ξ 291)· εἶδος ὀρνέου

κυμίνδ†αλα· καταστροφή. Ταραντῖνοι

⟨κύμινον [Menand. fr. CCCLXIII]· τοῦτο ἐπὶ μικρολόγου ἔταττον⟩

κυμινοπρῖσται (Ar. Vesp. 1348)· οἱ φειδωλοί. ὁμοίως καὶ καρδαμογλύφοι

κυνάγχη· τέχνη, μηχανή. ἔνιοι τὸν διὰ χειρῶν δεσμόν. οἱ δὲ τὸ κυνάγχα (Hipponact. fr. 1) ἀντὶ τοῦ κλέπτα. καὶ νόσημα κυνῶν. καὶ ἀνθρώπων πνιγμός. καὶ εἱρκτή ⟨4524⟩

κυμορρόον· τὸν ὑπὸ τῶν κυμάτων ῥοῦν

κυνάδα(ς Theocr. XV 19 p. 483 Mein.)· κυνόσβατον, ἢ φυτόν, ὅπερ τὰς αἶγας νέμεσθαί φασιν

κυνάδες· αἱ ἀπομαγδαλιαί

Κυνάδης Ποσειδῶν· Ἀθήνησιν [ἐν]τιμᾶται

κυνάδης (Thessali)· ἀπελεύθερος

κυναίδης· λίαν ἀναιδής

κυναχίας· ἱμάντες, οἱ ἐκ βύρσης τοῦ σφαγιασθέντος τετράχειρι Ἀπόλλωνι βοὸς ἔπαθλα διδομένου

κυναλώπεκα (Ar. Eqq. 1067)· ἔνιοι κυνοφθόρον. οἱ δὲ διελόντες, κύνα ἄδικον ἀπέδοσαν

κυναλώπηξ (Com.)· Φιλόστρατον λέγουσιν οὕτω τὸν Ἀθηναῖον κωμῳδοῦντες. ἢ ἐξ ἀλώπεκος καὶ κυνὸς Λακωνικοὺς κύνας φασὶ γίνεσθαι

κυνάμυια (Φ 394)· ἀναιδής, ἰταμή, καὶ θρασεῖα. ὁ μὲν γὰρ κύων ἀναιδής· ἡ δὲ μυῖα θρασεῖα

κύναρος (ἄκανθα Soph. fr. 646)· φυτόν τι. καὶ μήποτε ἡ κυνόσβατος, διὰ τὸ τραχὺ (καὶ) ἀκανθῶδες· κύνα γὰρ ξυλίνην τὴν κυνόσβατον ὁ θεὸς ⟨oraculum⟩ λέγει [61]

κυνδάλη· παιδιά τις. καὶ οἱ μὲν ὑπομνηματισταὶ κυνδάλας τὰς (σ)κυτάλας ἀπέδοσαν, οἱ δὲ τὰ γεωμετρούμενα σχήματα· κακῶς. Κυνδάλους γὰρ ἔλεγον τοὺς πασσάλους καὶ κυνδαλοπα†ίστην τὸν πασσαλιστήν

†κυνδός· ἄπαικτος. ἀπαράλλακτος

Κύνδων· ποταμὸς ἐν Ἑλλησπόντῳ. οἱ δὲ ἐν Πελοποννήσῳ

†κυνεάγας· κυδώδων

κυνεγκέφαλος· ὁ τῆς ῥάχεως ἀπὸ κεφαλῆς εἰς τὰ αἰδοῖα φερόμενος γόνος

κυνέη (σ 377)· κυρίως μὲν ἡ ἐκ κυνείου δέρματος περικεφαλαία. καὶ ἡ οἰκία ⟨4579. 4632⟩

κυνεῖ· φιλεῖ. προσκυνεῖ

κύνειον θάνατον (Ar. Vesp. 898)· ἄγαν φοβερόν

†κυνελφεῖ· κρύπτει [71. 72]

†κυνέπασαν (Com. inc. CXLVI)· ἐξέδει-δον σαν· ἔνιοι κυνέπασαν τὸ αἰδοῖον ἐπιτάνσπον οἷον ἐπέπασαν

†κυναιρίου, ἢ κυνουρίου· ἀργολύκου

κύνες· τοῦ ἵππου τῆς ὁπλῆς μέρος (Xen. Eq. I 15). καὶ ἧλοι (η 91). καὶ οἱ δράκοντες [76]

Κυνετίαν· ἤτοι Ἄρεως κόρην. ἢ Ἀθηνᾶν. ἢ Πειθώ [78]

κυνῇ (Soph. fr. 251)· περικεφαλαία. πέτασος. πῖλος Ἀρκαδικός. ἡ οἰκία ⟨4567. 4632⟩

κυνῇ Βοιωτία (Dem. 1377, 10)· ἐγένοντο γὰρ διάφ(ορ)οι. ἀλλ' αἱ ἐν Βοιωτίᾳ καλαὶ κυναῖ, ἃς οἱ κατ' ἀγρὸν ἐφόρουν

κυνηδόν (Ar. Nub. 491 Soph. fr. 650)· ὡς κύων

κυνθάνει· κρύπτει ⟨4570⟩

κύνθιον· προσωπεῖον ξύλινον ⟨4500⟩

COD. 51 τῶν — δεσμῶν — εἱρατή 50. 51 = 51. 50 53 ἀπὸ μαγδαλίας 55 Heuzey *le mont Olympe* p. 483 57 κυνάλοπι, ἐντακυνόφθορον (sch. Call. D. 94) 58 ἡ ἐξαλήπεκος 60 ἢ κυνὸς βάθος — ξυλίνη τὴν κυνὸς βάτον ὁ θς̅ 70 ΚΥΝΘΑΝΕΙ? 72 κυναῖος 75 cf. μεσοκύνια 79 πεττάσος 83 προσώπιον

HES. 43 κύμ[β]ινον (Menand. fr. CCCLXIII)· τοῦτο ἐπὶ μικρολόγου ἔταττον 61 κύνας ἀργούς (Α 50)· λευκούς, ἢ ταχεῖς κύνας 71 κύνεουν (ρ 35)· ἐφίλουν 72 κύνεος (Ι 372)· ἀναιδής 76 κύνεσι (Δ 4)· τοῖς κυσί 78 κυνζηθμός (π 163)· ἡ ἀσαφὴς τῶν κυνῶν βοή ⟨4578⟩

κυνίας· πίλους (Cretic.). ἡ χείρ (Maced.)
κυνίζει· μετὰ βλακ(ε)ίας περιπατεῖ
κυνίξεις ⟨—ιες?⟩· ἀκροβολισμοί
†κυνίσφειλον· ἀπατητικόν
Κύννα (Ar. Eqq. 765 Pac. 754)· ὄνομα πόρνης
Κύνν(ε)ιος· Ἀπόλλωνος ἐπίθετον
Κυννίδαι (Lycurg. or.)· γένος Ἀθήνησιν, ἐξ οὗ ὁ ἱερεὺς τοῦ Κυννείου Ἀπόλλωνος
κυνοβάμων· ἵππος τις οὕτω προσαγορεύεται
κυνοβλῶπες· κύνειον ὁρῶντες
κυνόγλωσσον (Nicand. fr. 71, 3)· πόα τις
κυνοδέσμη· δεσμὸς ἀκροποσθίας
κυνοειδής· ἀναιδής. κυνώπης
κυνοθαρσής (Theocr. XV 53)· ἀναιδής
κυνόκεντρον· πόα τις
κυνοκεφάλαιον· πόα τις, ἣν τινες ἀνεμώνην καλοῦσιν
κυνόμαλα· τὰ κοκκύμηλα [4600]
κυνοπρῖστις· ζῶόν τι
κυνοραϊσταί· κροτῶνες [ad 2]
κυνοραϊστέων (ρ 300)· τῶν κροτώνων· ἀπὸ τοῦ ῥαίειν, ὅ ἐστι φθείρειν
κυνόροδον (Theophr. IV 4, 8)· κρίνον, ὅμοιον ὑακίνθῳ
κυνορχίας· βόλου ὄνομα
κυνός· τυφλοῦ [ad 6]
Κυνόσαργες· τόπος ἱερός. ὠνομάσθη δὲ ἀπὸ τοιαύτης αἰτίας. Διόμου φασὶ θύοντος Ἡρακλεῖ, κύων ἁρπάσας τὰ μηρία, ἔφευγε διωκόμενος. ἐκλήθη δὲ ὁ τόπος οὕτως, ἢ ἀπὸ τῆς λευκότητος τοῦ κυνός, ἢ τοῦ τάχους
κυνὸς μέλη †τοῦ οὔρεσθαι ⟨τὸ ὠρύεσθαι?⟩
κυνοσσόοι· θηρευταί [10]
Κυνόσουρα (Herod. VIII 76)· φυλὴ Λακωνική· καὶ ἄκρα τοῦ Μαραθῶνος, πρὸς τὴν Εὔβοιαν τετραμμένα. καὶ ἡ μικρὰ ἄρκτος. καὶ πᾶς χερσοειδὴς τόπος. †καὶ οἱ Κυδωνιασταὶ οὕτω καλοῦνται
†κυνόλφη· σίλφη
κυνοῦπες· ἄρκτ†ος. Μακεδόνες
κυνοῦραι· ἀστράγαλοι
κυνουρία (Lycoph. 99)· ὅπου μετὰ χειμῶνος κῦμα ἐκβάλλει
κυνοῦχος· θυλάκιον, βαλάντιον, ἢ μαρσίππιον
κυνοφθαλμίζεται· ἀναιδῶς ἐμβλέπει
κυνόφαλοι (Com. an. fr. CXLVII)· Κορίνθιοι φυλή
κύντατα (Eur. Suppl. 807)· οἰκτρότατα ⟨4450⟩
κύντατον· ἀναιδέστατον. οἰκτρότατον. αἴσχρότατον
κύντερον (Θ 483)· ἀναιδέστερον. χαλεπώτερον. χεῖρον [22]
κύνυ· πίεσμα, τὸ ἀπὸ στεμφύλων ποτόν. Κύπριοι [24]
†κυνῶ· ἀσφάλειά τις. καὶ οἷον †ἀποκεκένωται
κυνώ· ἡ ἀναιδεστάτη
κυνώλης· ἐξώλης ⟨4446⟩
κυνῶπες· ἀναιδέστατοι [29. 30]
κύος (Ar. fr. inc. XXXIV)· κύημα †ἔγκυος. τὸ ἐν γαστρί
κύπαι· εἶδός τι νεώς. καὶ αἱ ἐξ ὕλης καὶ χόρτου οἰκήσεις ⟨4567. 4579⟩
κύπαλον· †μεμειρασμένον
Κυπάρα· ἡ ἐν Σικελίᾳ κρήνη Ἀρέθουσα
κυπαρίσσι†α· εἶδος ἀλεκτρυόνων [36. 37]
κύπασσις· περίζωμα. καὶ χιτῶνος εἶδος
κυπάται· κίναιδοι, μαλακοί
κύπελλα (Γ 248 Nicand. fr. 140)· ποτήρια
κύπελλον (Α 596)· εἶδος ποτηρίου ἀώτου ⟨τετραώτου?⟩
κύπερα (Iones)· τὰ σχοινία ἐκ κυπείρου πεπλεγμένα [43]

COD. 84 πῖλος — I. q. χύνις = χείρ (male Lobeck. φθείρ) 89 |νιος 90 |νίου 62 κύνιον 94 ἀκροπαθείας 95 κυεῖς· ἀναιδεῖς κυνώπεις 4602 κρότωνες 3 |στένων — ῥέειν 5 |όρχιας 6 πόλις] Κῦνος Β 531 7 Διώμου — θύοντες — μ.ρία 9 κυνοσσοῖοι 11 κυνὸς οὐρὰ — μαρανθῶνος 13 cf. κνουπεύς et κνωπεύς 23 κυνύπισμα — πότον (cf. λάκυρος) ⟨25 κυνώ — καὶ Ἴων ἀποκεκύνωται?⟩ 26 κυνώη ἀ|
στρ
28 ἀνεδ| 30 ἔγκα 38 κυπασίς

HES. 4600 κυνόμυια (Greg. Naz. C. XXXIV 6 p. 236)· ἀναιδής, καὶ ἰταμή, καὶ θρασεῖα. τοιαῦτα γὰρ τὰ ζῶα ὁ κύων καὶ ἡ μυῖα Ad 2 οἱ τοὺς κύνας πιπίζοντες ⟨Byzant.⟩ Ad 6 ἢ πόλεως (ὄνομα) 10 κυνός· ἀναιδοῦς 22 κυνεῖν· τὸ ἀσπάζεσθαι 24 κυνήρη· θρηνητική ⟨κινυρή⟩ 29 κυνωπίδους (δ 145)· ἀναιδεῖς ὄμμασι 30 κυνῶπις (λ 423)· ἀναιδής, ἰταμή 36 Κυπαρισσηίς (Β 593. 519) καὶ Κυπάρισσος πόλις ⟨—εις⟩. καὶ τὸ δένδρον (ε 64) 37 κύπαρος· κυπάρους τὰ κοῖλα ἔλεγον ἀγγεῖα καὶ χωρητικά. διὰ τοῦτο καὶ τὰς τῶν σφηκῶν κατατρίσεις, καὶ τὰς τῶν αἰδοίων βαλάνους, ἐκ μεταφορᾶς κυπάρους λέγουσι. ὁ δὲ Θεόφραστος προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος κύπαρον προσαγορεύει 43 κύπειρον (Φ 351)· ἄνθος ἵπποις ἐδώδημον

κύπειρος· φυτόν, ὃ καὶ ἐρίσχηπτον
κύπη· τρώγλη
Κυπρία πάλη· ἣν ἔνιοι πάμμαχον καλοῦσιν, οἱ δὲ ἄγροικον καὶ ἀπάλαιστρον· διὰ τὸ τοὺς ἐν Κύπρῳ ἀτέχνως παλαίειν [47]
κυπρῖνος (Arist. HA. II 9, 4)· ἰχθῦς ποιός
κύπριον· τὸ ἀρνόγλωσσον
Κύπριος βοῦς· ἐπὶ κοπροφάγου (καὶ) εἰκαίου τάσσεται τοῦτο, ἐπειδὴ οἱ Κύπριοι βόες κοπροφαγοῦσιν
Κύπρις (Abydeni)· πόρνη
κυπρογενέος προπόλον (Poet. lyr. Gr. fr. 133 p. 1071)· προαγωγόν
κύπρος· μέτρον σιτηρόν (Alcaei). ἢ κεφάλαιον ἀριθμοῦ (cifrae)
κυπτάζειν (Ar. Pac. 730)· διατρίβειν, στραγγεύειν. καὶ ἐνασχολεῖν. ἐπικύπτειν. καὶ χρονίζειν
κύπτει· κάμπτει, ἑαυτὸν κλίνει [56]
κυρβάδωμεν· κρύψωμεν ⟨4240⟩
Κύρβαντες (Soph. fr. 777 Call. Iov. 46)· Κορύβαντες
†κυρβάσια· ἐπιπλέον κροῦσιν
κυρβασία (Ar. Av. 486)· ὀρθὴ τιάρα. ταύτῃ δὲ οἱ Περσῶν βασιλεῖς μόνοι ἐχρῶντο. καὶ κορυφὴ ἀλέκτορος
κυρβ.άσαι· ἀποσκιρτᾶν ⟨col. 190, 26⟩
κύρβις (Ar. Av. 1354)· στήλη τρίγωνος, ἢ ξύλινος ἄξων, ἐν ᾧ τὸ παλαιὸν οἱ νόμοι ἐγράφοντο [63]
κύρει· ὑπάρχει, τυγχάνει
†κυρεῦσαι· φυτεῦσαι ⟨3563⟩
κυρηβάζεσθαι· λοιδορεῖσθαι. διαμάχεσθαι
κυρηβάσασθαι (Cratin. fr. LXIX)· διαμαχέσασθαι. ἀπὸ τῶν κριῶν καὶ τῶν τράγων· ἔνθεν καὶ τὸ κυρίσσειν
κυρηβάτης καὶ κύρηβος· ὁ ἀσελγὴς ἐν τῷ λοιδορεῖν
κυρήβια (Ar. Eqq. 254)· τῶν κριθῶν τὰ ἀποβρέγματα, καὶ κυάμων λέπυρα, καὶ τὰ τῶν κέγχρων ἄλφιτα
†κυρῆναι·
Κυρηναῖοι λίβες· .......
Κυρήνη (Ar. R. 1328 Th. 98)· πόρνη τις
οὕτως ἐκαλεῖτο δωδεκαμήχανος, διὰ τὸ τοσαῦτα σχήματα Ἀφροδισίων ποιεῖν
κυρία ἐκκλησία (Ar. Ach. 19)· μία κυρία ἐκκλησία ἤγετο Ἀθήνησιν, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονεῖν ἔδει
κυριάζεις· ἀποκακεῖς [75]
κυρίζεσθε· τρίβεσθε
κύριθρα· προσωπεῖα ξύλινα
(Κυρῖνος Laur. Lyd. I 5 p. 125 Bonn.)
κυρίξει(ν Aeschyl. Bassar.) [ad 78]· κέρασι μάχεσθαι
κύριον· ἴδιον, αὐθεντικὸν γραμμάτιον
Κῦρις· ὁ Ἄδωνις ⟨cf. Κῖρις⟩ [ad 80]
κυρίσσει· κερατίζει, τύπτει μετὰ τῆς κεφαλῆς ⟨4701⟩ [ad 81]
†κύριθον· τὴν σφαῖραν ⟨3224?⟩
κυριττοί ⟨—αί?⟩· οἱ ἔχοντες τὰ ξύλινα πρόσωπα κατὰ Ἰταλίαν, καὶ ἑορτάζοντες τῇ Κορυθαλίᾳ γελοιασταί
κυρίττειν· πλήσσειν
κυρίττιλος· κορύπτης. πλήκτης ⟨3587⟩
κυρίττον (cf. Aesch. Pers. 310)· [ad 86]
κυρίττοντες (Plat. Civ. 586 B)· κερατίζοντες, κεφαλαῖς πλήσσοντες
κυρίως· βεβαίως, ἰσχυρῶς, ἀσφαλῶς
κυριωτάτη ἡμέρα· ἐν ᾗ τελειοῦται τὰ συμφωνηθέντα καὶ εἰσενεχθέντα
κυρκανᾷ· κυκᾷ, ταράσσει (Hippocr.)
κύρμα (Ε 488)· κύριγμα, ἐπίτευγμα. πολλοῖς ἐγκεχυρηκὼς πράγμασι (Ar. Av. 431)
κύρνα· κρανία
Κυρνιᾶται· ἐπεὶ Κύρνον ᾤκησαν, Τυρρηνοί
†κύρνικα· κώδια ⟨σισύρνια?⟩
κύρνοι (Maced.)· οἱ νόθοι
κυροῖ· βεβαιοῖ, πιστοῖ
κῦρον (Arist. fr. III p. 1093)·
οὔτ' εἶπον οὐδὲν πρὸς σὲ κῦρον, ὦ γύναι σοὶ ἀνῆκον, εἰς σὲ τεῖνον
κῦρος· ἐξουσία (Trag.). ἢ παῖς
Κῦρος· ἀπὸ τοῦ ὑπὸ κυνὸς τεθράφθαι. ἢ ἀπὸ τοῦ ἡλίου· τὸν γὰρ ἥλιον οἱ Πέρσαι κῦρον λέγουσιν. ἄλλοι βόθυνον ⟨γῦρος⟩. καὶ ὄνομα ποταμοῦ ⟨—ῶν?⟩. καὶ κύριον ⟨ad κυρόν⟩

COD. 44 ἐρεῖσκῆπτρον 48 κύπρινος 49 ἀργ| 51 κυπρίς (gl. δ 838) 52 κυπρογένεος, πρόπολον, πρόαγγον 53 σιτήριον 54 κυπτάζειν, διατρίζειν στρατεύειν — ἐναισχύνειν 68 κυρίβια 66—68| post 75 κυριβ| 77 προσώπια cf. κυλίνθιον κύνθιον κυριττοί 83 |θαλλίᾳ 85 |ολος ⟨—όλης?⟩ 87 κυριώτης 91 ἐνκεκύρικος πρᾶγμα 93 κυρνίατα, ἃ ἐπὶ 97 κύρον — οὐδὲ πρὸς κύρον

HES. 47 κυπρίζουσαι (Cant. Cant. II 14)· ἀνθοῦσαι 56 κυπτόν (Baruch. II 18)· ταπεινούμενον 63 κύρε (Ψ 821)· ἐπιτυχεῖν ἐστοχάζετο 75 κυρίας (Isai. XL 10)· τῆς κατὰ φύσιν ὑπαρχούσης δυνάμεως Ad 78 ἢ κυρίζῃ Ad 80 ἢ πλέγμα τι, σχοινίον ἢ κυρτίς Ad 81 ἢ βοᾷ ⟨κηρύσσει⟩ Ad 86 ἐν γαστρὶ ἦν

Κυρράνη (Menand. fr. CCCLXIV)· ὄνομα γυναικείας θεοῦ [4701]
κῦρσαι· ἐπιτυχεῖν
κύρσαν· ἐνέτυχον
Κυρσανίας Λακωνικῆς
κυρσάνιοι· τοὺς μειρακίσκους οὕτως ἔλεγον (Ar. Lys. 1248) [6]
κυρσερίδες (Elei)· τὰ τῶν μελισσῶν ἀγγεῖα. κυψελίδες [8]
κυρσίον· μειράκιον
κυρτά· οἰδοῦντα (N 799?). μεμισημένα. ἔνιοι δὲ οὐκ ἀγαθά. ὑπὸ δὲ τῶν Ταραντίνων κόπρον καὶ τὰ ἔντερα τὰ δεκτικὰ κόπρων καὶ σκυβάλων τῶν βρωμάτων
κυρτεύς· ἁλιεύς
Κυρτιάδαι· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς [13]
κυρτιάς· Κελτοὶ τὰς ἀσπίδας ⟨v. καιτρέαι⟩
κυρτίς (Archil. fr. 177)· ὀρνιθοτροφεῖον (ἢ πλέγμα τι, σχοινίον ⟨4680⟩)
κυρτόν· τὸ κυρίως κυρτόν (Sosicr. com. IV p. 591) [ad 16]
κύρτος (Plato)· ἀγγεῖον σχοινῶδες, ᾧ οἱ ἁλιεῖς χρῶνται. καὶ τάλαρον
κυρῶ· τυγχάνω [19. 20]
κυρῶ· κρατύνω, βεβαιῶ
κυρωτῆρες· ἄρχοντες [23]
κυσαμένη (Hesiod. Th. 125)· κυήσασα· ἄκυθον γὰρ ⟨δὲ?⟩ τὸ ἀτόκιον
κυσανίζει· ὁμιλεῖ
κύσας· φιλήσας
κύσεν (π 21)· ἐφίλησεν
κυσέρη· πυθμήν. χάσμα [29]
κυσθοκορώνη (Com. an. CXLVIII)· νύμφη
κυσιᾷ (Com. an. CXLIX)· πασχητιᾷ
κυσοβάκκαρις (Com. an. CL)· ἤτοι τὸν κυσὸν μυρίζων· ἢ τῷ κυσῷ μυριζόμενος
κυσοδακνιᾷ· ψωριᾷ
κυσολάκων (Com. an. CLI)· Ἀρίσταρχός φησι τὸν Κλ(ε)ινίαν οὕτω λέγεσθαι τῷ κυσῷ λακωνίζοντα. τὸ δὲ τοῖς παιδικοῖς χρήσασθαι λακωνίζειν ἔλεγεν
κυσολαμπίς· ἡ περιλαμπομένη ταῖς νυξὶ κανθαρίς
κυσονίπται (Com. an. CLII)· πόρνοι· ἀπὸ τοῦ παρακολουθοῦντος
κυσός· ἡ πυγή. ἢ γυναικεῖον αἰδοῖον
κυσοχήνη (Com. an. CLIII)· εἶδος δεσμοῦ. οἱ δὲ εὐρυπρωκτίαν. οἱ δὲ ξύλον [ἓν] ἐν ᾧ ἁμαρτάνουσαι αἱ πόρναι ἐδεσμεύοντο
κύστεροι· ἀγγεῖα τῶν μελισσῶν. καὶ † τυρίσκοι ⟨ὑρ—⟩
κύστη· ἄρτος σπογγίτης
κύστιον· τὸ ἁλικάκκαβον
κύστις· ἡ φῦσα (cf. Ar. Nub. 405)
† κύτη· μεγέθη
κύτινοι· τῆς ῥοιᾶς τὰ πρῶτα ἐξανθήματα ⟨4729. 4770⟩
? κύταρον· ζωμήρυσις
κύτταροι· οὕτω τὰς τρήμας τῶν κηρίων ἔφη Ἀχαιός (fr. 49). τινὲς δὲ σφῆκας. καὶ τὰ τῆς πεύκης καὶ πίτυος προανθοῦντα στροβίλια. καὶ πυθμένες. καὶ τῶν αἰδοίων αἱ βάλανοι (Ar. Th. 516). καὶ τῶν βαλάνων τὰ ἀγγεῖα
(κύτταρος· κυττάρους τὰ κοῖλα ἔλεγον ἀγγεῖα καὶ χωρητικά. διὰ τοῦτο καὶ τὰς τῶν σφηκῶν κατατρήσεις καὶ τὰς τῶν αἰδοίων βαλάνους ἐκ μεταφορᾶς κυττάρους λέγουσι. ὁ δὲ Θεόφραστος προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος κύτταρον προσαγορεύει) cf. 4637
κύτος· σῶμα. ὄγκος (Soph. El. 1142). χώρημα [ad 47]
[ad 48] τὸ δεκτικὸν χώρημα, καθὼς ποτήριον [ad 48] [49]
κύφελλα (Callim. fr. CCC)· τὰ νέφη. νεφέλη γνοφώδης, ὁμίχλη, ὁμιχλῶδες κατάστημα
κύφερον ἢ κυφήν· κεφαλήν. Κρῆτες
κυφόν (β 16)· καμπύλον. κυρτόν. διὰ γῆρας ἐπικεκυρτωμένον (Ar. Ach. 703)

COD. 4700 κυρραννή Phot. 191, 25 4 cf. σκυρθαλίας 5 κυρακίσκους 7 cf. κύβεθρα, κύστερος 10 κύρτα 12 Κυρτεῖδαι C. I. n. 192 ⟨24 δὲ τὸ ἄτοκον?⟩ 31 κυσίαι, πασχητίαι 32 κυσοβάκχαρις — κυσσὸν μερίζων — μερ| 33 κυσοδακνία, ψωρία 34 |λακῶν 35 καθαρίσειν (cf. πυρολαμπίς) 39 cf. ad 4707 40 σπογγίτις 45 ζώμη ῥύσις 46 στροβήλια ⟨51 κυφέραν?⟩ 53 κυφῶν

HES. 4701 κύρρασι (Ar. Eqq. 272)· τοῖς κέρασι[ν ἐπιτυχεῖν] κρούσαντ.. 6 κύρσας (Γ 32 Ψ 428)· ἐπιτυχών, εὑρών, κύριος γενόμενος 8 κύριος· ἄρχων, βασιλεύς 13 κυρσεῖν· τοῖς κέρασιν ἐπιτυχεῖν ⟨κυρίσσειν⟩. εὑρεῖν ⟨κῦρσαι⟩. † εὑρίσκω ⟨ὑρρίσκῳ⟩ Ad 16 καὶ τὸ ὑψηλὸν καὶ μετέωρον κῦμα (Δ 426) 19 κυρῶδα· ὀλέκρανα ⟨κύβωλα⟩ 20 κυρώκω (ε 267)· θυλάκω ⟨κωρύκω⟩ 23 κύσαι (ω 236)· τῷ στόματι φιλῆσαι 29 κυσήγη· ῥοιά ⟨κύτινοι· ῥοᾶς ...⟩ Ad 47 βάθος (schol. Psalm. LXIV 7) Ad 48 κυττοί· — ἢ εἶδος ἄνθους Διονυσιακοῦ ⟨κιττός⟩ 49 Κύτορον (Β 853)· πόλιν Παφλαγωνίας

κύφων (Cratin. p. 42 Posidipp. p. 528)· ὅπερ ἔνιοι συνάγχην καλοῦσιν. δηλοῖ δὲ καὶ δεσμὸν ξύλινον ἢ ξύλον βασανιστικὸν κολαστήριον, ᾧ †κατέτεμνον τοὺς θανάτῳ κατακεκριμένους. τάσσεται δὲ καὶ ἐπὶ πάντων τῶν δυσχερῶν καὶ ὀλεθρίων (Archiloch. fr. 178). ἔστι γὰρ καὶ χιτῶνος εἶδος. καὶ κυφωνισμὸς ἐπὶ τῶν τιμωριῶν. καὶ ἐπικεκαμμένη ῥάβδος ⟨currus⟩ κύφων

κυχράνος (Ar. HA. VIII 14, 6)· εἶδος ὀρνέου ⟨2610⟩

κύψαι (Archil. fr. 34)· ἀπάγξασθαι

κυψέλαι καὶ κυψελίδες· ὁ ἐν τοῖς ὠσὶν ῥύπος συνιστάμενος (Com. V p. 559). καὶ τὰ σιτηρὰ ἀγγεῖα (Ar. Pac. 631). καὶ τὰ κενὰ σμήνη. καὶ τοῦ ὠτὸς τὸ ἔγκοιλον. καὶ τῆς καμίνου μέρος τι

κυψέλη· πλεκτὸν ἀγγεῖον μελισσῶν

κυψελίδες· μελισσοφάτναι

κυψελίς· ὁ ἐν τοῖς ὠσὶ ῥύπος

κύψελον· κύβερτον μελισσῶν

κύψελος· (Ar. HA. IX 21, 1)· ὄρνις ποιός, ὅμοιος χελιδόνι

κύων· ὁ ἐλαυνομένου τοῦ σιδήρου τοῦ ἀργοῦ ἐξαλλόμενος σπινθήρ (Eubul. fr. I 7 p. 242). οἱ δὲ τὴν Ἐρινῦν (Aesch. Cho. 924). οἱ δὲ τὴν νόσον τὴν οὕτω λεγομένην κύνα. δηλοῖ δὲ καὶ τὸ ἀνδρεῖον μόριον. καὶ τὸ ὑλακτοῦν ζῶον. καὶ τὸν ἀναιδῆ (Φ 481). καὶ τὸ ἄστρον (Χ 29). καὶ τὸ θαλάσσιον ζῶον (μ 96). καὶ ὑπὸ τῶν κυβευτῶν βόλον τινά, ὃς Χῖος καλεῖται

κύων ἐπὶ δεσμά· παροιμία [ad 63]

κύων παρ' ἐντέροισι· παροιμία ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρακειμένων

κῶα· ἐνέχυρα

κωάζειν· ἀστραγαλίζειν ⟨4792⟩. ἐνεχυράζειν ⟨3223. 3824⟩

κωαθείς· ἐνεχυριασθείς

κῶας (γ 38)· κώδιον. τάπητα [post 68] [69]

κώβαλοι· κύτινοι ῥοιῶν ⟨4744⟩

κῶβαξ· ὁ μέγας τέττιξ

κωβήλη· συνουσία

κωβηλίνη· ἠπήτρια. καὶ βελόνη

κωβῖτις (Ar. HA. VI 14, 4)· ἡ λευκὴ ἀφύη

Κωδάλου χοῖνιξ· παροιμία, ὡς μείζοσι μέτροις κεχρημένου ἀγορανόμου

κωδία (Ξ 499)· κωδίς. κεφαλὴ χωρὶς σώματος [77]

κώδιον (Philemo p. 10)· σκῦλον, ἢ δέρμα προβάτου χωρὶς σώματος ⟨v. κύλου h. e. κοῦλον⟩

κωδύα (Theophr. Ath. 72 C)· ἡ τῆς μήκωνος κεφαλή [80]

†Κωδ.ης· γένος ἰθαγενῶν Ἀθήνησιν ⟨4816⟩

κωδωνίσας (Anaxandr. p. 168)· πειράσας. ἠχήσας

κωδωνίσαι· δοκιμάσαι. διαπειράσαι. ἀπὸ τῶν φυλάκων, οἳ τοὺς κώδωνας ἐκρότουν ἐπὶ πειρασμῷ τῶν γρηγορούντων

κωδωνίσω (Ar. Ran. 78)· δοκιμάσω. ἀπὸ τῶν ἵππων, ἢ ὀρτύγων

κωδωνοφορῶν (Ar. Avv. 841)· οἱ περιπολάρχαι ἐπὶ τοὺς φύλακας ἐρχόμενοι, κώδωνα διέσειον, καὶ οὕτως ἐξεπείραζον τὸν καθεύδοντα. ἀπὸ δὲ τῶν ὀρτύγων ἡ χρῆσις. τοὺς γὰρ ὑπομείναντας τὸν ἦχον τοῦ κώδωνός φασιν ἐπιτηδείως ἔχειν πρὸς μάχην. φασὶ δὲ καὶ τοὺς ἵππους τοῖς κώδωσιν ἐξετάζεσθαι

κώδων (Aesch. Sept. 399)· σάλπιγξ, ἠχεῖον, κύμβαλον. μήκων. κάλυξ

κῶθα· ποτήρια

κῶθος (Nic. fr. 141)· κωβιός

†κωθύλους· ὄνους ⟨κανθηλίους?⟩

κώθων· ἄτακτος μέθυσος ⟨ἀκρατοκώθων⟩. μόνωτον ποτήριον κεράμειον (Com.). εἶδος ποτηρίου ⟨3220⟩

κωθωνίσαι· μεθύσαι ⟨3219⟩

Κῶια (Ar. HA. II 2, 10)· ἀστράγαλοι ⟨4766⟩

κώϊον· ἐνέχυρον ⟨ad 4765⟩. καὶ ἱμάτιον ⟨4860⟩

κώκαλον· †παλαιόν. καὶ εἶδος ἀλεκτρυόνος [95—97]

κωκυτός· κοπετός, θρῆνος, ὀδυρμός

COD. 53 κυφῶν ἢ ... κατακεκριμένους post 52 55 cf. ἔκυψεν 56 |λλίδες — ὑποσυνιστάμενος — σκήνη — ἔγκυλον 58 κυψέλικες 65 cf. κοῖον κοῦα κώιον κῷον 73 ἠπίτρια καὶ βελόνη] post 72 74 κωβῆτις· ἡ λευκία φυλή ⟨76 κώδεια, κώδη?⟩ 79 κωδία, μύκονος 82 κωδονήσας 83 |νῆσαι 84 |νήσω 85 διασεῖον — ἐκπείραζον 86 ἤχιον κάμβαλον μύκων 88 κῶθυ 90 μονόωτον 91 |νῆσαι

HES. Ad 63 ἐπὶ τῶν ἑαυτοὺς εἰς κολάσεις ἐπιδιδόντων. λέγεται δὲ καὶ βοῦς ἐπὶ δεσμά Post 68 ὀφθαλμούς ⟨3586⟩ 69 κώβαλα· πανουργήματα ⟨κο—⟩ 77 κωδίκιλλα· σύμβουλα ἀρχαί 80 κώδιξ· βιβλίον νόμιμον 95 κωκύει (θ 527)· βοᾷ. θρηνεῖ, κλαίει 96 κωκύσασα (Σ 71)· θρηνήσασα 97 κώκυσε (Σ 37)· μετὰ θρήνων ἀνεβόησε

? κωκυτοιρεῖν· θρηνεῖν

κωκυτός· θρῆνος, καὶ τὰ ὅμοια (Χ 447). καὶ ὄνομα ποταμοῦ ἐν ᾅδου (κ 514)·

Κωκυτὸς ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ

κῶλα· πόδες. σκέλη. ὀστᾶ. μέλη ⟨3304⟩. κερκίδες

κωλαβοί· λάσταυροι [4803]

κωλακρέται (Ar. Av. 1541)· ἀργυρικοὶ ταμίαι, οὓς τινες οἴονται μόνου τοῦ δικαστικοῦ προΐστασθαι

† κωλανιζόμενοι· τάχει χρώμενοι ἀνέμοις ἴσῳ [6. 7]

κωλέα· μέρος κρέατος. [ad 8] τινὲς σκέλος ὑὸς ὀπίσθιον. ἢ Περσικῆς τὸ ἐδώδιμον

κώλειρ (Lacon.)· τὸ προτιθέμενον ἆθλον τοῖς ἀγωνιζομένοις

† κωλετήναις· ἀσκαλαβώταις ⟨4823⟩

κωλήν· κωλεός

κωλῆνες (Eur. fr. 678)· ἀκροκώλια

κωλίαν (Boeot. Cret.)· ἰγνύαν. τὴν γαστροκνημίαν. τὴν κνήμην

Κωλιάς (Herod. VIII 96)· ἀκτὴ εἰς θάλασσαν ἐξέχουσα· καὶ ἴσως διὰ τὸ κώλῳ .....

Κωλιάς (Ar. Lys. 2)· Ἀφροδίτης ἐπὶ Κωλιάδος ἐστὶν ἱερὸν ἐν τῇ Ἀττικῇ. ὁ δὲ τόπος λέγεται Κωλιάς, ἐπεὶ ἐκκείμενός ἐστιν, ὅμοιος ἀνθρώπου κώλῳ. ἔστι δὲ καὶ Δήμητρος ἱερὸν αὐτόθι πολύστυλον

Κωλιεῖς· γένος Ἰθαγενῶν, ὅπερ ἐκ τῆς Κωλιάδος ⟨4781⟩

κωλική· Σικελική ⟨Σκυθική ?⟩

κώλοισι (Callim. ep. LXX 3)· ποδίοισι ⟨ποσί⟩

κωλύμη (Thuc. I 92)· † μεμφώδη

Κωλυσαμένας· ὁ Ἐμπεδοκλῆς οὕτω καλεῖται, ὡς ὑπισχνούμενος ἐφέξειν τοὺς ἀνέμους

κωλύσω· λυπήσω

κωλυτήρ· σημεῖόν τι ἐν θυτικῇ. καὶ θυσία τις κωλυτήρια

κωλώτης (Ar. HA. IX 2, 7)· ἀσκαλαβώτης. ἔλεγον δὲ αὐτὸν καὶ γαλεώτην· δοκεῖ δὲ αὐτὸς εὐστόχω(ς) ἅλλεσθαι περὶ τὰς μυίας

κῶμα (Ξ 359)· κοίμημα, ὕπνος ληθώδης. καταφορὰ ὕπνου βαθέος (Nic. Al. 458)

κωμάδδειν (P. Lyr. Gr. fr. 11 p. 1029)· ὀρχεῖσθαι

κωμάζει (Anacreo)· κῶμον ἢ (δρᾶμα) ᾄδει. ὑβρίζει μετὰ μέθης

κῶμαι· ἀγυιαί, ῥῦμαι

κωμαίνει· νυστάζει

κωμακόν (Theophr. IX 7)· ἀρωματικόν τι

κωμαστήν (Ar. Nub. 606 ?)· τρυφῶν μετ' ᾠδῆς

κωμαστοῦ· τοῦ κωμάζοντος, τερπομένου μετ' ᾠδῆς

† κωμᾶται· μαγεύει

κώμη· ἄμφοδον, χωρίον

† κωμική· Ἀττική ⟨Cyrill.⟩

‡ κωμαίνεσθαι· κείρασθαι

κωμῆτις (Arist. Lys. 5)· γείτων. Κῶμαι γὰρ τὰ ἄμφοδα

† κωμμωνία· κοροκόσμια

κῶμοι· ἀσελγῆ ᾄσματα πορνικά, συμπόσια, ᾠδαί

κῶμος· εἶδος ὀρχήσεως ἢ μέλους τινός

κώμυθα (Cratin. fr. CLVII Theocr. IV 18)· δάφνην, ἣν ἱστῶσι (πρὸ) τῶν πυλῶν. δηλοῖ δὲ καὶ δέσμην χόρτου, καὶ τὰ κατ' ὀλίγον τῶν δραγμάτων

κωμῳδοί· κωμικοί, τραγῳδοί, καὶ χορευταὶ τραγῳδοί, οἱ τραγικοὶ ποιηταὶ διδάσκαλοι

κωμῳδούμενοι· παιζόμενοι παρὰ τὴν τραγῳδίαν

κωμῳδοῦντες· θριαμβεύοντες, πομπεύοντες [44]

κώνα· βέμβιξ ⟨κῶνος⟩

κωνᾶν· περιδινεῖν

..νεῖ· περιέρχεται

κωνεία· νάρθηκα ⟨4851⟩. καὶ πόας εἶδος (Ar. R. 1051)

κωνῆσαι (Ar. fr. XXXV 1157)· πισσοκωνῆσαι· καὶ κύκλῳ περιενεγκεῖν. καὶ πισσοκώνητον μόρον λέγουσιν, ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθάνωσιν. Αἰσχύλος Κρήσσαις (fr. 113) καὶ Κρατῖνος (fr. CLXVIII). Πισσοκωνία γὰρ ἡ νῦν πίσσα, ᾗ χρίουσι τὰ παρίσθμια τῶν προβάτων

COD. 4800 ὀδύστυγος 1 κωλαβοίλας, ταῦροι 5 ἴσα 8 κωλεά — ἐγκαλίς 11 κωλεῖν 12 ἀκρα| 14 διατῶ κώλω 15 ἐπικολιάδος — κολιὰς — ἐγκ| 24 κοίμισμα — λιθώδης 25 κωμαδεῖν 26 κωμωνεῖ ᾄδει 29 cf. κάγκαμον 30 κωμάστην 35 κυμήνασθαι Theognost. 21, 21 36 κώμη τίς 37 |οσμία 39 μένους 42 πεζόμενοι 47 νείω 49 κωνεῖσαι· πισσοκοπῆσαι — πισσοκόνιτον — Αἰ. κ. Κρ. κρήσαις — πισιδία τί χρ|

HES. 4803 κωλαβρισθείησαν (Iob. V 4)· κωπηθείησαν. ποδοκοπηθείησαν 6 κῶλα πεσεῖν (Hebr. III 17)· τὰ ἄρθρα 7 κωλαρίας· τοὺς ἐκ τῆς ἀγέλης παῖδας ⟨κωράλια⟩ Ad 8 ἀγκαλίς. δέσμη χόρτου ⟨ad κωρεά cf. κάρφεος⟩ 44 Κῶν (Β 677)· νῆσος † πρὸς τὸν Ῥόδον, μία τῶν Κυκλάδων, ἢ τῶν Καλυδνῶν

κώνητες· θύρσοι
κώνειον· δηλητήριον, ἤτοι θανάσιμον. βοτάνη. νάρθηξ
κωνίς· ὑδρίσκη
κωνοειδῆ· τούτου τοῦ σχήματος ⟨3535⟩
κῶνοι· οἱ θύρσοι. καὶ στρόβιλοι. καὶ οἱ στρόμβοι
κῶνος· περικεφαλαία. καὶ ὁ τῆς πίτυος καρπός (Alex. Myndius). καὶ παρὰ τοῖς γεωμέτραις σχῆμά τι στερεόν. καὶ στρόβιλος
Κῶνος (Hipponact.)· τόπος ἐν Κλαζομεναῖς
†κωνόσαρτον· ξύει ⟨App. prov. III 56⟩
κωνοφόρον (Theophr. III 9, 4)· στροβιλοφόρον
κωνωποθήρας· ὄρνις ὁ κώνωπας θηρεύων
κῶον· ἱμάτιον ⟨4793⟩. ἢ ἐνέχυρον ⟨4765⟩
Κῶος Χῖον· [ad 61]
Κωπαΐδες (Antiphan. p. 70)· ἐν τῇ Κωπαΐδι λίμνῃ ἐγχέλεις μέγισται γίνονται. ταύτας οὖν τὰς ἐγχέλεις Κωπαΐδας λέγουσι [63]
κῶπ..· τὸ ἄνω κώπαιον, τὸ δὲ κάτω πλάτην
κωπεῖς (Ar. Lys. 422)· τὰ εἰς κώπας εὔθετα ξύλα
κωπέτας· σφονδύλους μεγάλους ἰχθύων [67]
κώπη· ἡ τοῦ ξίφους λαβή, καὶ ἐγχειριδίου, καὶ ἡ τῆς κώπης τῆς νεώς
κωπηλάται· οἱ ταῖς κώπαις περιστρέφοντες τὸ πλοῖον
κωπητήρ (Hermipp. fr. V p. 404)· ὁ σκαλμὸς τῆς κώπης
†κωπῆλα· κοπεώδη. μακρά
κώρα· ὕβρις
(κωραλίας· τοὺς ἐκ τῆς ἀγέλης παῖδας) 4807
κωράλιον· παιδάριον, κόριον
κωραλλεῖς· οἱ ἀναλέγοντες τὸ κουράλιον περὶ Σικελίαν
κωραλίσκον (Cretes)· μειράκιον
κωρέα· †ἄκρα. †ἀρχή. δέσμη ⟨4808⟩
†κωρία· κουρίς ⟨3471⟩, κουρεύτρια
†κωριδάμνας· ἀκρίς
κωρίδες· γρᾶες (Epicharm. Simonid.). ζῷον θαλάσσιον
κωρίθιον· χόρτον
κωρίς· ψαλίς
κωρυκαῖος ἠκροάζετο (Menand. fr. II p. 113)· παροιμία (παρὰ) τοῖς κωμικοῖς, ὡς θεοῦ τινος ἐπακροωμένου
κωρυκίδιον· ὅπερ οἱ τοξεύοντες δερμάτινον κοίλωμα τῷ εὐωνύμῳ πήχει περιτιθέασιν
κώρυκος· θυλάκιον. ἔστι δὲ δερμάτινον ἀγγεῖον, ὅμοιον ἀσκῷ. οἱ δὲ πλοῖον· οἱ δὲ κόγχην (Macedon.)
Κῶς· νῆσος. καὶ δέρμα. εἱρκτή, δεσμωτή(ριον Corinthii)
κωτίλλει· δολίως ἀπατᾷ
κωτίλλουσα (Hesiod. opp. 371)· κολακεύουσα
κωτίλλω· κολακεύω
κωτίλη (Anacr. Simonid.)· λαλιστάτη
κώτιλον· ἡδύ. τρανές. λάλον, εὔστομον
κώτιλος (Soph. fr. 618)· πανοῦργος, ἀπατηλός, κολακευτής, ἀπατεών, δόλιος. λάλος
κωφᾷ· πηροῖ
κωφάν· κωφήν, ἀναίσθητον
κωφεῖ· κακουργεῖ, βλάπτει. κολούει. πηροῖ
†κῶφες· νεκυσία. κωφά [96]
κωφή· ἀναίσθητος. νεκρά
κωφῆσαι· κολοῦσαι
κώφησις· κόλουσις
κωφητέος· βλαπτέος
κωφίας· ὄφεως εἶδος, ὁ καὶ τυφλίας
κωφόν (Callim. ep. LXIX 2)· ἀναίσθητον. μωρόν. τὸν ῥοῖζον μὴ ποιοῦν(τα)
κωφός (Herod. I 34)· οὔτε λαλῶν οὔτε ἀκούων. ἐννεός. ἀσθενής
κωχεύει· μετεωρίζει. φέρει. κουφίζει. τὸ δὲ αὐτὸ καὶ κωφεύει
κωχεύουσιν· ὀχοῦσι. μετεωρίζουσι. Σοφοκλῆς Καμικίοις (fr. 303)·
πιστοί με κωχεύουσιν ἐμ φορᾷ δέμας

COD. 54 στρόβυλοι 55 κῶνον — στρόβηλος 58 στροβη| 59 κωτοπτο| 62 κωπαΐδη — |ίδες λέγονται 64 κῶπ[ιζ] ἐ 65 κώπεις ⟨71 κώληπα (Ψ 726) et κοπώδη· μακρά?⟩ 74 κοραλλεῖς — π σικελίας 79 κωριδεστράες 82 κωρύκεος — ἐπακροαμένου 84 λόγχην 85 cf. κᾶς, κῶας 87. 88 κωλ— 92 πληροῖ 94 κολύει cf. οὐ κωφεῖ 98. 99 κωλῦσαι — κώλυσις 4904 μεται| 5 μετεωρίζουσι. πιστοὶ με σοφοκλῆς καμίκην κωχεύουσιν ἐμφοραιδέσμας

HES. Ad 61 ὁ Κῶος ἀστράγαλος, ὁ ἕξ ...... ὁ μὲν γὰρ Χῖος ἐδύνατο ἕν· ὁ δὲ Κῶος ἕξ 63 Κῶπαι (B 502)· πόλις τῆς Βοιωτίας 67 κωπετός· θρῆνος ⟨κοπετός⟩ 96 κωφεῦσαι (Iob. XIII 5)· ἀναισθητῆσαι. ἡσυχάσαι, σιωπῆσαι

?κωκυτοιρεῖν· θρηνεῖν

κωκυτός· θρῆνος, καὶ τὰ ὅμοια (Χ 447). καὶ ὄνομα ποταμοῦ ἐν ᾅδου (κ 514)·

Κωκυτὸς ὅς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ

κῶλα· πόδες. σκέλη. ὀστᾶ. μέλη ⟨3304⟩. κερκίδες

κωλαβοί· λάσταυροι [4803]

κωλακρέται (Ar. Av. 1541)· ἀργυρικοὶ ταμίαι, οὓς τινες οἴονται μόνου τοῦ δικαστικοῦ προΐστασθαι

†κωλανιζόμενοι· τάχει χρώμενοι ἀνέμοις ἴσῳ [6. 7]

κωλέα· μέρος κρέατος. [ad 8] τινὲς σκέλος ὑὸς ὀπίσθιον. ἢ Περσικῆς τὸ ἐδώδιμον

κώλειρ (Lacon.)· τὸ προτιθέμενον ἆθλον τοῖς ἀγωνιζομένοις

†κωλετήναις· ἀσκαλαβώταις ⟨4823⟩

κωλήν· κωλεός

κωλῆνες (Eur. fr. 678)· ἀκροκώλια

κωλίαν (Boeot. Cret.)· ἰγνύαν. τὴν γαστροκνημίαν. τὴν κνήμην

Κωλιάς (Herod. VIII 96)· ἀκτὴ εἰς θάλασσαν ἐξέχουσα· καὶ ἴσως διὰ τὸ κώλῳ .....

Κωλιάς (Ar. Lys. 2)· Ἀφροδίτης ἐπὶ Κωλιάδος ἐστὶν ἱερὸν ἐν τῇ Ἀττικῇ. ὁ δὲ τόπος λέγεται Κωλιάς, ἐπεὶ ἐκκείμενός ἐστιν, ὅμοιος ἀνθρώπου κώλῳ. ἔστι δὲ καὶ Δήμητρος ἱερὸν αὐτόθι πολύστυλον

Κωλιεῖς· γένος Ἰθαγενῶν, ὅπερ ἐκ τῆς Κωλιάδος ⟨4781⟩

κωλική· Σικελική ⟨Σκυθική?⟩

κώλοισι (Callim. ep. LXX 3)· ποδίοισι ⟨ποσί⟩

κωλύμη (Thuc. I 92)· †μεμφώδη

Κωλυσανέμας· ὁ Ἐμπεδοκλῆς οὕτω καλεῖται, ὡς ὑπισχνούμενος ἐφέξειν τοὺς ἀνέμους

κωλύσω· λυπήσω

κωλυτήρ· σημεῖόν τι ἐν θυτικῇ. καὶ θυσία τις κωλυτήρια

κωλώτης (Ar. HA. IX 2, 7)· ἀσκαλαβώτης. ἔλεγον δὲ αὐτὸν καὶ γαλεώτην· δοκεῖ δὲ αὐτὸς εὐστόχω(ς) ἅλλεσθαι περὶ τὰς μυίας

κῶμα (Ξ 359)· κοίμημα, ὕπνος ληθώδης. καταφορὰ ὕπνου βαθέος (Nic. Al. 458)

κωμάδδειν (P. Lyr. Gr. fr. 11 p. 1029)· ὀρχεῖσθαι

κωμάζει (Anacreo)· κῶμον ἢ (δρᾶμα) ᾄδει. ὑβρίζει μετὰ μέθης

κῶμαι· ἀγυιαί, ῥῦμαι

κωμαίνει· νυστάζει

κωμακόν (Theophr. IX 7)· ἀρωματικόν τι

κωμαστήν (Ar. Nub. 606?)· τρυφῶν μετ' ᾠδῆς

κωμαστοῦ· τοῦ κωμάζοντος, τερπομένου μετ' ᾠδῆς

†κωμᾶται· μαγεύει

κώμη· ἄμφοδον, χωρίον

†κωμική· Ἀττική ⟨Cyrill.⟩

†κωμαίνεσθαι· κείρασθαι

κωμῆτις (Arist. Lys. 5)· γείτων. Κῶμαι γὰρ τὰ ἄμφοδα

†κωμμωνία· χοροκόσμια

κῶμοι· ἀσελγῆ ᾄσματα πορνικά, συμπόσια, ᾠδαί

κῶμος· εἶδος ὀρχήσεως ἢ μέλους τινός

κώμυθα (Cratin. fr. CLVII Theocr. IV 18)· δάφνην, ἣν ἱστῶσι (πρὸ) τῶν πυλῶν. δηλοῖ δὲ καὶ δέσμην χόρτου, καὶ τὰ κατ' ὀλίγον τῶν δραγμάτων

κωμῳδοί· κωμικοί, τραγῳδοί, καὶ χορευταὶ τραγῳδοί, οἱ τραγικοὶ ποιηταὶ διδάσκαλοι

κωμῳδούμενοι· παιζόμενοι παρὰ τὴν τραγῳδίαν

κωμῳδοῦντες· θριαμβεύοντες, πομπεύοντες [44]

κῶνα· βέμβιξ ⟨κῶνος⟩

κωνᾶν· περιδινεῖν

..νεῖ· περιέρχεται

κωνεία· νάρθηκα ⟨4851⟩. καὶ πόας εἶδος (Ar. R. 1051)

κωνῆσαι (Ar. fr. XXXV 1157)· πισσοκωνῆσαι· καὶ κύκλῳ περιενεγκεῖν. καὶ πισσοκώνητον μόρον λέγουσιν, ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθάνωσιν. Αἰσχύλος Κρήσσαις (fr. 113) καὶ Κρατῖνος (fr. CLXVIII). Πισσοκωνία γὰρ ἡ νῦν πίσσα, ᾗ χρίουσι τὰ παρίσθμια τῶν προβάτων

COD. 4800 ὀδύστυγος 1 κωλαβοίλας, ταῦροι 5 ἴσα 8 κωλεά — ἐγκαλίς 11 κωλεῖν 12 ἄκρα| 14 διατῶ κώλω 15 ἐπικολιάδος — κολιάς — ἐγκ| 24 κοίμισμα — λιθώδης 25 κωμαδεῖν 26 κωμωνεῖ ᾄδει 29 cf. κάγκαμον 30 κωμάστην 35 κυμήνασθαι Theognost. 21, 21 36 κώμη τίς 37 |οσμία 39 μένους 42 πεζόμενοι 47 νείω 49 κωνεῖσαι· πισσοκοπῆσαι — πισσοκόνιτον — Αἰ. κ. Κρ. κρήσαις — πισσίδια τί χρ|

HES. 4803 κωλαβρισθείησαν (Iob. V 4)· κωπηθείησαν. ποδοκοπηθείησαν 6 κῶλα πεσεῖν (Hebr. III 17)· τὰ ἄρθρα 7 κωλαρίας· τοὺς ἐκ τῆς ἀγέλης παῖδας ⟨κοράλια⟩ Ad 8 ἀγκαλίς. δέσμη χόρτου (ad κωρεά cf. κάρφεος) 44 Κῶν (Β 677)· νῆσος †πρὸς τὸν Ῥόδον, μία τῶν Κυκλάδων, ἢ τῶν Καλυδνῶν

κώνητες· θύρσοι

κώνειον· δηλητήριον, ἤτοι θανάσιμον. βοτάνη. νάρθηξ

κωνίς· ὑδρίσκη

κωνοειδῆ· τούτου τοῦ σχήματος ⟨3535⟩

κῶνοι· οἱ θύρσοι. καὶ στρόβιλοι. καὶ οἱ στρόμβοι

κῶνος· περικεφαλαία. καὶ ὁ τῆς πίτυος καρπός (Alex. Myndius). καὶ παρὰ τοῖς γεωμέτραις σχῆμά τι στερεόν. καὶ στρόβιλος

Κῶνος (Hipponact.)· τόπος ἐν Κλαζομεναῖς

†κωνόσαρτον· ξύει ⟨App. prov. III 56⟩

κωνοφόρον (Theophr. III 9, 4)· στροβιλοφόρον

κωνωποθήρας· ὄρνις ὁ κώνωπας θηρεύων

κῶον· ἱμάτιον ⟨4793⟩. ἢ ἐνέχυρον ⟨4765⟩

Κῶος Χῖον· [ad 61]

Κωπαΐδες (Antiphan. p. 70)· ἐν τῇ Κωπαΐδι λίμνῃ ἐγχέλεις μέγισται γίνονται. ταύτας οὖν τὰς ἐγχέλεις Κωπαΐδας λέγουσι [63]

κῶπ..· τὸ ἄνω κώπαιον, τὸ δὲ κάτω πλάτην

κωπεῖς (Ar. Lys. 422)· τὰ εἰς κώπας εὔθετα ξύλα

κωπέτας· σφονδύλους μεγάλους ἰχθύων [67]

κώπη· ἡ τοῦ ξίφους λαβή, καὶ ἐγχειριδίου, καὶ ἡ τῆς κώπης τῆς νεώς

κωπηλάται· οἱ ταῖς κώπαις περιστρέφοντες τὸ πλοῖον

κωπητήρ (Hermipp. fr. V p. 404)· ὁ σκαλμὸς τῆς κώπης

†κωπῆλα· κοπεώδη. μακρά

κώρα· ὕβρις

⟨κωραλίας· τοὺς ἐκ τῆς ἀγέλης παῖδας⟩ 4807

κωράλιον· παιδάριον, κόριον

κωραλλεῖς· οἱ ἀναλέγοντες τὸ κουράλιον περὶ Σικελίαν

κωραλίσκον (Cretes)· μειράκιον

κωρέα· †ἄκρα. †ἀρχή. δέσμη ⟨4808⟩

†κωρία· κουρίς ⟨3471⟩, κουρεύτρια

†κωριδάμνας· ἀκρίς

κωρίδες· γρᾶες (Epicharm. Simonid.). ζῷον θαλάσσιον

κωρίθιον· χόρτον

κωρίς· ψαλίς

κωρυκαῖος ἠκροάζετο (Menand. fr. II p. 113)· παροιμία (παρὰ) τοῖς κωμικοῖς, ὡς θεοῦ τινος ἐπακροωμένου

κωρυκίδιον· ὅπερ οἱ τοξεύοντες δερμάτινον κοίλωμα τῷ εὐωνύμῳ πήχει περιτιθέασιν

κώρυκος· θυλάκιον. ἔστι δὲ δερμάτινον ἀγγεῖον, ὅμοιον ἀσκῷ. οἱ δὲ πλοῖον· οἱ δὲ κόγχην (Macedon.)

Κῶς· νῆσος. καὶ δέρμα. εἱρκτή, δεσμωτή(ριον Corinthii)

κωτίλλει· δολίως ἀπατᾷ

κωτίλλουσα (Hesiod. opp. 371)· κολακεύουσα

κωτίλλω· κολακεύω

κωτίλη (Anacr. Simonid.)· λαλιστάτη

κώτιλον· ἡδύ. τρανές. λάλον, εὔστομον

κώτιλος (Soph. fr. 618)· πανοῦργος, ἀπατηλός, κολακευτής, ἀπατεών, δόλιος. λάλος

κωφᾷ· πηροῖ

κωφάν· κωφήν, ἀναίσθητον

κωφεῖ· κακουργεῖ, βλάπτει. κολούει. πηροῖ

†κῶφες· νεκυσία. κωφά [96]

κωφή· ἀναίσθητος. νεκρά

κωφῆσαι· κολοῦσαι

κώφησις· κόλουσις

κωφητέος· βλαπτέος

κωφίας· ὄφεως εἶδος, ὁ καὶ τυφλίας

κωφόν (Callim. ep. LXIX 2)· ἀναίσθητον. μωρόν. τὸν ῥοῖζον μὴ ποιοῦν(τα)

κωφός (Herod. I 34)· οὔτε λαλῶν οὔτε ἀκούων. ἐννεός. ἀσθενής

κωχεύει· μετεωρίζει. φέρει. κουφίζει. τὸ δὲ αὐτὸ καὶ κωφεύει

κωχεύουσιν· ὀχοῦσι. μετεωρίζουσι. Σοφοκλῆς Καμικίοις (fr. 303)·

πιστοί με κωχεύουσιν ἐμ φορᾷ δέμας

COD. 54 στρόβυλοι 55 κῶνον — στρόβηλος 58 στροβη| 59 κωτοπτο| 62 κωπαΐδη — |ίδες λέγονται 64 κῶπ.ί.ς (ἐ) 65 κώπεις ⟨71 κώληπα (Ψ 726) et κοπώδη· μακρά?⟩ 74 κοραλλεῖς — π σικελίας 79 κωριδεστράες 82 κωρύκεος — ἐπακροαμένου 84 λόγχην 85 cf. κᾶς, κῶας 87. 88 κωλ— 92 πληροῖ 94 κολύει cf. οὐ κωφεῖ 98. 99 κωλῦσαι — κώλυσις 4904 μεται| 5 μετεωρίζουσι. πιστοί με σοφοκλῆς καμίκην κωχεύουσιν ἐμφοραιδέσμας

HES. Ad 61 ὁ Κῶος ἀστράγαλος, ὁ ἕξ ...... ὁ μὲν γὰρ Χῖος ἐδύνατο ἕν· ὁ δὲ Κῶος ἕξ 63 Κῶπαι (Β 502)· πόλις τῆς Βοιωτίας 67 κωπετός· θρῆνος ⟨κοπετός⟩ 96 κωφεῦσαι (Iob. XIII 5)· ἀναισθητῆσαι. ἡσυχάσαι, σιωπῆσαι

*Λ*

*Λᾶ*· ἐπὶ τοῦ μεγάλου καὶ τοῦ λίαν ἐτάσσετο. ὅθεν καὶ λακάνη ἡ μεγάλως κεχηνυῖα

λααν· λίθον (*B* 319). ἢ ὁρᾶν ⟨80. 274. 237⟩.

ό

ῥηγμεῖν. π (*B* 585). καὶ θυλάκιον, ἐν ᾧ οἱ ἡνίοχοι τὰς μάστιγας ἀποτίθενται (Polluc. VII 116) [post 2]

† λάανα· ἐπίστατον [4. 5]

λαβάς (Aesch. Cho. 498)· ἀντιλήψεις

† λαβάβηρ· λακανίσκη

λάβδα· ὅπλον (Eupol. p. 561 Teleclid. p. 820). ἢ στοιχεῖον ὑγρὸν καὶ ἀμετάβολον [9. 10]

λαβή· ἀφορμή. ὁρμή. καὶ ἡ τοῦ ξίφους λαβή (Alcae. fr. 33, 2)

λαβήν (Ar. Eqq. 841)· αἰτίαν

λαβήροις· ποτιστηρίοις

λάβιρος· βόθυνος

λαβίς· σκεῦος χρυσοχοϊκόν [16. 17]

λαβραγόρης· λάβρος ἐν τῷ λέγειν [ad 18]

λαβράζει· λάβρος γίνεται. ἀκολασταίνει. προπετεύεται

λαβρεία· ἡ τοῦ λόγου † ἔκληψις

λαβρεύεαι (*Ψ* 474)· μεγαληγορεῖς. προγλωσσεύῃ. ἀθρόως λέγεις, ἀμέτρως [22]

λαβρεύονται (Theocr. XIV 38 Meinek.)· ῥέουσι μεγάλα βουλεύονται. θορυβοῦσι σφόδρα

λάβρον· [ad 24] προπετές, ταχύ. μαινόμενον. βορόν [25]

λαβροσιάων· χορτασμοῦ ἀκόσμου

λαβροστομία· ἡ † διάχρηστος λαλιά

λαβρότατος· σφοδρότατος [29]

λαβρύσσει· λαβρεύει

λαβρύσσει· δειλαίνει

λαβρώνιον (Comici)· εἶδος ποτηρίου πλατέος

λαβύρινθος (Call. Del. 311)· κοχλιοειδὴς τόπος. λέγεται δὲ ἡ λέξις (καὶ?) ἐπὶ τῶν φλυάρων, παρὰ τὸ πολλοῖς κύκλοις λόγων κεχρῆσθαι

λάγανα (Ar. Eccl. 843)· εἶδος πλακουνταρίου, ὡς καπυρώδη, ἀπὸ σεμιδάλεως ἐν ἐλαίῳ τηγανιζόμενον, καὶ ἄρτοι βραχέντες ἐλαίῳ

λαγαριζόμενοι (Pherecr. fr. VI p. 313)· σκαλεύοντες. δηλοῖ δὲ τὸ πρὸς τὰς λαγόνας τὸν ἀγκῶνα προσάγειν, πυκνὰ διαπείροντα τὴν χεῖρα

λαγαρίττεται· μετριεύεται

λαγαρόν· τὸ μὴ ναστόν

† λαγαγεῖ· ἀφρίζει ⟨v. λάπη⟩

† λαγάσσαι· ἀφεῖναι ⟨λάταγας ἀφεῖναι?⟩

λαγβατόν· ἀνατετραμμένον. οἱ δὲ † λάγαν ἐμβάλλοντες

λάγγα· ἡ τῇ τροφῇ διδομένη μερίς

λαγγάζει (Antiphan. III p. 19)· ὀκνεῖ. οἱ δὲ λαγγεῖ

λαγγανώμενος· περιϊστάμενος. στραγγευόμενος

λαγγάσαι· περιφυγεῖν [45—47]

λαγγών (EM. 554, 15) [ad 48]

λαγερός· σμῖλαξ

*Λάγεσις*· θεός. Σικελοί

λαγέτης (Pind. P. X 31)· ἡγεμὼν ὄχλου συναγαγών [52—54]

λαγήναρχος· ὁ ἐξουσίαν ἔχων τοῦ οἴνου [56]

λάγνης· καταφερὴς πρὸς τὰ ἀφροδίσια

λάγνος· ὁ αἰσχρός, περὶ πορνείαν ἐπτοημένος, πόρνος

λαγοθήρας· ἀετοῦ εἶδος

λαγόνες (cf. Call. fr. CLXXXV)· σχίσμα γῆς

λαγόρεις· ἐκκλησίαι [61]

COD. 1 λεκάνη ⟨v. ἀχανῆ⟩ 13 |τητηρίοις 18 λαβραγορεῖς, λάβρως 21—23 = 23. 22. 21 23 λαβρεῦσαι 26 |μὸν ἀκόσμου ⟨27 ἀδιάκριτος?⟩ 32] post 24 λαβρόνιον 34. 35] post 36. 37 34 πυρώδη — ἀρτιβραχὴν 35 σκαλεύονται 37 μηναστὸν ⟨39 cf. ἐχάλασεν 42 cf. 277 λανίζει, ὀκλάζει⟩ 43 στρατε| 49 σμίλαξ 55 λαγι| 61 |ορεῖς

HES. Post 2 τινὲς δὲ μάστιγα· [καὶ λίθον] 4 λᾶας (*Δ* 521)· λίθος, πέτρα, ἢ πέτρος 5 λαβά· σταγών ⟨946⟩ 9 λάβεν (*Λ* 387)· ἔλαβεν 10 λαβαγούνων (*Λ* 407)· λαβοῦ τῶν γονάτων 16 λαβόμενος (Levit. II 2) δραξάμενος 17 λαβαγορεῖν (...... *Ψ* 479)· σφοδρῶς δημηγορεῖν Ad 18 προπετὴς ἐν τοῖς λόγοις (paraph. *Ψ* 479). τινὲς ἄκαιρον ἐν τῷ δημηγορεῖν 22 λαβρεῦσαι (*Ψ* 474)· λάβρως καὶ ἀθρόως λαλεῖν ⟨εἶς⟩ Ad 24 ἀθροῆν (*O* 625) 25 λάβρος· πολὺ σφοδρός (*B* 148 Greg. Naz. C. IV 48) 29 λαβρόϊον· εἶδος ποτηρίου ⟨32⟩ 45 λαγγ(ον)εύει (Byzant.)· φεύγει 46 λαγηίς· δόρυ ⟨λάγκη Byz.⟩ 47 λαγγαρεῖ· ἀποδιδράσκει ⟨42 an 383?⟩ Ad 48 μετάβολος, ἔμπορος ⟨ad μάγγων⟩ 52 λαγεινά· δεινά ⟨ἀλγεινά⟩ 53 λάγκει· ἐφὄχει 54 λαγής· ὁ εἰς τὰ ἀφροδίσια καταφ(ε)ρής 56 λάγνα· κάμπρα. κιβωτός ⟨342⟩ 61 λαγόσι (Symm. Iob. XL 11), λαγόνας (Sirac. XLVII 20)

λαγρονίτης· εἶδος πλακοῦντος
†λαγρόν ἢ λαγρός· κραββάτιον
λαγχάνειν· κληροῦν
λαγωΐνης· ὄρνις ποιός
λαγών· ὁ κενεών. τὸ ἰσχίον
†λαγώνεια· λαγοῦ κρέα
λαγώς (Amips. com. p. 708)· ὁ χερσαῖος, λαγός δὲ ὁ θαλάσσιος καὶ ποτάμιος
λαγὼς καθεύδων· [ad 70]
λαγὼς περὶ τῶν κρεῶν· [ad 71]
λάδανον· τὸ μὲν ἀπὸ τῶν πωγώνων τῶν αἰγῶν [ad 72]. τὸ δὲ ἀπὸ τῆς βοτάνης λήδωνος (Herod. III 112)
λάδας· ἔλαφος νεβρίας [75]
†λάδομαι· γνώμην τίθεμαι
Λαδωγενής· ἡ Ἀφροδίτη ⟨Δάφνη?⟩. ὅτι ἐπὶ τῷ ἐν Ἀρκαδίᾳ ποταμῷ Λάδωνι ἐγεννήθη
Λάδων (Call. Iov. 18)· ποταμὸς Ἀρκαδίας [78. 79]
λάετε· σκοπεῖτε, βλέπετε [81]
λάζειν· ἐξυβρίζειν
λάζεσθαι (Hippocr. II p. 101 K)· λαμβάνειν [84]
λαζίνης ⟨μαζ—?⟩· χαραδρίας, καλλαρίας ἰχθῦς [86]
'λαζών (Ar. Pac. 1069)· ἀλαζών
λαζύμεναι (Theocr. XVIII 46)· λαμβάνουσαι
λαήμεναι· φθέγγεσθαι ⟨125. 211⟩
†λάηται· βούληται [91]
λάθαργοι· σκώληκες. ἢ τὰ ξυόμενα ἀπὸ τῆς βύρσης ὑπὸ τῶν ἀρβήλων (Nic. Ther. 423). ἢ κύνες κρυφίως δάκνοντες ⟨130⟩
λαθάργῳ· λαθραίῳ ⟨129⟩
†λαθασμῶ· νίη. λήθη. λησμοσύνη
†λάθει· ἀκηδίᾳ ⟨λαθικάδεα? Alcaei fr. 41, 3⟩
λαθεῖν (I 537)· ἑκόντα παραπέμψαι. ἢ ὅλως εἰς ν(ο)ῦν οὐκ ἦλθεν. διὸ ἐβλήθη

λαθήβας· γέροντας
λαθικηδέα (X 83)· λανθάνειν ποιοῦντα (τὰς ἀνίας)ς
λαθικηδές· λυσίκακον. πανσίλυπον
λαθίποιν(ον)· οὐ τιμωρούμενον
λαθίνοστος· ὁ βραδύνων ἐπανελθεῖν
λαθίφρων· ἄφρων. ἐπιλήσμων
λάθρα· κρυφίως, ἠρέμα, ἡσύχως
†λάθρα· αἱ δίκαι. Ἠλεῖοι
†λαθρακάζων· χαλαιναγωγῶν. Σικελοί
λαθρ†έως· ἀγνώστως
†λαθρός· λαθραῖος, κρυφός, μυχός
†λαθροῦν· βλάπτειν
λάθυρος (Theophr. VIII 3, 1)· εἶδος ὀσπρίου
λαθών (Soph. fr. 23)· ἀγνώστως πράξας τι
λαί· ἐπὶ τῆς αἰσχρουργίας
λαιά (Tyrtae. fr. 15, 3)· ἀριστερά
λάιαν· [ad 113] κτῆσιν. Δωριεῖς ἐπὶ τῆς λείας [14]
λαίας· ἀσπίδας. Κρῆτες
λαῖβα· ἀσπίς: [ad 16]. πέλτη ⟨h. e. ΛΑΙϜΑ cf. 165⟩
†λαῖγμα· περικεφαλαίας κόσμος
λάϊγγες (ε 433)· λίθοι, ὑπὸ ὕδατος λελ(ε)ιασμένοι. ἔνιοι † φράγγες. ἄλλοι χάλικες, μικροὶ λίθοι
λαίγματα· πέμματα. οἱ δὲ σπέρματα. ἱερὰ ἀπάργματα ⟨167⟩
λαίγυος· λάσταυρος ⟨148⟩ [21]
λᾶιδος (Alcman.)· λῆδος. τριβώνιον
(λαιδραί· ἀναιδεῖς. θρασεῖς. στυγναί. τολμηραί) cf. 170
λαιδρή (Nic. Th. 689)· [ad 23] θρασεῖα
λαιδρός· λαμυρός. ἀναιδής. δεινός. θρασύς. ταχύς [ad 24]
λαΐειν· φθέγγεσθαι ⟨78. 89⟩
λάιεται· καταλεύεται. ἀπὸ τοῦ λᾶος [27]
λαιή (Iones)· ἀριστερά

COD. 68 H. e. λαγφα (ει supra) 72 ληδῶν 76 |γεν.'ς — ἐγέννησεν 80 λάτεται, σκοπεῖται, βλέπεται (υ supra) 98 λαθηκήδεα 99 λαθηκῆδες, λησίκακον πανσίλωπον 105 cf. ὀλκάζει, ποθολκίς 13 λαιάν — λείαν 16 cf. λαίφα, λαφθία 24 λεῖνος ⟨λῖρος?⟩ 26 λαί.-ται, καταλύ| — λαός (col. 200, 6)

HES. Ad 70 παροιμία ἐπὶ τῶν προσποιουμένων καθεύδειν Ad 71 δειλὸν ἄγαν τὸ ζῷον ὁ λαγώς. ἐλέχθη δέ, ἐπεὶ ἐκωμῴδουν ἐπὶ δειλίᾳ τοὺς Ῥηγίνους. καὶ ἐλέχθη ἐπὶ τῶν διακινδυνευόντων τὰς ψυχάς, καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων Ad 72 καὶ τὸ κρέας 75 λαδοίατο (B 418)· λαμβάνοιτο 78 λάε· ἐψόφησεν. οἱ δὲ ἐφθέγγετο· ὁ μὲν λάε νεβρῶν τὰ ἀπάγχων (τ 236) 79 λάεσι (Γ 80)· λίθοις 81 λαεντιάριος (novic.)· λιθοξόος 84 λάζετο μῦθον (Δ 357)· ἐλάμβανε τὸν λόγον 86 λαζοίατο (B 418)· λαμβάνοιτο ⟨74⟩ 91 λαθάδαν (Eur. Hel. 829)· λάθρα Ad 98 λήθην τῶν κακῶν ἐμποιοῦντα τοῖς παισίν (X 83 paraphr.) Ad 113 ἐκκλησίαν ⟨ΛΑΙΑΝ⟩ Cf. λοίαν 14 λαιᾶναι· λεπτῦναι Ad 16 τρίβος ⟨—ων⟩ 21 λαίδιον ⟨λαιόν⟩· ἀριστερόν, εὐώνυμον Ad 23 ἀριστερά Ad 24 ἀριστερός ⟨121⟩ 27 λαίεται· καὶ κατελεύσεται ⟨126⟩

*λαιθάργῳ ποδί* (trag. adesp. fr. 182)· *λαθραίῳ* ⟨93⟩
*λαίθαργοι*· *κύνες κρύφα δάκνοντες* ⟨92⟩
*λαιθαρύζειν*· *λαμυρῶσαι. διαπράξασθαι* [ad 81]
*λαιλάξαι*· *τὴν γλῶσσαν ἐξελεῖν* ⟨235⟩
†*λαιλάπετος* (*Π* 365?)· *ὅταν συννεφὴς καὶ ἀνεμώδης ὁ ἀήρ ἐστιν*
*λαίλας* (Hipponax?)· *ὁ τύραννος ὑπὸ Λυδῶν* [35]
*λαιμά* (Menand. fr. I p. 100)· *λαμυρά* ⟨156⟩
*λαιμᾷ*· *εἰς βρῶσιν ὥρμηται*
*λαιμάζουσιν*· *ἐσθίουσιν ἀμέτρως* [39]
*λαιμᾶν*· *ἐσθίειν ἀμέτρως* [41]
*λαίμαργος*· *φάγος, ἄπληστος* (Ar. HA. VIII 2), *ἐπὶ τὸ φαγεῖν μανιώδης*
*λαιμός*· *ὁ φάρυγξ. ὁ τράχηλος. ὁ λάρυγξ. ὁ βρόγχος*
*λάϊνον*· [ad 44] *πελαργόν* ⟨—*σγικόν*?⟩. *ἢ πύργος λίθινος*
*λαινόχειρ*· *σκληρόχειρ*
*λάϊον*· *καὶ ἡ σιτόσπορος γῆ* (Dor.). *καὶ ἀριστερόν* ⟨*λαιόν*⟩
*λαιός*· *ἀριστερός. καὶ λαφός* ⟨q. v.⟩
†*λαῖπος*· *κίναιδος* ⟨155⟩, *λάσταυρος* ⟨120⟩
†*λαιπτύηρον*· *ἀναπεπλασμένον, ἰσχυρόν*
†*λαισαινοφόρος*· *ὁπλοφόρος*
*λαισάς*· *ἡ παχεῖα ἐξωμίς*
(*λάισασθαι* [Dor.]· *κτήσασθαι*) cf. 159. 834
†*λαίσεα*· *μήλη* ⟨*λασιόμηλον*?⟩
*λαισήϊα* (*E* 453)· *θυρεοῦ γένος* [54]
†*λαίσιτος*· *κίναιδος* ⟨148⟩. *πόρνη* ⟨376⟩
*λαίσκαπραν*· *λαμυράν* ⟨136⟩
*λαίσπαις*· *βούπαις. Λευκάδιοι* ⟨—*αδίᾳ*?⟩
*Λαισποδίας* (Com. V p. 563)· *ὄνομα κύριον. ἔνιοι δὲ τὸν Ἀλκμέωνα φήθησαν λέγεσθαι. οἱ δὲ τὸν δρεπανώδεις πόδας ἔχοντα* [59. 60]
*Λαιστρυγόνες* (*κ* 119?)· *οἱ νῦν Λεοντῖνοι* [62]
*λάϊτον* (Dor.)· *τὸ ἀρχεῖον*
(*λάϊτος*· *θής, δοῦλος*) cf. 323
*λαΐτων* (Dor.)· *τῶν δημοσίων τόπων* [65]
*λαῖτμα* (Hom.)· *πέραμα. γέφυρα. οἱ μὲν ὅρμημα. οἱ δὲ τὸ κύτος. ἄλλοι τὸ διάστημα τοῦ πελάγους, ἐξ οὗ τὸ μέγα καὶ πλατύ. καὶ τὸ κῦμα* [67. 68]
*λαῖφα*· *ἀσπίς* ⟨115. 116. 165. 435⟩ [70]
*λαίφια* (Boeot. Cret.)· *ῥάκη*
†*λαιφάσσον(τ)ες*· *ψηλαφοῦντες* [73]
*λαῖφος* (Call. ep. V 4)· *τὸ ἱστίον, ἤγουν τὸ ἄρμενον* (*υ* 399)
*λα[ι]φύς*· *δάπανος ἢ βορός*
*λαιψηρόν* (Stob. Flor. I p. 123)· *ταχύ*
*λαιψηρά* (*K* 358 al.)· *ταχέως, ἢ ταχέα*
*λαιψηρῶς*· *ταχέως. ταχὺ γὰρ τὸ λαιψηρόν* ⟨785⟩
*λακάζει* (Aeschyl.)· *λέληκε, βοᾷ. ἀπὸ τοῦ λακεῖν*
*Λάκαινα* (Ar. fr. XIX p. 1038)· *κυλίκων τι εἶδος*
*λακάρτη* (*ἢ*) *λακάρη* (Theophr. III 4 VII 6, 1)· *δένδρον τι*
*λάκας*· *φάραγγας* [84]
*λάκε* (Hom.)· *ἰδίωμα ἤχου. ἐθλάσθη, συνετρίβη. ἤχησεν* (*N* 616)
*λακεδάμα*· *ὕδωρ ἁλμυρὸν ἁλσὶ πεποιημένον, ὃ πίνουσιν οἱ τῶν Μακεδόνων ἀγροῖκοι* [86]
*λακεῖν* (Aesch. Ag. 614)· *ψοφῆσαι*
*λακερόν*· *εἰκαῖον*
*λακέρυζα*· *κράκτρια. λοίδορος. φλύαρος. μεγάλα κράζουσα κορώνη* (Hesiod. opp. 745 non Greg. Naz. Arc. VII 42 p. 6). *ἢ λάλος*
*λακερύζεσθαι*· *τὰ αὐτά*

COD. 30 *λαιθαργοί* 31 *λαιθυράζω* Suid. Zon. Theogn. 34 Suid. Theognost. 9, 13 37 *λαίμαι* — *ὅρμηται* 46 *λαῖνος* — |*ερός* 47 *καὶ λαός* 48 *κίδναιδος* (cf. *λασιτός λεσι*[ε]*τός*) 53 *θυραιοῦ* 57 cf. *λαόπαις*. Theognost. 9, 17. 18 *λαισκίδης* et *λαίσπης* 58 *λαισποδίας* 64 *λαϊτῶν* 75 *δαπανωσιβόρος* 85 cf. *σκοροδάλμη* 90 |*άζεσθαι*

HES. [Margo ad 131: *λαικαστής*· *ὁ πόρνος. καὶ λαικάστρια*· *ἡ πόρνη*] 35 *λαίλαψ*· *καταιγίς, ἀνέμου* (Marc. IV 37) *συστροφὴ μετὰ ὑετοῦ* 39 *λαιμαλαιόν*· *ῥυσόν* ⟨1035⟩ 41 *λαιμάζειν*· *ὁμοίως* ⟨non *λαιμάξειν*⟩ Ad 44 *λίθινον* (*M* 177) 54 *λαισήϊα* (*M* 426)· *ἐπεὶ δασέα ἐστὶ τὸ βύρσαις αἴγαις περιβλαβεῖσθαι. Πτερόεντα* (......) *εἶναι, ἢ πάνυ κοῦφα, ὡς καὶ τῇ λαιᾷ χειρὶ δύνασθαι βαστάζεσθαι. ὅπλα λάσια, ὅπερ ἐστὶ δασέα, ἀργαῖς βύρσαις περιβεβλημένα ἔτι τὰς τρίχας ἔχουσαι* 59 *λάισασθαι*· *κτήσασθαι* 60 *λαῖστρον*· *ξυστῆρα. πτύον* ⟨*λίστρον*⟩ 62 *Λαιστρυγονίη* (*κ* 82)· *ἡ τῶν Λαιστρυγόνων πόλις* 65 *λαῖτα*· *πέλτη* ⟨116⟩ 67 *λαιτμάθημα* ⟨*θῦμα* ad *λαῖγμα*⟩. *σφοδρὸν ὅρμημα*· *ἀπὸ τοῦ θοοῦ* ⟨*ψόφου*?⟩ 68 *Λαῖτος*· *ἀκήρατος. καὶ ὄνομα κύριον* 70 *λαιφαί*· *ἀναιδεῖς. θρασεῖς. στυγναί. τολμηραί* ⟨*ΔΑΙΔΡΑΙ*⟩ 73 *λαίφεσιν* (Greg. Naz. C. II 279)· *ἀρμένοις* 84 *λακκατήσας*· *πατήσας* 86 *Λακεδαίμων*· *ἡ Σπάρτη. καὶ ποτὲ μὲν* [*ἡ Πελοπόννησος*] *ἡ χώρα πᾶσα*· *ποτὲ δὲ πόλις* (Cratinus) *ὁμώνυμος τῇ χώρᾳ* (haec ex Aelio Dionys. Eustath. 294, 40)

†λακερωτάν· συνεσταλμένον ⟨λαπαρώτατον?⟩

λάκη· ῥάκη. Κρῆτες

λακη†δῆξαι· διαρρῆξαι ⟨201. 206⟩

λακηθμόν· ὃν οἱ Ἀττικοὶ †γλωσσοκόμον ⟨κλωγμόν?⟩ καλοῦσιν

λακῆσαι· πατάξαι ⟨855⟩

Λακιάδαι· δῆμος τῆς Ἀττικῆς, ῥαφανίδας φέρων, ὃν ἐπιβοῶνται κατὰ τῶν μοιχῶν

†λακίδαι· βάλλει ⟨cf. λιχάξαι⟩

λακιδαίμονος (Com.?)· ψοφοῦντος, ἠχοῦντος

λακίδες (Aesch. Cho. 28)· σπαδόνες. σπαράγματα ἱματίων

λάκιδες (Alcae. fr. 10 Ahr.)· τὰ λεπτὰ τῶν ἀρμένων σχίσματα

λακιδοφορῶν· οὐχ ὑγιής

λακίζει· †θωπεύει ⟨379⟩. ῥηγνύει. ῥήσσει [203]

λακίς· ῥαγάς. ἐμβολή. ῥαφή. τραῦμα. σχίσμα (Aesch. Pers. 125)

λάκισμα (Eur. Tro. 497?)· τὰ αὐτά

λακισθῆναι· ῥαγῆναι

λακὶς χθονός (Trag.)· χάσμα γῆς

λακκόπεδα (Aristag. com. fr. VII p. 762)· τοῦ σκελετοῦ· φησὶν † διαχαλασθέντος ὀσχέου καὶ τῶν διδύμων κρεμασθέντων καλεῖσθαι λακκόπεδα· τοὺς δὲ διαπαντὸς καθειμένον ἔχοντας αὐτὸ λακκοσχέας· Εὐφρόνιος. ἐπεὶ ὄσχεα λέγεται τὸ ἀγγεῖον, ὅπου οἱ δίδυμοι ἐμβέβληνται· ἀπὸ μέρους τὸ μόριον. οὐκ εὖ. φασὶ γάρ, τοῦ ὀσχέου πάντοθεν καθειμένου λακκοσχέας προσαγορεύεσθαι τοὺς τοιούτους

λακκοσκάπερδον· λακκόπρωκτον

λακκόπλουτος· ὁ Καλλίας ὑπὸ τῶν κωμικῶν (an. fr. CLV), διὰ τὸ περιτυχεῖν χρυσῷ εἰς φρέαρ βεβλημένῳ [11]

λακοπεῖν· πυνθάνεσθαι

λακόπιον· πυθίον

λάκοποι· ἀρχή τις, ἔνθα οἱ κλέπται κρίνονται

λάκος· ἦχος, ψόφος

λακπατῆσαι· λακτίσαι. καταπατῆσαι. ἀνατρέψαι

Λακρατίδης· Ἀριστοφάνης (Ach. 220) φησὶ παλαιὸν Λακρατίδην, τὰ ψυχρὰ βουλόμενος δηλοῦν· ψυχροὶ γὰρ οἱ γέροντες

Λακτίδες ⟨Λυ—⟩· αἱ τῆς Δήμητρος ἱέρειαι· ἀπὸ τόπου

λάκτιμα (Aesch. Ag. 1601?)· λάκτισμα

[ad 20] λάκτις (Nic. Th. 109)· †κώπη. τορύνη (Callim. fr. CLXXVIII)

λάκυρος· στεμφυλίας οἶνος

Λάκων· εἶδος παρὰ τακτικοῖς. ἢ ὁ Σπαρτιάτης ἄντικρυς τῶν Ἀθηνῶν [23]

λακωνίζειν (Ar. fr. XXVI p. 1088)· παιδίοις χρῆσθαι

Λακωνικαί (Ar. Th. 142)· ὑποδήματα, ἃ καλεῖται Ἀμυκλάδες ⟨q. v.⟩

Λακωνικὸν τρόπον· τὸ περαίνειν, καὶ παιδεραστεῖν, τὸ παρέχειν ἑαυτὰς τοῖς ξένοις. ἥκιστα γὰρ φυλάττουσι Λάκωνες τὰς γυναῖκας

λακωνικός· στερ(ρ)ός. ἀνδρεῖος

λάλαγες· χλωροὶ βάτραχοι περὶ τὰς Λίμνας ⟨352⟩, οὓς ἔνιοι κεμβέρους. οἱ δὲ ὀρνέου εἶδός φασι

λαλαγεῦσαι· λαλοῦσαι. ἀθρόαι οὖσαι ⟨θρυλοῦσαι?⟩

λαλαγή καὶ †λαλαγῆς· †χρυμός, κραυγή

λαλαγητής· ματαιολόγος

λάλαζε (Anacr. Ath. 447 A)· βόα

λάλα κόνις· ψοφώδης κόνις

λάλαμις· λαίλαψ. ἀντὶ τοῦ λαλαμίς λαιλαμίς γράφουσιν

λαλάξαι· τὴν γλῶσσαν ἐξελεῖν ⟨132⟩

λαλάξαντες· βοήσαντες

λαλεῖν· λέγειν [ad 37]

λάληθρον· λάλον

λαλίστατον (cf. Eur. Cycl. 315)· κατὰ λόγον σοφόν ⟨col. 94 [90]⟩

λαλίστερον (Menand. fr. XIII p. 195)· ἀδολεσχέστερον

λάλλαι (Theocr. XXII 39)· λάλλας λέγουσι τὰς παραθαλασσίους καὶ παραποταμίους ψήφους

λάλος (Eubul. III p. 254)· φλύαρος

λαλούμενον (Ar. Thesm. 578)

λαλοῦντα (Menand. fr. III p. 74) [45]

λαλῶν· φθεγγόμενος

COD. 92 ῥάκκη (Voretzsch p. 28) 93 λάκη λακίξαι? 98. 99 = 99. 98 200 λακίδες — σχήματα 8 λάκκος, πέδα — λακὸς πέδα — καθήμενον — λακὸς σχέας — καθημένους λάκκους σχέας 16 λακτῆσαι Post 217] 220 20 τωρύνη 26 ἑαυτόν ⟨30 ἀλαλαγή κραυγμός?⟩ 31 λαλαγήτης 33 λάλα, κόνις ψη| 34 λάλαβις — λαιμάτμησις γρ| 40 |χότερον 41 παρὰ ποταμοὺς 43 λάμμενον

HES. 203 †λακιναρίδιον· Ῥωμαῖοι, ὑπόδημα 11 λακέμεναι· φαγέσθαι ⟨89⟩ 20 λακρίς καὶ 23 Λακωνικὸς χιτών· λεπτὴ ἐσθής. λίαυλανά ⟨?μανή? διαφανής⟩ Ad 37 βλέπειν ⟨λάειν⟩. λαμβάνειν ⟨λαχεῖν⟩ 45 λαλύνει· πάσσει. πατεῖ ⟨παλύνει — πάττει⟩

λάμας· μύξας

λάμαχος· ἄμαχος, ἀκαταγώνιστος

Λάμια· Ἀριστοφάνης (Vesp. 1178) φησίν, ὡς † τ' ἐκρύσης ἐν τῇ ἀγορᾷ τινος λαμιώδους γυναικὸς ἐνδιατριβούσης. τινὲς δὲ ἐν τῇ ἀγορᾷ περδουμένην γυναῖκα

Λάμια· θηρίον (Nic. fr. 136). καὶ γυνή τις ἀρχαία οὕτω καλουμένη Λίβ(υ)σσα

† λάμβαι τὰ χάσματα. ἢ οἱ † μόνοι τῶν ἀνθρώπων. καὶ ἰχθῦς

Λαμίαν τὸν πρίονα (Com. an. fr. CLVI) ἢ Λάμιος ὁ πέλεκυς (fr. CLVII)· ἣν τις Ἀθήνησιν, ὃς ἐκωμῳδεῖτο ....... λέγεται δὲ καὶ Γνησίθεός τις ἐξ ἐπιθέτου Λάμιος

Λάμος· ἡ χώρα τῶν Λαιστρυγόνων. ἢ ἐπιχώριός τις ἥρως, ἀφ' οὗ ἡ χώρα ὠνομάσθη (κ 81)

λαμόπτης· ὁ ἐπὶ τηλίας

λαμπάδες· ὀφθαλμοί. τινὲς ἀστέρες

λαμπάδιον (Ar. Ach. 1177)· τὴν λεπτὴν κειρίαν, ἐν ᾗ ἐπιδιδέασιν

λαμπάς (Ar. Vespp. 1203)· λαμπάδος ἀγών. καὶ ὁ νικήσας λέγεται λαμπαδηφόρος [58. 59]

λάμπη (Hippocr.)· τὸν παχὺν ἀφρὸν τὸν ἐπιπολάζοντα τῷ οἴνῳ φασίν ⟨i. q. λάπη⟩

λαμπηδών· λαμπυρίς. σπινθήρ

λαμπήνη (Soph. fr. 415 Menand. p. 78)· εἶδος ἁμάξης, ἐφ' ἧς ὀχοῦνται. ἔνιοι ἀπήνη. ἢ † ἅρμα ἁμάξης περιφανοῦς βασιλικῆς. ἢ ῥήδιον. † περὶ κεφαλὴν ἐστιν ἅρμα σκεπαστόν

λαμπίας· ὁ ἥλιος [ad 63]

λάμπουρις (Aesch. fr. 424)· ἀλώπηξ ⟨270⟩

Λαμπρὰ καθύπερθεν καὶ Λαμπρὰ ὑπένερθεν (Dem. 1236, 15)· δῆμοι Λαμπραὶ Ἀθήνησιν· αἱ μὲν παράλιοι, αἱ δὲ καθύπερθεν ⟨Λαμπτρά⟩

λαμπρείμων (Hippocr. III p. 789 K)· λαμπρὰ ἱμάτια ἔχων

λαμπρόν· φαιδρόν. τηλαυγές

λαμπρύνεται (Aesch. Eum. 104)· φαιδρύνεται

λαμπτήρ (Aesch. Ag. 22)· φέγγος, φῶς. λαμπάς. ἐσχάρα, ἐφ' ἧς ἔκαιον ἐν μέσῳ τῶν (ο)ἴκων εἰς τὸ φωτίζειν αὔξοις ξηρὰ ξύλα καὶ δᾳδία (σ 306). Ἀττικοὶ δὲ τοὺς καιομένους λύχνους λέγουσιν

λαμπυρίς (Aristot. p. an. I 3)· ζωΰφιον ἐκ φρυγάνων γινόμενον [ad 70]

λαμυρόν (Epicrat. com. p. 368)· εὔλαλον. εὐτράπελον. καταπληκτικόν

† λαφεῖταν· δώσουσιν

† λαμμωδεῖ· δραπετεύει

λᾶν· ὁρᾶν. ἢ λίθον ⟨1⟩

λανηθάς· δευτερίας οἶνος

λανθανόντως· κρυφαίως

† λανίζει (Hippocr. p. 308, 14?)· λαγγάνει ⟨42⟩. βρέχει ⟨v. λάγανα⟩ [78. 79]

λάξ (Greg. Naz. C. XIII 102?)· λάκτισμα ⟨286⟩

Λαξάδαι· ...... Ἀθήνησι

λάξαι (cf. Lycoph. 137)· λακτίσαι

λάξεσθαι (Herod. VII 144)· κληρώσεσθαι

λάξιων (Herod. IV 21)· λήξεων, κληρώσεων

λαξόοι· οἰκοδόμοι. λιθουργοί [86—88]

λὰξ ποδὶ κινήσας (Κ 158 ο 44)· τῷ πλάτει τοῦ ποδὸς νύξας καὶ διακινήσας, οὐχ ὑβριστικῶς λακτίσας

λαοβότων· ἀνθρωποτρόφων [91]

λαοί· ὄχλοι, δῆμοι. δύνανται δὲ οὕτως εἰρῆσθαι ἄνθρωποι διὰ τὸ εἶναι λαλιοί. ἔνθεν καὶ μέροπες, ἀπὸ τοῦ μεμερισμένην (ἔχειν) τὴν ὄπα, ὅ ἐστι φωνή(ν) [93]

λαόπαις· βούπαις ⟨157⟩

λαοργός· ἀνόσιος. Σικελοί

λαοσσόος (Ν 128)· τοὺς λαοὺς σῴζουσα·

COD. 47 λαμάς· μῦς ⟨48 cf. μαίμακον⟩ 50 λίβ.σσα (ι supra) 51 Choerob. orth. 239, 13 EM. 555, 54 λάμια (lama); schol. Aristid. p. 42 λαμίας — φάσματα 52 λάμιαν — ὁ λάμιος πέλεκυς, ἣν τοῖς — ὃν ἐκωμῴδει 54 ἐπιτηλείας 56 κηρίαν — ἐπιδιδοῦσιν 62 ῥάδιον (ῥέδιον περιφανές, ὅ ἐστιν Cyr. Brem.) 63 cf. ἀλλάμπαν 65 Λαμπροὶ — οἱ — οἱ 66 λαμπρίμων 71 λαμπυρόν ⟨72 λαψεῖ τὰν δώσοντι δόσιν?⟩ 73 λαιμωδεῖ Theognost. 9, 22 75 δευτερεῖος 76 κρυφέως 77 cf. περιχλανίζεται 82 λακτῆσαι, cf. λαχμῶν 83 |ασθαι bis 86 λαξεντίνων 90 |ότον, |τρώφον 92 λάλιοι 95 σικελός (cf. λεωργός, λιωργός)

HES. 58 Λαμετίη (μ 132)· Ἡλίου κόρη 59 λαμπετόωντι (Α 104)· λάμποντι Ad 63 λαμπεύς. φῶς Ad 70 καὶ ἀλώπηξ ⟨264⟩ 78 λανὸν κῆρ (Π 481)· σοφωτάτη ψυχή ⟨ἀδινὸν κῆρ⟩ 79 † λανόν· λίθον 86 λὰξ ἐντ(ε)ίνων· λακτίσμασι τύπτων 87 λαξευτήριον· λιθοτόμον σιδήριον 88 λαξευτηρίῳ (Ps. LXXIII [IV] 6)· λίθῳ ὀξυτάτῳ τέμνοντι 91 Λαοδίκην ἐσάγουσαν (Ζ 252)· πρὸς Λαοδίκην πορευομένην. Λαοδίκην δὲ οἱ νεώτεροι Ἠλέκτραν λέγουσιν 93 Λαομεδοντιάδης (Ο 527)· πατρωνυμικῶς ὁ Πρίαμος· ἦν γὰρ παῖς Λαομέδοντος

ἢ σοοῦσα, τουτέστι παρορμῶσα εἰς τὸν πόλεμον· ὅ ἐστιν ἐπίθετον Ἀθηνᾶς [97]
λα(ο)φόνον (Theocr. XVII 53)· ἀνδροκτόνον [99. 300]
λαπαγμῶν· ἐκκενώσεων
λαπάζειν· ἐκκενοῦν. ἀφ' οὗ καὶ τὸ ὄρυγμα
λάπαθον· ὄρυγμα. καὶ βοτάνη (Theophr. VII 1, 2. τὸ κενωτικόν. καὶ λάχανον ἄγριον ἐδώδιμον)
λαπάξαι· κενῶσαι
η η η
λαπάξαι· ἀφανίσαι. ἀλαπάξαι
λαπάραι· τὰ παρὰ ταῖς πλευραῖς τοῦ σχήνους. Διοκλῆς δὲ τὴν ἐκ(κε)κενωμένην κοιλίαν
†λαπαραί· κατωφερεῖς πρὸς τὰ ἀφροδίσια
λαπάρας (Hippocr. II p. 270 K)· λαγόνας. καὶ λαπάρην (Γ 359) ὡσαύτως. ἢ κοιλίας ἐκ(κε)κενωμένας (Hippocr. I p. 99)
λαπαρός· ἰσχνός. ὑπεσταλμένος
λαπάσσειν (Iones)· λαπάζειν. κενοῦν
λαπάττων· μαλάττων, λαγαρὸν ποιῶν
Λαπέρσαι (Lycophr. 511)· Λαπέρσας Δίδυμος τοὺς Διοσκόρους· ἀπὸ Λᾶ πόλεως [13]
Λαπήθιον· ἡ λέξις ἀπὸ Λαπήθου πόλεως. τὸν ἠλίθιον
λαπῆναι (Ar. fr. XVII p. 1011)· λεπισθῆναι
λάπης (Diphil. fr. I 15 p. 381)· λάπην ἔλεγον τὸν παχὺν ἀφρόν, τὸν ἐπιπολάζοντα τῷ οἴνῳ πηλώδη. ἄλλοι βόρβορον, ἰλύν. ἄλλοι τὸν ἐπὶ τῇ ἅλμῃ ἐφιστάμενον καὶ ταῖς λίμναις. οἱ δὲ τὸν ἐπὶ τοῦ γάλακτος ὑμενώδη πηλόν
λαπίζει (Soph. fr. 954)· γαυροῦται ⟨297⟩ [18—20]
λαπικτήν· καυχητὴν καὶ ἄλλα
λαπιστής, †στεφάνη, [ad 22] φλύαρος. τρυφηλός. μὴ ἔχων φροντίδα, ἐγγὺς τοῦ προπετοῦς (cf. Sirac. XX 6)

λαπίστρια· ῥεμβομένη. μετεωριζομένη. θέλουσα εὐωχεῖσθαι
†λάπος· θής, δοῦλος ⟨λάϊτος⟩
λάπτας· τοὺς ῥοφοῦντας
λάπτει (Ar. HA. VIII 8, 1)· ἀναλαμβάνει. πίνει
λάπτοντες (Ar. HA. VIII 8, 1)· πίνοντες τῇ γλώσσῃ. πεποίηται δὲ ἀπὸ τῶν κυνῶν (ἢ) τῶν τοιούτων, οὕτω πινόντων μετὰ ψόφου
λαπτυήρ· σφοδρῶς πτύων
λαπτώμενος ἢ λάπτων· ἀναλίσκων. ἀπὸ τοῦ λάπτειν [30]
Λάρεισα· πόλις Συρίας κοίλης, καὶ Θεσσαλίας (Call. Del. 104)
λαρίεθος ⟨λάρκος?⟩· φλόινον στεγάστριον
λαριναῖον κύρτον· οἱ ἁλιεῖς τὸν ἐκ λε(υ)κέας, ἢ μέγαν
λαρινευτής· ἁλιεύς
λαρινοὶ βόες (Ar. Pac. 925)· εὔτραφεῖς
λαρινεύεσθαι (Sophro)· σιτεῖσθαι
λάρινος· ἰχθῦς ποιός ⟨343⟩
†Λαρκάνη· ἡ Θεσσαλία
λάρκον (Alexid. fr. III p. 478)· πλέγμα φορμῷ ὅμοιον, ἐν ᾧ ἄνθρακας φέρουσιν, ὅτὲ δὲ καὶ ἰσχάδας
λάρκος (Ar. Ach. 351)· ἀνθράκων φορμός
λάρναξ· κιβωτός (Hom.), σορός, κάμπτρα
λαρόν· ἡδύ (Τ 316), προσηνές, γλυκύ (Ρ 572), ἀπολαυστικόν, (Euphorio LI) καλόν. σπάνιον: ἄπληστον. λάβρον ⟨ad λάρον⟩
λάρος (Ar. Eqq. 956)· ὄρνις. καὶ ἰχθῦς ποιός ⟨337⟩
λαρυγγίζων (Dem. 323, 1)· λάρυγγα θεραπεύων
λαρυγγός (Pherecr. fr. I p. 266)· ματαιολόγος [47]
λαρύζει· βοᾷ. ἀπὸ τοῦ λάρυγγος
Λάρυμνα (Polyb. XX 5, 7)· πόλις Βοιωτίας

COD. 97 ὀπὴν — ἀλαζονίας 98 ἀνδρα| 302 |ξειν 3 cf. 319 5 λαπαξαίη, ἀφανησαίη, ἀπαλλαξαίη 7 λαπαράϊ, κατωφερὴς 11 λάγορον ποιοῦν 12 λαμπέσας — ἀπὸ λαπέρση πόλεως 15 λαπισθῆναι 16] post 24 λαπτής, λαπτὴν — ὕλην 17 σταυροῦται 21 λαπιτήν 22 τρυφελός (λαπιστὴς τ' ἐφάνη?) Cf. 671 25 δροφοῦντας 29 λαμπτώμενος Cf. Phot. 208, 10 Post 29] 55 λάγανον 31 λάρισσα 41 σωρός ⟨cf. λάγνα⟩ 42 λαβρόν

HES. 97 λαοπίζειν ἢ λαπίζειν ⟨317⟩· τοὺς λαοὺς εἰς ὄπιν ἄγειν καὶ ἐπιστροφὴν διὰ τῆς ἀλαζονείας ⟨Eustath. 537, 42⟩ 99 λαοφόρον (Ο 682)· δημοσίαν ὁδόν, δι' ἧς οἱ λαοὶ φέρονται, ἥνπερ ὁδεύουσι. λεο⟨ω⟩φόρον 300 λεπάγματα ἢ λαγαρά ⟨λελαπαγμένα⟩ 13 λαπετεῶντι (Λ 104)· λάμποντι 18 λαοπίζει· αἱ γὰρ ⟨l. λαοπίζεται γράφεται⟩ 19 Λαπίθαι (Μ 181)· ἔθνος Θεσσαλίας· ἀπὸ Λαπίθου, τοῦ Ἄρεως παιδός 20 λαπίθιον· ὄρυγμα. τὸ κενωτικόν. καὶ λάχανον ἄγριον ἐδώδιμον ⟨303⟩ Ad 22 πειστής 30 λάρεις· λάραβες. τοὺς κυρίτας ⟨q. v.⟩ Ῥωμαῖοι οὕτως 47 λαρυδοί· στῦλοι οἱ εν τῷ ἀρότρῳ ⟨col. 36, 36⟩

†λαρωντίδων· ἐν τοῖς ἀθροίσμασιν ἔλεγον, ὡς ἐπῳδῶν

λᾶς· λᾶας. λίθος

†λάσα· τράπεζα πληρεστάτη

λάσαγγες· οἱ περὶ τὰς Λίμνας χλωροὶ βάτραχοι ⟨228⟩

Λάσαν· τὴν Λάρισαν

λάσανα (Ar. Pac. 893)· χυτρόποδες. καὶ τὰ ὀπίσθια τῶν μηρῶν, ἀπὸ τῆς δασύτητος. διὰ τοῦτο καὶ τὰ βάραθρα, τοὺς ἀφοδευτηρίους δίφρους

λάσαρον· ὀπὸς δριμὺς

λασάσθω· χλευαζέτω ⟨362⟩

λάσθας· συμφοράς

λᾶσθαι· παίζειν ⟨351 [47]⟩. ὀλιγωρεῖν. λοιδορεῖν

λασθαίνειν· κακολογεῖν ⟨col. 502, 26. 363⟩

λάσθη (Aeschrio)· χλεύη. λήθη. ὀλιγωρία. αἰσχρολογία. αἰσχύνη

λάσθον· αἰσχρόν ⟨cf. ἄλαζα⟩

λάσθω· χλευαζέτω ⟨356⟩

λάσθων· κακολογῶν ⟨359⟩

λάσια· δασέα

λασῖνος· ἄφρων. ἐπιλήσμων

λάσιοι· πολύτριχοι, δασεῖς

λασιόμαλον· μῆλον τὸ ἔχον χνοῦν [68]

?λασιδεύς· θρασύς. ἄπληστος [70. 71]

λάσιον (Theop. com. p. 806)· ὕφος τὸ δασύ

λάσιος (Antim. fr. XLII)· δασὺς τὸ στῆθος. ἢ συνετός. δασύμαλ(λ)ος [ad 73] [74]

Λασίσματα· ὡς σοφιστοῦ τοῦ Λάσου καὶ πολυπλόκου

λασιτός· κίναιδος. [ad 76] πόρνη ⟨148. 155. 385⟩

†λασιχνεύουσα· πλανωμένη. [Σικελοί

Λασιών (Xen. Hell. III 2, 30)· πόλις. ἢ χωρίον. οἱ δὲ δρυμοὺς λασιῶνας (Nic. Th. 25. 489)

λασκάζει· φλυαρεῖ. θωπεύει [post 79]

λάσκειν· λέγειν, φθέγγεσθαι

λάσκεις (Eur. Andr. 671)· λέγεις

λάσκουσι κύνες· ὑλακτοῦσιν

†λασκωρεῖ· διαφεύγει ⟨47. 273⟩

†λασταγεῖ· ψοφεῖ ⟨392⟩

λάσται· πόρναι ⟨148. 155. 376⟩

λαστάρνη· μάστιξ

λάσταυροι (Com.)· οἱ περὶ τὸν ὀρρὸν δασεῖς, καὶ πόρνοι τινὲς ὄντες

λᾶς †τρυγυλίας ⟨τερύνας?⟩· λίθος τετριμμένος

Λάστος· ὁ Ἀκράγας, τὸ παλαιόν· καὶ ἡ .μῆλος ⟨Ὅμιλος?⟩ [90]

λατάγῃ· [ad 91] τῷ ἀπορριπτομένῳ ἀπὸ τῶν ποτηρίων, καὶ ἦχον ἀποτελοῦντι

λαταγεῖ· ψοφεῖ ⟨384⟩. κτυπεῖ

λάταξ· ψόφος, κότταβος, ὁ ἀπὸ ποτηρίου γενόμενος

λάταξ· τὸ πλεκτόν. αὕτη εἰσεφέρετο ἐπὶ τοῖς ἐρωμένοις. ἔβαλον δὲ αὐτὴν ἐπ' αὐτόν. οἱ δὲ εἰς κοττάβιον, ὃ κόσαβον ἔλεγον· οἱ δὲ εἰς ὀξύβαφα κενὰ ἔν τισιν ἀγγείοις, λουτῆρσιν ἐοικόσιν

Λατῖνοι· Ῥωμαῖοι [96]

Λάτμος· πόλις. καὶ ἥρως [ad 97]

λατόμος· λιθοξόος

?λατράζειν· βαρβαρίζειν

λατραβίζειν· ἐσπουδασμένως καὶ ἀσήμως λαλεῖν

λατραβός· λαμυρός

λατραβῶν· ἀλαζονευόμενος

λατραπία· λαμυρία μετὰ ἐρυθριάσεως

λάτραψ· ὑετός

λατρεία (Trag.)· δουλεία

λατρεύει (Solon. el. 13, 48)· ἐλεύθερος ὢν δουλεύει [407]

λατρεύω (Eur. I. T. 1115)· σέβω, δουλεύω

λάτριες (Clitarch.)· δοῦλοι

λάτριον· μίσθιον

λάτρις (Eur.)· μισθουργός. λειτουργός. ἢ μίσθιος ἐργάτης. θεραπαίνη, παιδίσκη ὑπηρετοῦσα, ἢ δούλη

(Λατῷος· ποταμός) cf. 397

COD. 51 λαᾶς 54 λαρίσσαν 55 ἀφρο| 56 χλευασάτω? 88 λάσθαι 60 ααθη [σ] ⟨63 λασθῶν· κακολογιῶν?⟩ 76 ἢ λεσιτός 78 λασίων — δρυλασίωνας 85 ἀλάστωρ· πόρνος CDr. 86 |ιγξ 88 λαστρ| 91 λατάγει — ἀπορι| 92 τύπτει cf. παταγεῖ 94 λ.τῆρσιν 400 |βιάζειν cf. ἔλατρ— 10 λάτρον (cf. Callim. fr. CCXXXVIII) 11 λεπτουργός ἢ

HES. 68 λασίοισι· δασέσι· στήθεσι λασίοις (Α 189) ἐκδέχονταί τινες ἀπὸ τῆς ἔξωθεν ἐπιφανείας ἀνδρώσεσιν. ἄλλοι πυκνοῖς καὶ συνετοῖς 70 λασιοκώφους (f. l. cod. Bodl. Plat Phaedr. p. 253 E)· τοὺς κωφούς 71 λάσιον κῆρ (Β 851)· ἡ πυκνή, καὶ σώφρων, καὶ λίαν θεία ψυχή, καὶ συνετή, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον. τὸ γὰρ ἡγεμονικὸν τῆς ψυχῆς ἐν τῇ καρδίᾳ, ἥτις ἐστὶν ἐν τῷ στέρνῳ, ὅπερ ὡς ἐπιτοπλεῖστον δασύ ἐστιν. καὶ ἰσχυρόψυχον Ad 73 πολύτριχος (Ω 125) 74 λασιουργίας ⟨ταλασ—⟩· ἱστουργίας. δημιουργίας Ad 76 ἢ λαισιτός· Post 79 ῥηγνύοι ⟨λακίζει⟩ 90 λα.ῶν· λίθων (Μ 29?) Ad 91 κροτάλῳ ⟨ad πλατάγῃ⟩ 96 λατμενεία· δουλεία ⟨ἀτμ—⟩ Ad 97 καὶ ποταμός ⟨Λατῷος⟩. καὶ ἴχνη ⟨πάτος⟩ 407 λατρευτόν (Exod. XII 16)· δουλικόν

λάττα· μυῖα· Πολυρρήνιοι

λα(τ)ταία· παραξιφίς. καὶ ἡ περὶ ζώνην μάχαιρα

λατύπη· λίθου τὸ ἀποπελέκημα

λατύσσει· πτερύσσεται. νήχεται. ταράσσει. τινάσσει. τύπτει. λακτίζει

λαυκανία (Hom. bis)· τὸ ἀπηρτημένον τοῦ γαργαρεῶνος, λαιμός, φάρυγξ [17]

λαύκη· φοβερά ⟨γλαυκή?⟩

†λαῦξις· κλῆρος, μερίς ⟨λάξις⟩

†λαύξει· κρατεῖ ⟨λάζει⟩. δαίνυται. εὐφραίνει ⟨λαύει⟩

σ
†λαυξία· δαρή Κρῆτες

λαύρα· ῥύμη, δι' ἧς ὁ λαὸς εἰσέρχεται. ἡ φλόξ ⟨ὡς Φιλόξενος? an λάβρα?⟩. οἱ δὲ τόπους πρὸς ὑποχώρησιν ἀνειμένους. οἱ δὲ ἄμφοδα. οἱ δὲ στενωπούς. καὶ δίοδοι

λαύρη· δημόσιος στενωπός, καὶ ἄμφοδον, ῥύμη, ὁδός, δι' ἧς οἱ λαοὶ ῥέουσιν

Λαύρεια (Herod. VII 144)· τὰ Ἀθήνησι χρύσεια μέταλλα λεγόμενα [25]

λαύρη· ῥύμη στενή

λαῦρον· τὴν δάφνην. ἡ μέταλλον ἀργύρου παρὰ Ἀθηναίοις ⟨424⟩

λαυροστάται (Cratin. fr. LXXI p. 201)· οἱ ἐν τοῖς μέσοις ζυγοὶ ὄντες ἔν τισι στενωποῖς μὴ θεωρούμενοι. οἱ δὲ χείρους μέσοι ἵστανται. οἱ δὲ ἐπιτεταγμένοι πρῶτοι καὶ ἔσχατοι

†λαῦσαι· περιπνεῦσαι τοῖς δεσπόταις

†λαυστήρ· μοχθηρός. ὅμοιον δὲ τῇ δυνάμει τὸ ὄνομα. ἡ οἴκου λαύρα

λαύστρανον· τινὲς λύχον, τινὲς φρέατος ἅρπαγα

λαυχάνη· γλῶσσα

λαυφθάσσει· λάβρως ἐσθίει ⟨446⟩

λαυφθάζει· σπεύδει ⟨446⟩

λαφθία· ἡ ἀσπίς, ὅπλον ⟨169⟩

λάφνη· δάφνη. Περγαῖοι

?λάφωνοι· λίαν ἄφωνοι

λαφός· ὁ ἀριστερᾷ χειρὶ χρώμενος ⟨147⟩

Λαφριάδαι· φρατρία ἐν Δελφοῖς

λαφύειν· τὸ εἰς αὐτὸν ἀσχημονεῖν

λαφύξαι· καταπιεῖν, ἀναλῶσαι

λαφύξας· διασπαράξας, ἀφειδῶς θοινησάμενος

λάφυρα (Aesch. Sept. 278)· τὰ ἐκ τῶν πολεμίων ἔτι ζώντων λαμβανόμενα. τὰ δὲ τεθνεώτων αὐτῶν, σκῦλα

(λαφυραγωγεῖ·) αἰχμαλωτίζει

λαφυροπωλεῖ· .......

λαφύρων (Eur. Rh. 179)· αἰχμαλωσιῶν

(λαφύς· δάπανος ἢ βορός) v. λαιφύς

λαφύσσει (Λ 167 Ρ 64)· μετὰ σκυλμοῦ ἐσθίει. σπαράσσει. λάπτει, καταπίνει. σκεύδει ⟨433. 34⟩. μετὰ θυμοῦ ἐσθίει

Λαφύστιον· ὄρος τῆς Βοιωτίας. καὶ Λαφύστιος· ὁ ἐντεῦθεν

λαχαίνειν (Callim. fr. CCCV)· ὀρύσσειν, σκάπτειν· ἀφ' οὗ καὶ τὸ λάχανον· τὸ μεγάλως χαῖνον

λάχα.να· τὸ ἐπὶ τῆς ἀπήνης πεπλεγμένον, ἐν ᾧ καθέζονται

λάχεια (ι 116)· εὔσκαφος καὶ εὔγειος· παρὰ τὸ λαχαίνεσθαι, ὅ ἐστι σκάπτεσθαι πυκνῶς

λαχεῖν δίκην· γράψασθαι, δικάσασθαι

λάχη· λῆξις. ἀποκλήρωσις

λαχῆνας· σκάφας [54]

λαχμῶν (Antimach. fr. LXXX)· ἱππείων λακτισμῶν

†λαχμόν· κουρῆς βάρος. λακισμός

λαχμῷ στεινόμενος (ι 445)· τῇ δασύτητι καὶ τοῖς μαλλοῖς πεπυκνωμένος

λάχνη· δασεῖα θρίξ (Β 219). χαίτη. κόμη. ὕλη. δασύτης ⟨Κ 134⟩ παρὰ τὸ λάσιον. δηλοῦται δὲ καὶ οὕτως, καὶ ἡ κροκ.., ἡ ἐποῦσα τοῖς ἱματίοις τρίχωσις [ad 58]

λαχνήεντα· τετριχωμένα, δασέα, ἢ τριχώδη (Σ 415). ἡ ὄροφον (Ω 451), τὸν κάλαμον, ᾧ ἐστέγαζον τοὺς οἴκους, ὃς ἔχει τινὰ δασύτητα. Ὄροφος γὰρ κάλαμος καὶ τὸ ἐρέφειν τὸ στεγάζειν εἴρηται [60—62]

λάχος· μέρος, κλῆρος ἐκ κλήρου (Plat. Legg. V 745 D) [64]

κ ζ
COD. 12 λατταμυῖα, πολυρήνιοι (cf. θάπτα, δάπτα) 15 λατίκτει 21 cf. ἐλαχία
α
24 χρυσετᾶλλα 27 λάειρα· δάφνη Cyr. 63 28 |στάνται 31 αὔστραν· ἣν 33 λαύρως 39 |δα 40 αὐτὸν 46 σκιλμοῦ 48 χᾶναν 50 λυχεία 52 cf. λάγγα λάξις λαῦξις λόγχη 57 λαχνῶς, τεινόμενος — μαλοῖς 58 κώμη — κροκ..ὸς 59 ὃν ἐστ|

HES. 17 λαυκανίης (Χ 325)· ὁμοίως 25 λαύρην (χ 128)· ὁδόν, τὴν ῥύμην 54 λαχμία· ἐν ὕλῃ οὖσα ⟨λοχμαία⟩ Ad 58 ἡ ἀφρὸς τῆς θαλάσσης ⟨ἄχνη⟩ 60 λαχνοῦται (Solo ap. Philon. I p. 25, 28)· τριχοῦται. δασύνεται 61 λαχνοστηνομένου (ι 445), τοῖς μαλοῖς πεπυκνωμένον 62 λαχόντα (Σ 327)· τυχόντα, κληρωσάμενον 64 λαχών (ε 40 ν 138)· ὁ κληρωσάμενος

λάψα· γογγυλίς. Περγαῖοι
λάψαι· πιεῖν τῇ γλώσσῃ
λαψάνη· τῶν ἀγρίων λαχάνων ἐσθιομένη (ἑφθή) ⟨cf. σκύβα⟩
λαψ' ἄρδων· τῇ χειρὶ ποτίζων, ἢ ἁπτόμενος ⟨λαπ—⟩
λάψῃ· ὑποκοιλαίνων τὴν γλῶσσαν ἀναφέρῃ τὸ ὕδωρ μετά τινος ἤχου
λάψοι· πίοι τῇ γλώττῃ
λάψοντες γλώσσῃ (Π 161)· τῷ ἄκρῳ τῆς γλώσσης πίνοντες
λαώ· λαούς, (ὄχλους). δυϊκῶς [73. 74]
λάων (τ 229)· οἱ μὲν βλέπων, ἐξ οὗ καὶ λαός ὁ βλέπων· ἀλαός γὰρ ὁ μὴ βλέπων. οἱ δὲ λάπτων τῇ γλώττῃ· οἱ δὲ ἀπολαυστικῶς ἔχων, ἐσθίων [76]
λε.δα· ἡ ἐξοχὴ τῶν πετρῶν ⟨v. λεδδά⟩
λέαινα ἐπὶ τυροκνήστιδος (Ar. Lys. 231)· σχῆμα συνουσίας ἀκόλαστον
λεαίνεται· λειοῦται: ἐξαλείφεται
λεαντικῶς· λειῶσαι δυνάμενος [81]
λεάς (Aristot. gen. an. 5, 7)· τὰς ἀπὸ τῶν ἱστῶν κρεμαννυμένας ἄκρας
Λέβα· πόλις ὑπὸ Θρᾳκῶν
Λεβάδεια· πόλις Βοιωτίας, ἔνθα καὶ μαντεῖον Διὸς τὸ ἱερὸν κατεσκεύαστο [85]
λεβηρίς· τὸ τοῦ ὄφεως γῆρας, ὃ ἀποδύεται. τινὲς δὲ ἄνδρα Λέβηριν γενέσθαι πτωχόν. οἱ δὲ τὸ λέπος τοῦ κυάμου
λέβης (Aesch. fr. 1)· χάλκειος ποδονιπτήρ. τρίπους
λεβίαι (Arist. fr. XVIII p. 1123)· τὰ λεπίδας ἔχοντα ταρίχη. καὶ ἰχθῦς λιμναῖοι
λέβινθοι· ἐρέβινθοι
λέγειν· εἰπεῖν (Ν 275). οἰκοδομεῖν (σ 359). ἀριθμεῖν. καὶ ὀνομάζειν. Ἀττικοί
λέγεσθαι· συνάγειν, ἀθροίζειν. ἐκλέγεσθαι [92. 93]
λέγμα· τὸ εἰπεῖν
λέγνα (Hippocr. II p. 820 K)· τὸ ἔσχατον
λέγνη· τὸ παρυφαινόμενον τῇ παραστοφίδι, ὅπερ ἦν παχὺ περὶ τὴν φὰν ἐκ ῥάμματος
λέγνος· ἄνανδρος ⟨λάγνος?⟩, σῖτος ὁ μὴ ἁδρός
λεγνώδεις· ποικίλας
λεγνῶσαι· ποικῖλαι [500]
λεγοίμεθα (Ν 276)

εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα

οἷον, εἴ τις τοὺς ἀρίστους εἰς μάχην διαλέγοι
λέγοιτο· συλλέγοιτο [3. 4]
†λεδδά· ἡ ἐξοχὴ τῶν πτερνῶν ⟨477⟩ [6]
λέῃ (Dor.)· ὁμοίως ⟨v. 506⟩
λεηλασία (Xen. Hier. I 36)· αἰχμαλωσία. μάχη. λῃστεία. ἁρπαγή. ἀδικία
λεηλατῶν (Xen. Hell. IV 4, 15)· πορθῶν σφόδρα
μετελεύσομαι· μετακαλέσομαι. ἢ μετέλθω (Ζ 280?)

μέτελθε· ἄπελθε, μετάβα (non Φ 422)

†μετελύειν· μεταγινώσκειν, μετανοεῖν [63]

μετεμόσχευσε· μετεφύτευσε

μετ' ἐμφάσεως· φανερὸς ποιῶν

μετένδημος· μετάδημος

μετεξέτεροι (Iones)· ὃ ἡμεῖς φαμεν, ἔνιοι [68. 69]

μετεποίησε· μετεσκεύασεν [71]

μετερ(ρ)υθμωμένα (Democrit.)· μετεσχηματισμένα ⟨—ρυσμ—⟩

μετέρχεται (Eur. fr. 83)· ἀποδίδωσι

μετέρχομαι (Archil. fr. 43)· ἱκανῶς ἱκετεύω. ἱλάσκομαι. ἐπεισέρχομαι

μετεσσεύοντο· μετεδίωκον, ἐφώρμων [ad 75]

μετεστειλάμην· μετεπεμψάμην

μετέσχον· μετέλαβον [78—83]

μετεωρολέσχαι (Plat. Civ. 489 C Aristoph. p. 1106)· φλυαροῦντες τὰ περὶ οὐρανὸν μετέωρα

μετεωρολόγοι (Plat. Cratyl. 401 B)· μεγαλορρήμονες

μετεωροπόλων· τῶν τὰ οὐράνια σκοπούντων

μετέωρος· κοῦφος. ἐν[ν]εός

μετῇ· ἐξῇ

μετήεισαν (Thuc. VIII 73)· ἱκέτευσαν

μετῆλθεν· ἐτιμωρήσατο. μετεμελήθη

μετῆκε· μετεμελήθη. ἱκέτευσεν [92]

†μέτην· μέσην. μετουσία ἦν (Eur. Phoen. 412) [94. 95]

COD. 27 cf. ὑπερανάστης 31 ἡ μετανιπτρὸν — ἐπαννίψονται 35 |σασθαι 46 |φουσαι 48 μεταφέρων 49 cf. ἀφεφές ἀφεφέων καταφέφει, οὐ μεταφέφεις, φέφει 51 μετάμιξις 62 cf. μεταδεῦσαν μετῆλθε et πεδαλευόμενος 84 οὐρανῶν

HES. 28 μεταναστεύου (Ps. X 1)· μετέρχου, μετοίκει. καὶ τὰ ὅμοια 30 μετ' ἀνέρας (Η 209)· μετὰ τοὺς ἄνδρας 32 μετὰ νῶτα βαλών (Θ 94)· τὰ νῶτα (μεταβαλών) Ad 33 ἀνὰ μέσον (Λ 156) 34 μετὰ πᾶσιν (Λ 516)· ἐν πᾶσιν 39 μετὰ πληθύν (Β 143)· ἐν τῷ πλήθει 45 μεταπρίκτους (Β 376)· ἀπράκτους 52 μετάειμι· μετὰ σὲ ἐλεύσομαι (Ζ 341) 53 μετήεται· μεταπεποίηται, ἢ μεταποιεῖται ⟨μητίεται Cyr. 319⟩ Ad 56 μετελθών (Ρ 285) 63 μετ' ἐμέ (Θ 289)· πρὸς ἐμέ, ὡς ἐμέ 68 μεταιωρίζει· ὑψοῖ 69 μετέπειτα (Ξ 310 non Call.)· μετὰ ταῦτα 71 μετέπρεπεν (Β 579)· ἐκπρεπὴς ἦν Ad 75 ἐπ(επ)ορεύοντο (Ζ 296) 78 μετέπρεπεν (Β 579)· εὐπρεπὴς ἐφαίνετο 79 μετετροπάζετο (Υ 190)· μετεστρέφετο 80 μετέφη (Α 58)· προεῖπεν, ἐδημηγόρησεν 81 μεταιωρισθήσονται (LXX)· ὑψωθήσονται 82 μετέχμιον· ὁ μεταξὺ τῶν μαχομένων τόπος ⟨μεται—⟩ 83 μετέχων (I Cor. X 30)· μεταλαμβάνων 92 μετήλλαξαν (Rom. I 25. 26)· μετήμειψαν 94 μετήορα (Θ 26)· μετέωρα 95 μετ' ἤχους (Ps. IX 6)· μετὰ κραυγῆς

μετίδοιτο· ὑπερίδοιτο, ἀτιμάσειεν, καταφρονήσειεν [97. 98]

μετιτῆλαι· αἱ ἐξ ἑκατέρου μέρους τοῦ ἅρματος ῥάβδοι ⟨Poll. I 143⟩

μετ' ὄγμους· τὰς ἐπὶ στίχον φυτείας

μετοικέσιον· †τὸ ἐκ τόπου εἰς τόπον οἰκῆσαι

μετοικέται· κατὰ μέσον οἰκοῦντες ⟨947⟩

μετοικίας (Thuc. I 2 Soph. Ant. 890)· παροικίας [ad 1103]

μετοίκιον (Xen. Vect. II 1)· τέλος οὕτως ἐκαλεῖτο, ὃ ἐτίθεσαν ἐν τῇ πόλει, δραχμὰς (δώ)δεκα· τῷ δὲ τελώνῃ τριώβολον

μέτοικοι· οἱ ἐνοικοῦντες ξένοι ἐν τῇ πόλει, καὶ τελοῦντες ἀνὰ δραχμὰς δώδεκα τοῦ ἐνιαυτοῦ εἰς τὸ δημόσιον. μετανάσται δημόσιοι

μετοίχεσθαι· ἀπελθεῖν, πορεύεσθαι, μετελθεῖν

μετοκλάζει (*N* 281?)· γονατίζει [8]

μετοχωχή· μετοχή. ἐποχή. ἢ ὀχεία

μετόπιν (Soph. Phil. 1189)· κατόπισθεν

μετόν (Ar. fr. IX p. 1106)· ἐξόν. προϋπάρχον

μετόπισθεν· ὕστερον [ad 12]

μετόπωρον· μετὰ τὴν ὀπώραν, τροπὴ μετὰ θέρος [14]

†μετουσῶ· περιβλέπω, ἀφορῶ, ἀποβλέπω [16]

μετοχετεύσας· μεταγαγών

μετοχή· κοινωνία. σχέσις [19]

μετρεῖ· δανείζει. καὶ μετρεῖσθαι, δανείζεσθαι (Hesiod. Opp. 322 = 349)

μετριάζει· μετριοφρονεῖ

μέτριοι· ἐπιεικεῖς. μικροί, εὐτελεῖς. καὶ οἱ μεμετρημένην οὐσίαν ἔχοντες

μετριοπαθής· μικρὰ πάσχων. ἢ συγγινώσκων ἐπιεικῶς

μέτρον· πέρας. ἢ ἄλλο τι ὡρισμένον [25]

μέττον (Boeot. Cret.)· μεῖζον

μεττρία (Cret.)· εὔθυνα ἄρχοντος γεγονότος ⟨370⟩

μετώπιον (*Λ* 95)· τὸ μέρος τῶν ὀφρύων

μετωπίς· ἰατρικὸς ἐπίδεσμος [30]

μέχρι· ἕως τινός

μὴ ἄν· ἀντὶ τοῦ οὐ [33—35]

μηδαμινός· ἄτιμος

?μήδειν· μὴ ἐσθίειν [38. 39]

μὴ δαπανῶμεν· μηδ' εἰς δαπάνην ἐμβάλλωμεν

μήδεα· βουλεύματα· (*B* 340)

ἐμ πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν

καὶ τὰ αἰδοῖα· (σ 87)

μήδεά τ' ἐξερύσας δώῃ κυσὶν ὠμὰ δάσασθαι

μηδὲ λόγον ἔχειν (Theopomp. hist.)· μὴ φροντίζειν [44. 45]

μήδεσθαι· τεχνήσασθαι. βουλεύσασθαι

μήδεται· [ad 47] τεχνάζεται [48]

μηδ' ἕτερος· μηδὲ εἷς

μήδετο· ἐφρόντιζεν. ἐτεχνάζετο. ἐβουλεύετο (*X* 395)

μὴ δὴ οὖν· μηδαμῶς οὖν

μὴ δῆτα (Soph. OC. 175)· μηδαμῶς ⟨1138⟩ [53—55]

μηδιᾷ (Cret.)· γελᾷ [ad 56]

Μηδικοὶ ὄρνεις· Μῆδοι ἀλεκτρυόνες

Μηδικὴ πόα (Ar. Eqq. 606)· ἡ τρίφυλλος. οἱ δὲ λωτὸν κτήνεσιν ἁρμόζοντα

Μηδινεύς· Μηδεύς παρὰ [ad 59] παρὰ δὲ Λυδοῖς ὁ Ζεύς [ad 59]

μήδιος· μαλακός ⟨μήλιος?⟩. καὶ βοτάνης εἶδος. καὶ λίθος τις Μηδιάτης [61—63]

COD. 96 μεταφρ| 1104 δραγμὰς ι' 5 δραγμὰς ιβ' ⟨13 μεθο—⟩ 15 cf. ἀποσσοῦν 27 μέτρια (h. e. μαστρία)· εὐθηνὰ |ες bis 37 μηδεῖν 41 ἐμπυρίδι βουλεύεται γένοιτο — μήδεατεξερύσασλα ἢ κυσὶν ἅμα δάσους 48 μὴ δὲ τ' ἀρωνῇ, μὴ δὲ βοηθήσῃ. μὴ δὲ ταρῶντες μηδὲ β| 49 μὴ δ' — μὴ δὲ 55 μὴ δὲ 58 μηδικὴ

HES. 97 μέτειμι (*Z* 341, non Boeot.)· μετελεύσομαι ⟨1054⟩ 98 μετεισάμενος· μεταμορφωθείς ⟨1056⟩ Ad 1103 αἰχμαλωσίας (III Regg. VIII 47) 8 μέτειμι· λιτανεύω, ἱκετεύω Ad 12, μετὰ ταῦτα (*Λ* 82), ὕστερον. ἢ ὄπισθεν (*O* 672) 14 μέτοποι· ἄνδρες ⟨μέροπες an מְתֹם?⟩ 16 μετῴχετο (*E* 148)· ἐπορεύετο 19 [μετα]μέτρια· ἁρμόζοντα 25 μέταυλον (Moer. 264)· μέσαυλον 30 μεύει· κοιμᾶται ⟨μύει⟩ 33 μὴ ἀπώσῃ (Ps. CXVIII 10) 34 μὴ ἀποσκορακίσῃς με (Ps. XXVI 9)· μὴ ἀποδιώξῃς με. μὴ ἀποδοκιμάσῃς με 35 μὴ δαζεόθουρον Ἄρημα (*E* 830)· μὴ δὲ ἐντρεπούντων πηλίκον ἀέρα 38 μηδαμῶς· μὴ δῆτα ⟨1152⟩ 39 μηδαπὴ γῆ· ἰδία ⟨ἡμεδ—⟩ 44 μήδεο (*B* 360)· βουλεύου 45 μηδὲ πόδας (*I* 523 paraph.)· μηδὲ τὴν ἄφιξιν καὶ τὴν παρουσίαν Ad 47 βουλεύεται (*Φ* 413) 48 μηδ' ἐπ' ἀρωγῇ (*Ψ* 574)· [μηδὲ βοηθήσῃ] μηδετέρῳ [τες μηδὲ] βοηθοῦντες 53 μηδόμενος· ποιῶν. βουλευόμενος 54 μὴ δόξῃ σοι· μὴ νομίσῃ σοι 55 μηδοτιοῦν· μηδέ τί ποτε Ad 56 καὶ ὄνομα ἡρωίδος ⟨Μήδεια⟩ Ad 59 [μηδοτιοῦν. μηδαπλῶς.] — [ζεῦσις] 61 μηδώησοι (*Λ* 324)· μὴ δῷ 62 μὴ ἐπαίρου (Prov. III 5)· μὴ ὑπερηφανοῦ 63 μὴ ἐφικνούμενοι (II Cor. X 14)· μὴ καταλαμβάνουσι

*Μήθυμνα* (Call. Ep. XVI 3)· *πόλις Λέσβου*

*Μηθυμναῖος· ὁ Διόνυσος*

*Μηθών· πόλις* [67. 68]

*μηκάδες* (*Λ* 383 *Ψ* 31)· *ἢ αἱ μηκώμεναι αἶγες, ἢ κραυγάστριαι. ἔνιοι δὲ τὰς κερατώδεις· μῆκα γὰρ τὰ κέρατα. Ἀππίων δὲ τοκάδας*

*μηκᾶσθαι· κράζειν ὡς αἶξ*

*μηκᾶται· τοῖς ἐρίφοις ἴσως κράζει*

*μηκεδανόν· μακρόν* [73]

*μήκιστα* (*ε* 299. 465)· *μέγιστα, ὑπερμεγέθη, ἔσχατα*

*μῆκος· μάκρος* [76. 77]

*μὴ κοτήσῃ· μὴ ὀργισθῇ*

*μήκυνον· αὔξανον, μάκρυνον*

*μήκωνες· πόα τις λήθην ἐμποιοῦσα. καὶ τὰ τῆς πίν(ν)ης περιττώματα καὶ τῶν ὁμοίων* (Aristot. HA. IV 4). *καὶ μέρος* ⟨v. *κρατηρίσκοι*⟩ *καὶ ὕφασμα βύσσινον. καὶ οἱ ἄγριοι* ⟨ad *Μήκωνος ἀγροικία*⟩. *καὶ ἡμεροπίτυς*

*μῆλα· κοινῶς μὲν πάντα τὰ τετράποδα· ὅθεν καὶ πᾶσα βύρσα, ὅ ἐστι πᾶν δέρμα, μηλωτή λέγεται. κατ' ἐπικράτ(ε)ιαν δὲ τὰ πρόβατα καὶ αἶγες. καὶ παντὸς δένδρου καρπός, ἐξαιρέτως δὲ τῆς μηλέας. πάντα τὰ δένδρα*

*μηλατάν· τὸν ποιμένα. Βοιωτοί* ⟨1198⟩

*μηλαφῆσαι· ψηλαφῆσαι*

†*μηλεανορεῖ· δημηγορεῖ* ⟨*μὴ λεαγορεῖ*⟩

*Μηλιάδες· νύμφαι*

†*μήλιαι· ἀστράγαλοι* ⟨667⟩

*μηλοβοτεῖ· ποιμαίνει*

*μηλοβοτῆρες· ποιμένες, οἱ τὰ μῆλα νέμοντες* (cf. *Σ* 529)

*μηλόβοτος* (Lycurg.)· *τόπος ἀνειμένος προβάτων εἰς βρῶσιν* [90]

*μηλολόνθη* (Aristot. HA. I 5, 4)· *εἶδος κανθάρων, οὓς τινες χρυσοκανθάρους λέγουσι* (Herod. Chol. fr. 1)

*μηλονομεῖς· ποιμένες*

*μηλονομιαῖον· ἐννόμιον*

*μήλοπα* (*η* 104)· *μηλοειδῆ τῷ χρώματι. τοιοῦτος γάρ ἐστιν ὁ πυρός* [95]

*μηλοσόη· ὁδός, δι' ἧς πρόβατα ἐλαύνεται. Ῥόδιοι*

*μηλοσφαγίαι· θυσίαι προβάτων*

*μηλόται· ποιμένες* ⟨1182⟩

*μηλοφόροι* (Ctesias?)· *θεραπεία Περσικὴ τοῦ βασιλέως*

?*μηλόβαι· μηλοβάται. ποιμένες*

*μήλῳ βαλεῖν* (Ar. Nub. 996 Theocr. V 89)· *πτοῆσαί τινα, καὶ εἰς ἔρωτα ὑπαγαγέσθαι*

*μήλωθρα* (Seleucus)· *βάμματα. οἱ δὲ τὸ τῶν δερμάτων βάμμα. ἄλλοι τὸ πρόστυμμα τῆς πορφύρας. οἱ δὲ καλλωπίσματα* [1203]

*μηλών· τὰ ἀκρόδρυα: ἢ βάπτων* ⟨*μηλῶν*⟩

*Μήλων Ἡρακλῆς· ὀνομασθῆναί φασι τὸν θεὸν οὕτως διὰ τὸ μὴ ἱερεῖα θύειν αὐτῷ τοὺς Μελιτεῖς, ἀλλὰ τὸν καρπὸν τὰ μῆλα*

*μηλῶσαι* (Phrynich. fr. IX p. 604)· *τὸ τὴν μήλην καθεῖναί που. καὶ ἐν τῷ ἐμεῖν καθιέντας τι εἰς τὸ στόμα καταμηλοῦν. καὶ τὸ τὰ βαπτόμενα ἔρια πιέζειν εἰς τὸ χαλκίον*

*μηλωτή* (Philemo p. 9)· *διφθέρα* [8—12]

*μηναγύρτης· ὁ ἀπὸ μηνὸς συνάγων* [*πανήγυρις*]

*μήνατο· ἐμήνατο, ἐμάνη. ἤρατο*

*μῆνες· ἡμέραι .....*

*μήνη* (*Ψ* 455)· *σελήνη* [ad 16] [17. 18]

*μήνιγγα· ἐγκέφαλον*

*μῆνιγξ· ὑμὴν τοῦ ἐγκεφάλου. καὶ τὸ ὑφιστάμενον τοῖς οἰνηροῖς πίθοις ἐν τῷ οἴνῳ πρὸ τοῦ ἀνθεῖν. ἐπίπλους. καὶ δημός*

*μήνιε· ὀργίζου*

COD. 69 *μὴ κοιμώμεναι αἶγαι* 72 *μικρόν* 75 *μακρός* 78 *κοτίσῃ* 81 *ἐπικρατίαν* 83 cf. *μαλαφῶν, ὑπομηλαφῆσαι* 88 |*ότειρες* 94 *μηλοειδ.ˋς* 96 cf. *μαλόσα* et *διακαλαμάσαρκες* 1201 *μηλοβαλεῖν* 2 *πρόστριμμα* 4 *μήλων* 5 cf. *Ἡρακλέους θυσία* 6 *καθῆναι — τῷ ἐλεῖν — χάλκιον* 9 *ἀπεγραμμένοις* (14 cf. Anth. Pal. IX 35, 1) 20 *μήνιγξ, ὑμὶν — δῆμος*

HES. 67 *μῆκα· κέρατα* ⟨1169⟩ 68 *μηόνη* (*Δ* 141)· *βάψει* 73 *μὴ κεῦθε* (*Α* 363)· *μὴ κρύπτου* 76 *μὴ κοίνου* (Act. Ap. X 15)· *μὴ ἀφάνιζε. μὴ μίαινε. μὴ ἀκάθαρτον νόμιζε* 77 *μῆκος δέπορ Ἀρτελις ἀγυή* (*υ* 71)· *τὸ τῆς ζώνης. αὕτη γάρ ἐστιν ἐπὶ τῶν θηλειῶν* 90 *μῆλον· πᾶς καρπός* 95 *μήλοπα καρπόν* (*η* 104)· *τὸν πυρόν, ὅτι μηλοειδής.* [*καὶ μήλη τὸ ἐργαλεῖον, ἐφ' οὗ τὴν κρόκην ἔτριβον*]. *οἱ δὲ τὸ ἔριον, ἐπειδὴ καρπός ἐστι τῶν προβάτων* 1203 *μήλων* (Hom.)· *προβάτων* 8 *μή με* (*Α* 32)· *μηδαμῶς με* 9 *μὴ μὲν δὴ καθαρῷ θανάτῳ* (*χ* 462)· (*ὁ*) *δι' ἀγχόνης θάνατος οὐκ ἔστι καθαρός, ἀλλ' ὁ διὰ ξίφους, ὅθεν οὐδὲ ἐναγί[α]ζουσι τοῖς ἀπαγξαμένοις* 10 *μημωτά· ψεκτά* ⟨*μωμητά*⟩ 11 *μή μ' ἐρέθιζε* (*Α* 32)· *μή με παρόξυνε* 12 *μήνα* ⟨*μήτρα*⟩· *τὸ μέσον τοῦ ξύλου, ὅπερ καρδία καὶ ἐντεριώνη* Ad 16 *καὶ μήνης ἔμμονος καὶ περιτεταμένη ὀργή* 17 *μηνιάσας· ὀργισθείς* ⟨1225⟩ 18 *μήνιγμα* (Sirac. XL 5)· *μῆνιν*

μηνίειν (Herod. VII 229)· ὀργίζεσθαι

μηνιθμός (Π 62?)· ὀργή

μήνιμα (Χ 358 λ 73)· μῆνις, ὀργή, χολή, κότος ἐπίμονος, μέμψις. Ἀπίων, μάνης· οἱ γὰρ ὀργιζόμενοι μαίνονται [25]

μηνίσκοι (Ar. Avv. 1144)· τὰ ἐπὶ ταῖς κεφαλαῖς τῶν ἀνδριάντων τιθέμενα, ἵνα μὴ τὰ ὄρνεα ἐπικαθέζηται. καὶ τὰ χαλκώματα τὰ τῶν πηδαλίων [ad 26] περιτραχήλια, [ad 26] περιδέραια [27]

μηνοειδές (Herod. VIII 16 Thuc. II 76)· σεληνοειδές [29]

μηνύειν· κηρύσσειν [ad 30]

μηνύεσθαι· μηνυτρίζεσθαι

μηνυθῆναι· [ad 32]

μηνύεται· μηνυτρίζεται, μήνυτρα δίδωσι

Μηνυτής· Ἡρακλῆς ἐν Ἀθήναις [35—40]

μὴ ὅτι· μήτιγε

μὴ οὖσα δίκη (Dem. 543, 14)· οὕτω λέγονταί τινες οὐκ οὖσαι δίκαι, μὴ οὖσαι [43]

μὴ παιδὶ ξίφος· παροιμία [45—47]

μὴ 'π' ἀεχηνίῃ τρέπειν· μὴ αἰτιῶ τὴν πενίαν, ὅτε δέηται ....

μὴ 'πίσειέ μοι (Eur. Or. 255 et Alex. com. III 383)· μὴ ἐπίσειέ μοι [50]

μήρια (Α 40)· τὰ ἐκ τῶν μηρῶν ἐξαιρούμενα ὀστᾶ [52]

μήρινθος (Ψ 869?)· δεσμός, σχοινίον σπάρτης, βρόχος

μῆριγξ· ἄκανθα, γινομένη ἐν τοῖς ἐρίοις τῶν προβάτων

Μηρός· τόπος ἀμπέλου, καὶ ξύλον (cf. Apollod. Poliorc. p. 46 B), καὶ τὸ τῆς καλάμης κῶλον. καὶ ὄρος (Theophr. IV 4, 1)

μήρυκες (Arist. HA. IX 37, 6)· ἰχθύες . [57]

μήρυμα (Nic. Th. 160. 265)· σπείραμα. ἢ ἐκτεινύμενον [59—61]

[ad 62] κάταγμα, ἢ σπάσμα ἐρίου

μησαμένη· βουλευσαμένη

μήσατο (Eur. Phoen. 799)· εἰργάσατο, ἐτεχνάσατο [65. 66]

μῆστο· (ἐ)βουλεύσατο

μήστωρ (Ρ 477)· βουλευτής. ἔμπειρος. πολεμιστής. ἐριστής. ἐπινοητικός, φρόνιμος [ad 68]

μήστωρα φόβοιο (Ζ 97)· ἔμπειρος πολέμου [70]

(μήστωρι· βασιλεῖ, φρονίμῳ) 1513

μήτεα· μητίματα

μήτειρα (Ξ 259?)· φρονίμη. καὶ ἡ μήτηρ [73—75]

μή τευ μελαμπύγου τύχοις (Archiloch. fr. 109)· μὴ τινος ἀνδρείου καὶ ἰσχυροῦ τύχοις [77]

μήτηρ· ἡ πρεσβυτάτη πᾶσα [79—82]

μητίεται· βουλεύσεται (cf. Apoll. Rh. I 665) . [84]

μητιέτης· βουλευτής [86]

COD. 26 τετραχήλια 27 μηνιῶ 42 οὖσαι κδίκαι 43 εἴθε, μὴ ὄφελες 48 πασχηνίῃ — αἰτιοῦ 49 πίσει ἐμοί, μὴ ἐπίσει ἐμοὶ 51 τὰ ἐπὶ 53 cf. σμήρινθοι, μίρυνθος 54 cf. σμῆριξ 56 μήρικες (cf. βῆρυς) 57 μ.ρικίζει 58 μήριγμα 68 μῆστορ ης 76 μήτ' εὐμε| 81 ὁ εἰς τέχνητεις

HES. 25 μηνίσας (Ε 178)· ὀργισθείς Ad 26 ὑμένες ⟨1394⟩ πέταλα ⟨μήνιγγες⟩ — μανιάκια (Iesai. III 18) 27 μηνιῶ (Ierem. III 12)· ὀργίζομαι 29 μῆνος· κότος. ἔμμονος ὀργή Ad 30 [ζητεῖν] Ad 32 βούλεσθαι 35 μηνύριζε (Ε 889)· θρηνώδης ὁ φθόγγος ⟨μι—⟩ 36 μὴ νύ τοι (Α 28)· μὴ δή σοι, οὐδαμῶς γάρ σοι 37 μὴ νῶϊν (σ 13)· μὴ ἡμῶν 38 Μήονες (Κ 431)· Λυδοί. (Κύπριοι) 1428 39 Μηονίς (Δ 142)· Λύδη. Μη- ι ν.α γὰρ ἡ Λύδη ⟨1168⟩ 40 μηονέκτης· ὁ ἐλαττῶν ⟨μει—⟩ 43 μὴ ὄφελες (Ι 698)· εἴθε μὴ ὤφειλες 45 μὴ πάνχυ (Ε 24)· μὴ παντελῶς 46 μὴ παραζήλου (Ps. XXXVI 1)· μὴ ὁμοιοπαθεῖς 47 μὴ παραρύεις (Prov. III 21)· μὴ ἐκπέσῃς. ἐκ μεταφορᾶς τῶν ὑδάτων 50 μήπως (Ε 250)· μήποτε 52 μήριθμος· δέλτος ⟨μέρμιθος· δεσμός⟩. ἢ μήρινθος 57 μηρυκίζει· μαρυκᾶται ⟨rec.⟩ 59 μηρινθίᾳ (Ψ 854)· σπάρτῳ 60 μηρυομένη (Proverb. XXXI 13)· ἐκτεινομένη 61 μηρύσαντο (μ 170)· συνέστειλαν Ad 62 μήρισμα· 65 μή σε (Α 26)· μηδαμῶς σε 66 μή σε γέρον (Α 26)· οὐδαμῶς σε πρέσβυτα Ad 68 [μήστωρ μέν] 70 μήστωρες ἀϋτῆς (Δ 328)· ἐργάται μάχης, κραυγῆς, βοῆς 73 μὴ τέκταινε (Prov. III 29)· μὴ ἐργάζου, μὴ κατασκευάζει [μὴ κατὰ] 74 μητέρα θηρῶν (Θ 47)· πολλὰ θηρία ἔχουσαν 75 μητέρα μήλων (Β 696)· πολυθρέμμονα 77 μητέρι (Ζ 87)· μητρί 79 μήτιγε (I Cor. VI 3)· πόσῳ γε μᾶλλον 80 μήτι ἐγώ (Matth. XXVI 22)· ἆρά γε ἐγώ 81 μητίετα Ζεύς (Α 175)· τεχνίτης σοφός, βουλευόμενος ἄριστα 82 μητιέτης· βουλευτής 84 μήτη (Ψ 316. 318)· βουλή 86 μητιόωσα (Ο 27)· φροντίζουσα, βουλ(ευ)ομένη

Μῆτις (Hom.)· σύνεσις. βουλή. τέχνη. γνώμη. δόλος, ἀπάτη. καὶ ἡ θεός [88]

Μητίχου τέμενος [ad 89]

μήτρα· εἶδος σφηκός. καὶ τῶν ξύλων τὸ ἐντός, ὃ καρδίαν τινές, ἡ ἐντεριώνην καλοῦσι (Aristot. Theophr.). καὶ ὁ κλῆρος ὑπὸ Σολέων, ὡς Κλείταρχος. καὶ ἡ τῆς γυναικός [ad 90]

μητραλοίας (Aesch. Eum. 210)· ὁ τύπτων τὴν μητέρα αὐτοῦ [92]

μητροπόλους· τὰς πάλαι Μελίσσας

μητρὸς μέθυ (Eur. Alc. 757)· τῆς ἀμπέλου [95—97]

μὴ φέρειν· ἀντὶ τοῦ μὴ λαμβάνειν. διὸ καὶ μισθοφόρους λέγουσι τοὺς μισθοὺς λαμβάνοντας καὶ μισθοὺς φερομένους

μὴ φωραθῇς· μὴ ἐλεγχθῇς

μηχαναί· τέχναι. ἐπίνοιαι. βουλεύματα. ἅμαξαι. συμπεράσματα. καὶ ὄργανά τι(να) μηχανικά, ἐν οἷς προσδεσμούμενα τὰ κτήνη ἀλήθουσιν

μηχανόωντα· βουλεύοντα (σ 142?)

μηχανορ(ρ)άφος (Eur. Andr. 1116 Soph. OT.)· κατασκευαστής, ἐπινοητὴς κακῶν

μηχανώματος· διαζώσματος

μῆχαρ (Aesch. Suppl. 394)· μηχάνημα. ὄφελος [1305]

μιαίνει· μολύνει [7]

μιαιφόνον (Eur. Andr. 335)· αἷμα φονικόν

μιᾷ μαχαίρᾳ (Ar. Ach. 849)· τὴν λεγομένην κῆπον κουρὰν μιᾷ μαχαίρᾳ ἐκείροντο [10]

μία λόχμη οὐ τρέφει ⟨δύο⟩ ἐριθάκους

μιαρά· μεμιασμένα, ἀκάθαρτα

μιαραὶ ἡμέραι· τοῦ Ἀνθεστηριῶνος μηνός, ἐν αἷς τὰς ψυχὰς τῶν κατοιχομένων ἀνιέναι ἐδόκουν

[ad 14] αἵματος ἀκαθάρτου ⟨ad μιάσματος⟩

μίασμα ἢ μιασμός· μῶμος, ῥύπος, μολυσμός, ἀκαθαρσία, μιαρότης

μιάστωρ (Trag.)· μυσαρός. λυμεών

μία χελιδὼν (Aristot. Nicom. I 7, 16)· παροιμιῶδες τοῦτο, ὅτι μία χελιδὼν ἔαρ οὐ ποιεῖ. βούλεται δὲ εἰπεῖν, ὅτι μία ἡμέρα τὸν σοφὸν οὐκ ἐᾷ εἰς τελείωσιν ἐμβάλλειν, (ἢ) εἰς ἀμαθίαν

†μιαχρόν· καθαρόν

†μίαχος· μίασμα. ἀσέβημα. τίθεται δὲ καὶ ἐπὶ τοῦ δυσώδους

μιγάδες (Isocr. p. 45 C)· τὸ ἐκ πολλῶν ἄθροισμα ξένων [21]

μιγάς· μεμιγμένος [23. 24]

μίγδην· ἀναμίξ, ὁμοῦ ἐν ταὐτῷ (h. Merc. 491)

†μιγδηράζειν· ὑβρίζειν [27]

Μίδα θεός· οἱ ὑπὸ Μίδα βασιλευθέντες ἐσέβοντο καὶ ὤμνυον τὴν Μίδα θεόν, ἥν τινες μητέρα αὐτοῦ ἐκτετιμῆσθαι λέγουσιν

μίδας· κυβευτικοῦ βόλου ὄνομα (Eubulus). καὶ θηρίδιόν τι, διεσθίον τοὺς κυάμους (Theophr. C. Pl. IV 16). καὶ ὁ πλούσιος, ἀπὸ Μίδα τοῦ βασιλέως

μίειν· ἐσθίειν ⟨μυίειν?⟩

μιῆναι· μιᾶναι, ῥυπῶσαι [32]

μιῆς χθονός· τῆς αὐτῆς γῆς

μίθρας· ὁ ἥλιος, παρὰ Πέρσαις

Μίθρης· ὁ πρῶτος ἐν Πέρσαις θεός

†μίθρος ἢ μίθρους· συζευγνυμένους

†μίκαι· λάχνα, ὄμβρια ⟨σκίμβρα⟩

μίκας· μικρολόγος

†μίκλας· αἶγας ⟨μηκάδας?⟩

μίκρ' ἄττα (Ar. Nubb. 630)· μικρά τινα

μικρολόγος· ἀκριβής. φειδωλός [ad 41]

μικρόρ(ρ)ωξ· μικρόβοτρυς

μικρόψυχος· δειλός

μικροῦ (δεῖν)· παρὰ μικρόν

COD. 89 μητιχουτεμένος 90 μητέρα — σολ.ων ⟨cf. μῆνα⟩; Κλέαρχος? 92 μητροπάτορος 94 μέθυσις 1305 μῆχας 8 αἷμα μιαιφονικόν 9 μιαιμάχαιραι — κ. πονκουρὰν μιαιμάχαιραι 11 μιαλόχμη, οὐ τρέφει ἀγριθάκους 13 |ουμένων 15 μιὰς ἢ 16 λυμαίων 17 μιᾶ, χελιδὼν 28 μιδάθεος, οἱ ὑπόμιδα — ἐκτετιμεῖσθαι 33 μιησχθόνος 37 cf. μίρεα, μίμαστα ⟨38 μικᾶς?⟩ 40 μικράττα, μικρατινά

HES. 88 μή τι φόβον δ' ἀγόρευε (Ε 252)· μηδέν μοι περὶ φυγῆς διαλέγου Ad 89 εἴη ἂν τὸ Μητιχεῖον δικαστήριον μέγα, † ὃ † προσεκλήθησαν ...... δικασταί (Append. prov. p. 434) Ad 90 καὶ κεφαλῆς διάδημα βαρβαρικόν ⟨ad μίτρα⟩ 92 μητροπάτωρ, ὅς (Λ 224)· τῆς μητρὸς πατήρ 95 μητρὸς Ἐρινύες (λ 279)· αἱ διὰ τὴν μητέρα εὐξαμένη(ν) ἐπήκοοι γενόμενοι 96 μητρωίαι (Β 662)· μητρὸς ἀδελφοί (non Herod. IV 80) 97 μὴ ὑπερίδῃς (Ps. LIV 1)· μὴ καταφρονήσῃς 1305 μῆχος (Ι 249)· μηχανή 7 μιαιφόνος· μεμιασμένος τοῖς φόνοις (Ε 844) μεμολυσμένος φονεύ[σι]ς 10 Μιάνδρος· ποταμός Ad 14 μιαρός (Ω 420)· μεμολυσμένος 21 μιγαζομένους (θ 271)· μισγομένους 23 μίγδα (ω 77)· ἀναμίξ, μεμιγμένως 24 μίγδαλοι (Θ 437)· ἀναμεμιγμέναι 27 μιγέωσιν (Β 475)· μιχθῶσι 32 μιηνῇ (Δ 141)· βάψει. μολύνει, ῥυπώσει Ad 41 εἰδώλῳ φίλος

μικύθινον· τὸ μικρόν. καὶ νήπιον
μῖλαξ· ἡλικία. ἔνιοι δὲ μέλλαξ· καὶ παρ' Ἑρμίππῳ ἐν Θεοῖς (fr. X), ἀγνοήσας Ἀρτεμίδωρος· ἐκεῖ γὰρ μῖλάξ ἐστιν. δηλοῖ δὲ τὸν δημοτικόν ⟨637⟩ [47—58]
μιλτοπάρῃοι (B 637)· μιλτόπρῳροι· τὰ ἑκατέρωθεν τῆς πρύμνης καὶ πρῴρας μεμιλτωμένα ἔχουσαι. οἱ δὲ αὐτοὶ καὶ φοινικοπάρειοι ἐλέγοντο
μίλτος· εἶδος ἐρυθρὸν σινωπίδος
μιλτῶ· πλύνω
μιλτωρυχία (Amips. fr. III p. 707)· τόπος, οὗ μίλτος ὀρύσσεται
μιλτῶσαι· βάψαι
Μιλύτης· Ἀφροδίτης ⟨v. Μυλίταν⟩
μιμα(ί)κυλον (Aristoph. inc. VIII)· ὁ καρπὸς τοῦ κομάρου ⟨q. v.⟩. ἔστι δὲ ὡς μέσπιλον μικρόν, πυρρόν
Μιμαλλόνες (Callim. fr. CCCCI)· Βάκχαι. †βοαὶ δρόμοι
μιμά⟨ί?⟩ξασα· χρεμετίσασα. φωνήσασα ⟨1378⟩
†μίμαρ· ἀναιδές [69]
μίμαρκυς· κοιλία καὶ ἔντερα τοῦ ἱερείου μεθ' αἵματος σκευαζόμενα. μάλιστα δὲ καὶ ἐπὶ λαγωῶν αὐτῇ ἐχρῶντο· ὁτὲ δὲ καὶ ἐπὶ ὑός. ὁ δὲ Φερεκράτης παίζων (fr. XV p. 340) καὶ ἐπὶ ὄνου φησί
Μίμας· ὄρος †Αἰτωλίας ⟨Philol. XVI 529⟩
†μίμαστα· ἄγρια λάχανα ⟨1337⟩
μιμαυλεῖν· μιμεῖσθαι. ὑποκρίνεσθαι
? Μίμαλις (Call.)· ἡ νῦν Μῆλος ⟨791⟩ [75. 76]
μιμηλόν· ὅμοιον, ἐξομοιοῦν. παρὰ τὸ μιμήσασθαι
μιμιχμός· τοῦ ἵππου φωνή ⟨1367⟩ [79]
μιμνάζετε· μίμνετε. μένετε [81. 82]
μιμνήσκει· μνημονεύει [84]
†μιμορτοβία· ναῦς, ᾗ ἄνθρωποι βεβήκασιν ⟨1690⟩
μίν (Z 417)· αὐτόν, αὐτήν (η 67), αὐτό (Α 237). τρία γένη δηλοῖ [87—89]
†μινδαλόεσσας· ἀριθμός. καὶ τὰ περὶ οὐράνια σύνταξις. Βαβυλώνιοι
μίνδαξ (Amphid. fr. p. 311)· θυμίαμα ποιόν
μίνθα· τὸ ἡδύοσμον ⟨1414⟩. καὶ †ἀνθρωπεία κόπρος [93. 94]
Μινύαι· οἱ Ὀρχομένιοι, καὶ Μάγνητες
μινυανθές (Nic. Th. 522)· πόα ἄσφαλτος. καὶ τρίφυλλον
μινύζηον· ὀλιγόβιον [98]
μινύθειν· ἐλαττοῦσθαι [1400]
μινύθουσιν· φθείρουσι(ν), ἐλαττοῦσι, μειοῦσιν, ἀφανίζουσιν
μίνυνθα· ἐπ' ὀλίγον χρόνον, ὀλιγοχρόνιον·
μίνυ(ν)θα δ' ἐχάζετο δουρός (Α 539)
ἐπ' ὀλίγον δὲ ἀπείχετο μάχης [3]
μινυνθαδία, ἡ σελήνη. ἀπὸ τοῦ μινύθειν [5. 6]
μινύον ⟨1414⟩· τὸ βλίτον λάχανον, ἢ κινάβαρ(ι)
†μίνυρες· κλίναι. μάντεις ⟨v. πύξ⟩
μινύρεται (Soph. OC. 671)· κλαίει, θρηνεῖ, ὀδύρεται
μινυρίζει· ὀλίγῃ φωνῇ καὶ οἰκτρᾷ χρῆται. ἢ εὐφώνως λέγει
μινυρομένη (Ar. Eccl. 880)· θρηνοῦσα. καὶ τὰ ὅμοια
μινυρόν· μικρόν, ὀλίγον τῇ φωνῇ μινυρίζον
μινύρονται (Sept. Aesch. 123)· προφωνοῦσι, προλέγουσι [14]

COD. 46 μίλαξ — μέλλα (cf. κέλλικας) 50 ζ οἱ δὲ ζ ὑποδῶν δ' 59 μιλτοπάριοι 64 μιλίτης 66 cf. ἡμιμάλλονες et κλώδωνες ⟨68 [μίμαρ· ἀ] ναῖδες ad 1366 ?⟩ 70 μιμάρκυς — υἱὸς ⟨72 L. μίμας· τὰ⟩ 77 ἐξύμοίου 80 |τε ter 90 ἀριθμά ⟨92 αἰγεία ?⟩ 98 μινύκιος 1403 ἀπ.[ἐ]χετο 4 μινυνθεῖν 7 βλῆτον — κινάβαρ 10 οἰκαταχρῆται

HES. 47 Μίλητος· δύο πόλεις Μίλητοι· ἡ μὲν Κρήτης (B 647)· ἡ δὲ Ἀσίας (B 868). αὗται 48 μίλια· τὰ ἐξέθετα χρήματα 49 μιλίγμασι· κολακείαις. ἐδέσμασιν 50 μίλιον· δένδρον ὅμοιον ἐλάτῃ. ᾧ τοὺς νέους στεφανοῦσιν ἐν ταῖς πομπαῖς ⟨cf. Σ 1256⟩. ἢ μέτρον ὁδοῦ, σταδίων ζ. οἱ δὲ η', ποδῶν ͵δω' 51 μιλίσσεο ⟨597⟩· κεχαρισμένα καὶ ἡδέα λέγειν ⟨ad μειλισσέμεν⟩ 52 μιλισσόμενος (χ 311)· παρακαλῶν 53 μίλιχα· προσηνῆ, ἥδιστα ⟨599⟩ 54 μιλιχῇ (O 741)· πραότητι, προσηνίᾳ 55 μιλιχίη (Hesiod.)· ἱκετείᾳ ⟨601⟩ 56 μιλιχίοις· γλυκίοις. πραϋτικοῖς (M 267) 57 μιλίχιος· πρᾶος, ἢ πραῢς 58 μιλλός ⟨novic.⟩· βραδύς ⟨cf. νωχελής⟩ χαῦνος 69 μιμάρκης· λαγωοῦ χορδή ⟨1389⟩ 75 μιμέρα ⟨μιμεία Philon. II p. 598, 33⟩· ἡ μιμητικὴ τέχνη. καὶ ἡ μίμησις 76 μιμηλάζειν (Philon. I p. 557, 13. 610, 11)· μιμεῖσθαι 79 μιμνάζειν (B 392)· μένειν. καὶ μιμνεῖς (Θ 78) 81 μίμνησιν (ξ 169)· ἀνάμνησιν ποιῆσαι 82 μιμνήσκεται (ο 54)· μνημονεύεται 84 μίμνον (E 94)· ἔμενον 87 μίνα· μύρια. καὶ τὰ μικρὰ σῦκα ⟨cf. συκάμινα⟩ 88 μίναι (Cyprii ?)· προφάσεις ⟨μῦναι⟩ 89 μίναρ· χόρδη ⟨1369⟩ 93 μῆνις· ἔχθρα 94 μινίσκη· ὑμένα. πέταλα ⟨1226⟩ 98 Μινυήϊος (Λ 721)· ποταμὸς Πύλου 1400 μινύθει· ἐλαττοῦται (Π 392), μειοῦται (Υ 242) 3 μινυνθάδιον (Λ 352)· ὀλιγοχρόνιον 5 μινυνθοῦσι δέ (P 738)· φθείρουσι δέ. ἀφανίζονται δέ 6 μινυνθοῦσι· φθείρουσιν 14 μινύον· ἀρωματικόν τι

μινυώριος (Call.)· βραχύυπνος. ἄχρηστος. ἀδύνατος. ὀλιγοχρόνιος. ὀλίγης ὥρας ἄξιος
μινφά· εἶδος ἀμπέλου [17. 18]
Μινώταυρος· Πασιφάης υἱός
μίξαι· σπεῖραι. κεράσαι. συμβαλεῖν
μιξίαμβος· λοίδορος. μεμιγμένος λοιδορίᾳ. ποιηματοκόπος
μίξις· κοίτη, συνουσία
μιξοβάρβαρος (Eur. Phoen. 138)· [ad 23] (οὔτε βάρβαρος, οὐθ' Ἕλλην, ἀλλ' ἀμφοτέρων μετέχων)
μιξοδίη· τρίοδος ⟨1445⟩
μίξοδος· ὁδός, ἣ εἰς ἑτέραν συμβάλλεται
μιξοιφία· μίξις, πλησιασμός [27—29]
μιργάβωρ (Elei)· τὸ λυκόφως ......
μίργωαί (Elei)· πηλοῦσαι. οἱ αὐτοί
†μίρεα· λάχανα ⟨1337. 1372⟩
†μίρκα· εὐανθής, ποικίλη ἄνθεσι
μίρμα· ἐπὶ τοῦ κακοπινοῦς, καὶ ῥυπαροῦ, καὶ πονηροῦ
μίρον· ὅταν ἀπονυστάζῃ τις, λέγουσι Ταραντῖνοι [36]
†μίρτουλον· μύσος. μίασμα
†μιρύκεον· σχοῖνον ⟨μυρικίνεον?⟩ [39]
μίσασθαι (Plato)· μιτώσασθαι
†Μισατίς· Μίσης τῶν περὶ τὴν †μητέρα τις, ἣν καὶ ὀμνύουσι
μισγάγκειαν (Δ 453)· τόπος κοῖλος, ὅπου συμμίγνυνται ὕδατα πολλά [43. 44]
μισγοδ[ε]ίη· ὅπου ἂν ὁδοὶ μίγνυνται
μισγόλας· θόρυβος
μισγονόμος· οὗ πάντες νέμουσι γῇ [48]
μισήτην· τὴν καταφερῆ λέγουσιν μισήτην (Cratin. fr. LXXVIII)·
μίσηται δὲ γυναῖκες ὀλίσβοισι χρήσονται
τὸν δὲ ἁπλῶς μισητόν, τὸν ἀνίκανον, ἢ ἄπληστον τῇ τροφῇ
μισήτιζε· μίσει, στύγει
μισητός· μίσους ἄξιος. ἄπληστος
μισθαρνής· ὁ λατρεύων μισθοῦ. ἢ ὁ μισθὸν ἀφαιρῶν, καὶ ἀντικαταλ(λ)άττων
μισθαρνία (Arist. Polit. I 7)· ἡ ἐπὶ μισθῷ γινομένη ἐργασία
μισθαρχίδ(ης Ar. Ach. 595)· ὁ ἐπὶ τῇ ἀρχῇ μισθὸν λαμβάνων. ὠψωνιάζοντο γὰρ καὶ οἱ ἄρχοντες, καὶ μισθὸν ἐλάμβανον δημόσιον
μισθός· τὸ ἔπαθλον τῶν κωμικῶν. καὶ τὸν ἀμφορέα. †ἔμμισθοι δὲ πέντε ἦσαν
μισθοφορεῖν· τὸ ἐπὶ μισθῷ πράττειν τι
μισθοφόρος· μισθῷ ἐργαζόμενος
μίσκαιος· κῆπος
†μίσκει· ἄρχεται ⟨1526⟩
μίσκελ(λ)ος· εὐτελὴς καὶ μέλας οἶνος [61. 62]
μιστῦλαι· τεμεῖν, κόψαι, μερίσαι, εἰς μικρὰ διελεῖν κρέα
μιστύλλειν· τὰ αὐτά
μίστυλλον (Α 465 al.)· εἰς βραχέα κατέτεμνον
?μισσυνή· ἡ ὀξύτης παρὰ Χαλδαίοις [67]
μίσυ (Theophr. I 6, 13)· τῶν μεταλλικῶν τι
μισυοί· οἱ ἔχοντες τὸ ἥμισυ λευκὸν τοῦ σώματος, τὸ δὲ ἥμισυ μέλαν, οὓς ἔνιοι μίσγους (misticii)
μίσχη· πιλήματα, ταινίαι, μαλλοὶ οἱ τῶν ἐρίων
μίσχον (Theophr. I 3)· οὕτω λέγουσιν, ᾧ συνήρτηται πρὸς τὸ φυτὸν καὶ ὁ καρπὸς καὶ τὸ φύλλον
μίσχος· ὁ παρὰ τῷ φύλλῳ κόκκος [78]
μίτος· τάξις. σειρά. τόνος ⟨v. γόνον⟩
μίτρα (Eur. Bacch. 833)· ἡ χαλκῆ λεπίς. διάδημα. ζώνη. θώραξ. ταινία
†μιτράγχουσα (Aristoph. p. 1078)· ὡς λεπὶς χρυσάων ⟨—ίων⟩, ἣ τῷ μετώπῳ φορεῖται
μίτρῃ· θώρακι [77]

COD. 15 βραχὺ ὕπνος 19 μινο| 30 μιργῶσαι· πηλῶσαι 37 Μουρτίλου μύσος? 42 μισγάγκιον 47 οὗ 49 μισητήν — μισηταί 52 ἀφερῶν 54 μισθαρχία — ὀφ| ⟨58 cf. μύσκος· κῆδος⟩ (60 Varr. L. L. I 54) 63 |λλαι 65 βραχεῖα 68 μισυτῶν
β α
69 μίσγουσι ἔνιοι 71. 72 cf. πέσμα. πάσμα 77 μιτρὶ

HES. 17 μὶν ὦκα (Π 672)· αὐτὸν ταχέως 18 Μίνως (Ν 451)· βασιλεύς Ad
τ
23 ζη εἰς τό μει 27 μιονεκτούμενον· ἐλαττούμενον 28 Μίονες· Κύπριοι ⟨1238⟩ 29 μιρακύλιον· παιδίον. ὑποκοριστικῶς 36 μιονεξία· ἐλάττωσις ⟨μει—⟩ 39 μισαγγία (Δ 453)· κοῖλος τόπος, εἰς ὃν πανταχόθεν τὰ κάτω φερόμενα ἀπὸ τῶν ὀρῶν ὑδάτων μίσγεται 43 μίσγεαι (Β 232)· συνέρχει 44 μισγέσκετο (σ 324)· ἐμίγνυτο 48 μίσησεν (Ρ 272)· ἐφθόνησεν 61 μισογύνης· μισογύναιος ⟨Moer. 257⟩ 62 μισόκαλος (Philo p. 352 D)· ὁ μισῶν τὸ ἀγαθόν 67 Μιχαίας· ἑρμηνεία· ταπείνωσις, ἢ ταπεινούμενος 73 μιτίτριζον· ἐθρήνουν ⟨μινυ—⟩ 77 μίτρην (Δ 216)· χαλκῆν λεπίδα

† μιτρέον· ποικίλον ⟨1438⟩
μίτυλον· ἔσχατον. νήπιον. Λακεδαίμονες ⟨1991⟩ [81]
μιχθῆναι (Soph. OT. 791)· ἀπαντῆσαι. συμμίξαι. ὁμιλῆσαι
† μιχωκεῖ· ἠχεῖ [84. 85]
† μναάδας· τὰς ἀμελγομένας αἶγας
(μναῖα· οὐσία ἢ τόκον προσφέρουσα μνᾶν μίαν) cf. μαγάς
μνα† νόοι· μοῦσαι. μνηστῆρες
μναμονεύθημεν· διεκλήθημεν
μναμο† σύρειν· τὸ ἐπιτηρεῖν, ἢ μεμνῆσθαί τινι
μνάμων· ἱερομνήμων. ἢ μνήμονες, ἢ τὰς θυσίας ἀπομνημονεύοντες
μνάριον· τὸ κάλλυντρον. Βοιωτοί. κόρημα
μναρόν (Cratin. fr. LXXIX)· μαλακόν. ἡδύ. θυμῆρες
μνασίον (Cyprii)· μέτρον τι διμέδιμνον
μναστήρ· τῶν μηνῶν οὕτω καλεῖταί τις
μνᾶται· μνηστεύει (Anacr. fr. LXVII). μέμνηται
μνείω· μνησθῶ
μνῆμα (φ 40)· μνημεῖον, μνημόσυνον (ο 126). ἀνάθημα. τάφος
μνημεῖα (Aesch. Sept. 49)· τὰ οἴκαδε πεμπόμενα ὑπὸ τῶν ἐν πολέμῳ τετελευτηκότων τοῖς οἰκείοις
μνήμη· μνημόσυνον
μνήμονες· ἀρχὴ γυναικῶν ἐπιτελουμένων τῶν ἱερείων [1501]
Μνημοσύνη· μνήμη (Θ 181). καὶ ἡ θεός
μνημύει· σκυθρωπάζει
μνήμυκεν (Χ 491?)· ὑποπτήσσει. δυσχεραίνει [5]
(μνημύοντες· ἀθυμοῦντες) cf. ἀμυ—
μνησίκακον
† μνησιχάρη· ἡδονή
μνή(σ)τεια· γάμου δῶρα
μνηστευόμενοι· ἀρραβωνιζόμενοι
μνηστή· ἡ κατὰ μνηστείαν γαμηθεῖσα. ἢ ἡ ἐκ παρθενείας μείνασα νῆστις, ἤγουν ἀπείρανδρος
μνηστῆρες· οἱ ἐπιβάλλοντες γῆμαί τινα. καὶ οἱ μεμνημένοι
μνήστωρ· ὁ δοὺς τοῦ γάμου ἀρραβῶνα [13. 14]
μνία (Numen. Ath. 295 C)· τὰ βρύα, καὶ τὸ φῦκος
μνίει (Hippocr.)· ἐσθίει ⟨1330⟩
μνιόν (Euphorio)· μαλακόν
μνοία· οἰκετεία
† μνοῦνες· οἱ μηροί
μνοῦς· ἔριον ἁπαλώτατον, καὶ ἡ πρώτη τῶν ἀμνῶν καὶ πώλων ἐξάνθησις. καὶ τὸ λεπτότατον πτερόν, κυρίως δὲ τῶν χηνῶν (Aristoph. fr. XVI p. 1054)
μνῴα (Cret.)· δουλεία [22]
μνῷται· δοῦλοι (Cretes)
μνώμενος· μνηστευόμενος. μεμνημένος (Call. Ap. 95) [ad 24]
μνώονται· μνηστεύονται. καὶ τὰ ὅμοια
μνώσκει (Boeot.)· μίσγεται. ἔρχεται
μογερᾶς (Eur. Tro. 783)· ἀθλίας, πονηρᾶς, λυπηρᾶς, ἐπιπόνου
μογεύοντας· μοχθοῦντας [29]
μογίοντι· μογοῦσι. πυρέσσουσι. Δωριεῖς
† μόξοντι· πυρέσσοντι. πονοῦντι (Aesch. Prom. 275?)
† μογξοῦντες· πυρέσσοντες. πονοῦντες
μόγος· πόνος. ὄχλησις. μόχθος, κακοπάθεια
μογοστόκος Εἰλήθυια (Π 187)· ἡ μογοῦσα καὶ πονουμένη περὶ τοὺς τοκετούς· τουτέστιν λοχεύτρια
μόδα· στρώματα ⟨cf. ὀδή⟩ [36]
μόθακες· οἱ ἅμα τρεφόμενοι τοῖς υἱοῖς δοῦλοι παῖδες [38. 39]
μόθος (Η 117 al.)· πόλεμος, μάχη. πόνος. (φρύαγμα 1572) φόβος. στάσις ⟨ad μῦθος⟩, θόρυβος
μοθούρας· τὰς λαβὰς τῶν κωπῶν
μόθων· εἶδός τι ὀρχήσεως ⟨cf. μόων⟩

COD. Post 79] 73 μίττος 80 μίτυλλον 90 κνήμονες (? καὶ μνήμονες, οἱ) 91 κόρημα post ἡδύ; cf. ναρόν et σάρος 96 μνηῶ· μισθῶ 1509 μνημονευόμενοι 15 cf. ἀμία 17. 18 = 18. 17 17 μνοῖον 18 ἱκετεία Post 17] 23 μνῆτοι 26 cf. ἐσμονῶ et μίσκει Post 26] 30 μογείοντι ⟨29 μογεῦντας vel μογέοντας⟩ 34 μόγος, τόκος 37 ἀνατρ| cf. μοῦσαξ 40 cf. Apoll. lex.

HES. 81 μιχθαλόεσσα (Ω 753)· ἁλίμενος 84 μείωσις· ἐλάττωσις· ἀκαθαρσία 85 μνάᾳ (π 431)· μνηστεύεις 1501 μνᾶ· λίτραι δύο. ὁ δὲ ἅγιος Ἐπιφάνιος λίτρας μιᾶς δίμοιρον ⟨l. διμοίρου⟩ 5 μνήσατο (α 29)· ἀνεμνήσθη 13 μήστωρι· βασιλεῖ. φρονίμῳ 14 μνῆστρον (gl. nomica)· ὁ τοῦ γάμου ἀρραβών 22 μνώεο (Greg. Naz. C. LXII 4)· μέμνησο Ad 24 μηχανώμενος ⟨μώμενος⟩ 29 μογήσας (Hom.)· κακοπαθήσας ⟨1719⟩ 36 μόδυχνον· διοτάλεον ⟨1595. 2040⟩ 38 μοεύων· φέγων 39 μώλωψ· τραῦμα. καὶ ὁ ἐκ πληγῆς αἱματώδης τόπος. ἢ καὶ τὰ ἐξερχόμενα τῶν πληγῶν † ὑδάτων

μόθωνας· τοὺς παρατρεφομένους, τοὺς λεγομένους παιδίσκους. Λάκωνες. οἱ δὲ τοὺς δουλοπρεπεῖς. καὶ σπερμολόγους

μοθωνία· ἀλαζονεία [45]

μοιμυᾶν (Ar. Lys. 126)· τὸ τὰ χείλη πρὸς ἄλληλα προσάγειν

μοιμύλλειν (Hipponact. fr. 80)· θηλάζειν. ἐσθίειν. καὶ τὰ χείλη προσάπτειν ἀλλήλοις

μοῖος· σκυθρωπός ⟨v. σμοιός⟩ [49]

μοιρηγενής· ἀγαθῇ γεγονὼς μοίρᾳ

μοιρί⟨ό⟩λογχοι· οἱ τὰ κοινὰ διαιροῦντες

μοιρῆσαι· μερίσαι, ἢ διελεῖν ⟨1653⟩

μοιρήσασθαι (Call. Dian. 36)· λαχεῖν. καὶ τὰ ὅμοια

μοιρολογχεῖν (Antipho)· τὸ μερίδι λαγχάνειν. τινὲς δὲ διαιρεῖσθαι [55]

μοιτοὶ ἄντιμοι (Sophro fr. 104)· παροιμία Σικελοῖς· ἡ γὰρ χάρις μοι τὸν οἰνόχαριν

μοιχάγρια (θ 332)· τὰ τῆς μοιχείας ἀγρεύματα· ὁ γὰρ ληφθεὶς ἐπὶ μοιχείᾳ ζημιοῦται

μοιχοῖς· πόρνοις

μοιχοτύπη· ἡ ὑπὸ μοιχῶν τυπτομένη

μοκκώνωσις· περιφρονεῖς. παρὰ Βλαίσῳ

μόκρωνα· τὸν ὀξύν. Ἐρυθραῖοι

μολβίς· στάθμιόν τι ἑπταμναῖον

†μολγῷ· νέφος, παρὰ Βλαίσῳ, ἡ ἀκόλουθος

μολγός· Ἀριστοφάνης. τάχα ἂν εἴη ἐκ πλήρους, ἀμολγός. ὁ δὲ ἀμέλγων τὰ χρήματα ἀμολγός. ἔνιοι δὲ μολγοὺς ἀκούουσι τοὺς μοχθηρούς, †τοῖς ἀμέλγουσι τὰ κοινά, κλέπτας εἶναι· καὶ τὸ ἀμολγός. ἄλλοι δὲ μολγὸν τὸν βόειον ἀσκόν (Tarentini). τίθεται δὲ καὶ ἐπὶ τῶν ἁμαξῶν (Cretes)

μολεῖν· ἔρχεσθαι, τρέχειν, ἐλθεῖν, δραμεῖν (μολῆσαι· ἐλθεῖν) 1653

Μολίονε (Λ 708)· μαχηταί. καὶ Μολιονίδαι· γυναικός τινος υἱοί (Pind. Ol. XI 35)

μολοβόβαρ· ὁ τοῦ Διὸς ἀστήρ, παρὰ Χαλδαίοις ⟨מלך־כוכב⟩

μολοβρός (σ 26)· μολίσκων ἐπὶ τὴν βοράν, τουτέστι παράσιτος, γαστρίμαργος, ἐπαίτης, καὶ ὁ ἐρχόμενος φαγεῖν [ad 68]

μολόβρια· τὰ τῶν ἀγρίων θηρίων τινὰ ⟨τέκνα⟩ οὕτω καλεῖται

μολόθουρος (Nic. Al. 147)· ἀσφόδελος. ἢ ὀσπριόν τι ⟨λάθυρος?⟩. καὶ ἡ ὀλόσχοινος

μολορός (l. μουλορός Cyprii)· λυπηρός, ἀηδής ⟨1593. 2044⟩ [72]

μολούειν (lex Att. ap. Poll. VII 146)· ἐγκόπτειν τὰς παραφυάδας

μολουρίς· αἰδοῖον. κολοβὴ λόγχη: ἡ μόλις οὐρῶν ⟨μολοῦρις⟩

μολουρίδες. βατραχῖδες (Nic. Th. 416)· καὶ τῶν σταχύων τὰ γόνατα

μόλοφθος· ἐγκρυφίας

μολοῦσα (Soph. OC. 26)· πορευομένη, ἢ πορευθεῖσα (Ζ 286)

μολπαί (Pind. Ol. VI 97)· ὕμνοι, ᾠδαί

μολπάν (Aesch. Ag. 105)· ᾠδήν

μολπαστής· συμπαίκτης. μολπάστρια δὲ συμπαίκτρια

μολπή· ᾠδή. παιδεία. ὕμνος, ᾆσμα (α 152)

†μολπίς· ἐλπίς

μολπός· ᾠδός, ὑμνῳδός, ποιητής

μόλσον· σελίνου καυλός, καὶ ἄνθος. οἱ δὲ τὴν ὑποφυάδα

†μόλσος· ὁ δῆμος. Αἰολεῖς

μολτύους· τὰ κοκκύμηλα

μολύβδαινα· καὶ τὸ εἶδος τῆς μεταλλικῆς. καὶ τὰ λεῖα

μολυβδαίνῃ (Ω 80)· μολυβίδι

μολυβδίς (Soph. fr. 752)· στάθμιόν τι ἑπταμναῖον. οἱ δὲ μολβίς (q. v.)

μολυβρόν· τὸ μολυβοειδές

μολύνει (Theocr. V 87)· μιαίνει. ἀναφύρει. πίμπλησι

μολυνίη(ς)· ἡ πυγή

μολυρόν ⟨μω—⟩· νωθρόν. βραδύ. ἀνιαρόν. ἀηδές, ἀχάρι[σ]τον, λυπηρόν ⟨1571. 2044⟩

μολυσμός· ἀκαθαρσία, μίασμα. ἁμαρτία δυσέκπλυτος

μόλυχνον· δυσταλέον ⟨1536⟩

μολών· χωρῶν, ἐλθών

Μομβρώ· ἡ Μορμώ. καὶ φόβητρον [98]

COD. 43 περιτρ| 53 λαλεῖν 54 μοιραλαλεῖν 39 |πης, ἡ ἀπό 60 π$^{ε}$φρονεῖς παραβλαίσῳ (coni. Μύκκω νῶσις) 62 ἑπταμηναῖον ⟨cf. μολυβδίς⟩ 63 π$^{ε}$βλέσῳ 64 cf. βουδόρῳ μολγῷ et μόργος 66 μολείονες — μολιονίδες 70 |οθοῦρος 71 L. μουλορός 74 |οῦρις 75 |ίδαι βατραχίδαι 80 μολπάστρει δὲ ⟨82 ἐμπίς? Sed. cf. ὄλπα⟩ 85 δήμιος Arcad. 76, 2 88 μολυβίδη 89 ζ ἑπταμηναῖον (Greg. Naz. C. XVIII 7) ⟨95 δεισαλέον?⟩

HES. 45 μοικηθμοί· τῶν βοῶν αἱ φωναί 49 μοιρηγεννές (Γ 182)· ἐν ἀγαθῇ μοίρᾳ γεγεννημένον 55 μοίραις· μερίσι. φυλακαῖς Ad 68 γλουτόν ⟨ad μολυνίη⟩ 72 μόλος· πόνος. μάχη. φρύαγμα 98 μομοκύκια· τῶν τραγῳδῶν τὰ προσωπεῖα ⟨μορμολ—⟩

Μομμώ· ὃ ἡμεῖς Μορμώ φαμεν, τὸ φόβητρον τοῖς παιδίοις

μομφή· μέμψις ⟨2057⟩. κατάγνωσις

μόμφις (Teleclid.)· δύσκλεια. ἢ μόμφος (Eurip.)

μοναλκής· ἐξέχουσα. ἀνδρωδεστάτη

μονάρχου· τυράννου

μονάς· ἀριθμὸς †ἢ ἓξ μοῖραι τῶν δέων

μονή· παραμονή [1606. 7]

μονίας· νήφων. τοὺς γὰρ μεθύοντας δευτέρους εἶναί φαμεν

μόνιμον (Thuc. VIII 89)· στάσιμον, βέβαιον

μονίμων (Plat. Legg. IV 706 C)· βεβαίων, αἰωνίων, ἐπιμόνων, στασίμων

μονιμωτέρων· βεβαιοτέρων. παρὰ τὸ μένειν

μονιός (Callim. D. 84)· ὗς ἄγριος ὁ μὴ τοῖς ἄλλοις συναγελαζόμενος. ἢ ὁ περὶ τράχηλον ὅρμος (monile?) [ad 12]

μονόγληνος· μονόφθαλμος

μονοβάτας· κλέπτης

μονόβας· ὁμοίως

μονοδαμιουργοί ⟨νομο—⟩· οἱ τὰς δίκας δικάζοντες [17. 18]

μονόκλωνος (Theophr. IX 18, 8)·

μονόλοπα· μονόδερμα (Theophr.) [21—23]

(μονόλωπα·) μονοχίτωνα

μονόμματον· μονοειδῆ. ἁπλοῦν

μόνον· τὸ ἕν

†μονονομοιτῶν· εἱλώτων ἄρχοντας

μονοξύλοις †πλάνοις ⟨πλοίοις? πανοῖς⟩

μονοπείρας (Menand. CCCLXX)· τοὺς μὴ ἀθρούς, ἀλλὰ καθ' ἕνα πειρατεύοντας

μονο(ρ)ρήξ· ἀπερρηγμένος, ἀπεσπασμένος

μονοσίλλη· ὁ ἐν ταῖς Ὑάσι λαμπρὸς ἀστήρ

μονοσταλής· ὁ καταμόνας στελλόμενος ⟨1739⟩

μονοστόλῳ· τῷ καταμόνας ἐλθόντι

μονοστραβὴς ὄχος· ἡμίονος [34]

μονότονος [ad 35]

μονότωνος (Cret.)· μονομάχος ⟨cf. τώνα⟩

μονότροπος (Eur. Andr. 231)· μόνος στραφείς

μόνουα· τὰ λεπτὰ λέπαδνα

μονούαλος· τὸν ἐπὶ τῇ καρδίᾳ τοῦ λέοντος λαμπρὸν ἀστέρα φασί [39]

μονόφαντος· μόνη ἐν φανερῷ, μόνη φαινομένη

†μονοφθόρους· μονοφόρους. ὄνους [42. 43]

δ

†μανοφά· μονιός. ἀτιμαγέλως (Philol. XII 616)

μονῳδεῖ (cf. Ar. Pac. 1012)· μονοθρηνεῖ. Μονῳδία λέγεται, ὅτε εἷς μόνος τὴν ᾠδήν, οὐχ ὁμοῦ ὁ χορός, ᾄδει

μόρα· μέρη τινά. καὶ μέρη τοῦ στρατοῦ, ἢ τάγμα. παρὰ γὰρ Λακεδαιμονίοις οἱ πατρίλοχοι ⟨πρὶν λόχοι⟩ μόρα αὖθις ὀνομασθέντες

μοργίας (Aeol.)· γαστριμαργίας, καὶ ἀκρασίας ⟨868. 1660⟩

μόργιον· μέτρον γῆς, ὅ ἐστι πλέθρον. καὶ εἶδος ἀμπέλου

(μόργος [Aeol.]· ἄπληστος) 1660

μόργος· φραγμός, καὶ τὸ ἐπὶ ταῖς ἁμάξαις φράγμα, ἐν ᾧ τὰ ἄχυρα φέρουσι. καὶ σκύτινον τεῦχος· ἄλλοι τεῦχος βόειον ⟨1564⟩

†μοργυίων· σπαργάνων

†μοργυλλεῖ· χρονουλκεῖ ⟨280⟩

†μοργᾶται· παρῶπται

(μορέα· ἡ συκάμινος) 1696 [53]

†μορθῆναι· πειραθῆναι. γενέσθαι

μορίαι (Ar. Nubb. 1005)· ἐλαῖαι ἱεραὶ τῆς Ἀθηνᾶς

μορία· ἡμερίς ⟨q. v.⟩

†μορίδες· μάντεις

μοριεῖς· μερῖται. κοινωνοί

μόριον· μέρος [60]

COD. 99 μομμῶ 1601 μόμψεις 2 |λκές 13 μονόσλινος 14 μονοβαίας 14 μονοδαβ| 17 cf. μονότονος 19 |όνως 28 ἀθροὺς 29 ἀπο| bis 30 τοῖς ⟨36 μονοτραφὴς LDindorf.⟩ ⟨48 μορτή? Morgen?⟩ ⟨50 μόργων· θερηγάνων?⟩ 56 μερίς 58 μορίες

HES. 1606 μονήρη βίον· μοναχικὸν βίον 7 μονητάριος· τὸ κέρμα ἐργαζόμενος Ad 12 ὁ δὲ ἅγιος Κύριλλος (III 194) ἐν τῇ ἑρμηνείᾳ Ὠσηὲ τοῦ προφήτου (XIV 8), ὄνον λέγει σημαίνειν· τινὲς δὲ μέγα θηρίον κατὰ ἀπόνοιαν καταμόνας νεμόμενον 17 μονόζωνοι (IV Regg. V 2)· οἱ τῶν πολεμίων κατάσκοποι. ἢ μάχιμοι, οὓς ἡμεῖς μονομάχους ⟨1635⟩ 18 μονολόγιστον (recens) 21 μονοκέρατος ἢ μονόκερως (Ps. XXI 22)· θηρίον φοβερόν 22 μόνον οὐχί (Plat. Axioch. 508, 21)· σχεδόν, ἐγγύς. ἄνω κάτω. εὐθέως. οὐδαμῶς. [μόνον] 23 μόνον οὐ· σχεδόν, ἐγγύς 34 μονώτατος (Greg. Naz. Arc. I 32)· μόνος ὤν, ὑπάρχων Ad 35 μόνος ὤν, ὑπάρχων ⟨1634⟩. μονομάχος ⟨μονότωνος⟩ 39 μονουνουχί· μονονουχί 42 μονόφορβος (Greg. Naz. C. I 193)· μόνος βοσκόμενος, ἢ βόσκων μόνος 43 μονόχθηρος· ἐπίμονος. πονηρός ⟨μοχθηρός⟩ 53 μορῆσαι· μερίσαι. διελεῖν ⟨1552⟩. ἐλθεῖν ⟨μολῆσαι⟩ 60 μόριος· ἄπληστος ⟨μόργος⟩

*μορίων· μερισμῶν* [62]

*μόρμη· χαλεπή. ἐκπληκτική*

*μόρμοι· φόβοι κενοί*

*μορμολυκεῖα* (Ar. fr. XVIII p. 1001)· *τὰ τῶν τραγῳδῶν προσωπεῖα* ⟨1598⟩

(*μορμολυκτική· φοβερά*) 2043

*μορμολύξασθαι· ἐκφοβῆσαι*

*μορμολύττει* (Xen. Symp. IV 27)· *φοβερίζει*

*μορμολύττεται· φοβεῖται*

*μορμόνας* (Xen. Hell. IV 4, 17)· *πλάνητας δαίμονας*

† *μόρμορος καὶ* † *μορμυραία· φόβος* ⟨1910⟩

*μορμύνει· δεινοποιεῖ* ⟨1673⟩ [72]

*μορμύρει· ποιὸν ἦχον ἀποτελεῖ, ταράσσει, πλημμυρεῖ, δεινοποιεῖ* ⟨1671⟩

*μορμυρίζει· ταράττει, ἠχεῖ* [75]

*μορμύρων* (*Σ* 403 *Φ* 325)· *ταράσσων, ἀφροὺς ἀποβάλλων. κυρίως δὲ λέγεται ἐπὶ ποταμοῦ* (*μέγα*) *ῥεῦμα ἔχοντος* ⟨1912⟩

*μορμύρος* (Ar. HA. VI 16, 3)· *ἰχθῦς θαλάσσιος*

*μορμύσσεσθαι· ἐμβριμᾶσθαι*

*μορνάμενος* (Aeoles)· *μαχόμενος*

*μορόεντα* (*σ* 297 *Ξ* 183)· *μετὰ πολλοῦ καμάτου πεπονημένα*

*μόροι·* † *λῶροι. κόποι, πόνοι. κλῆροι*

*μόροιο· θανάτοιο*

*μόρος· φόνος. θάνατος. φθόρος. πόνος. νόσος. μοῖρα τοῦ βίου*

† *μοροπονοῦν· κακοπαθοῦν*

*μόροττον· ἐκ φλοιοῦ πλέγμα τι, ᾧ ἔτυπτον ἀλλήλους τοῖς Δημητρίοις*

† *μορσική· ἡ ἰνδική* ⟨v. *Μωριεῖς*⟩

*μόρσιμοι· ἀναγκαῖαι, εἱμαρμέναι, μεμοιρα*[*σ*]*μέναι. ἢ ἕτοιμοι εἰς θάνατον*

*μορτός* (cf. Call. fr. CCLXXI)· *ἄνθρωπος. θνητός.* † *μέλας, φαιός.* [*οἱ δὲ μορτόν φασι*

*μορτάν· τὴν γινομένην καταβολὴν ἀπὸ τῶν καρπῶν*

*μορτοβάτην* ⟨*—ιν*?⟩· *ἀνθρωποβάτην ναῦν* ⟨1385⟩

*μορφάζειν· νεύειν*

*μορφή· ἰδέα, εἶδος*

*μορφήεις·* [ad 93]

*μόρφνον* (*Ω* 316 ap. Ar. HA. IX 22, 1)· *εἶδος ἀετοῦ.* [*καὶ ξανθός* ⟨ad 93?⟩

*μόρφωμα· μορφή* [96]

*Μορφώ* (Lycophr. 449)· *ἡ Ἀφροδίτη*

*μόρφωσιν* (Theophr. CP. III 7, 4)· *σχηματισμόν, εἰκόνα*

?*μορφύνει· καλλωπίζει, κοσμεῖ* ⟨v. *ἀμ—*⟩

*μοσπνεῦσαι· ῥινηλατῆσαι*

*μοσποί· θυσίαι*

*μόσσυν* (Xen. An. V 4, 26)· *πύργος*

*μοσ*[*σ*]*ύνειν* (Aeoles)· *μασᾶσθαι βραδέως*

*Μόσσυνες· ἐπάλξεις. πύργοι. καὶ ἔθνος Σκυθικόν*

*Μοσσυνικὰ μαζονομεῖα* (Aristoph. fr. XVI p. 1123)· *Ποντικὰ ὁ Δίδυμος ἤκουεν· οἱ* [*δὲ*] *γὰρ Μοσ*(*σ*)*ύνοικοι ἐν Πόντῳ εἰσί. λέγει δὲ τοὺς ξυλίνους πίνακας*

*μοσσυνικοί· ξύλινοι πίνακες μεγάλοι, ὥστε ἐν αὐτοῖς καὶ ἄλφιτα μάσσειν· ἐν τῷ Πόντῳ δέ εἰσιν ....*

*Μόσυχλον* (Nic. Th. 472)· *ὄρος Λήμνου*

† *μοσχανοσῖτος· ὁ ἀπεχόμενος. καὶ χόρτος ὅ*[*ς*] *ἤδη καρπὸν ἔχων*

*μοσχεύματα· τὰ νεόφυτα* (Sapient. IV 3?)

*μοσχεύσας· γεννήσας*

*μοσχία* (Xen An. IV 5, 31)· *ἁπαλὰ φυτά: ἡ κρέα μοσχαρίου* ⟨*μόσχεια*⟩. *ἢ κρομμύου τὸ σπέρμα*

*μοσχίδια* (Ar. Ach. 996)· *μοσχεύματα*

(*μοσχηδόν* Nic. Al. 357)· *τὸ ἑξῆς. καὶ ἀνελλιπῶς*

*μοσχίνδα· .....*

*μοσχίναι· οἱ σκιρτητικοί*

*μόσχοι· οἱ νέοι βλαστοί*

*μόσχοισι* (.... *Λ* 105)· *τοῖς νεοφύτοις βλαστήμασιν, ἁπαλοῖς κλαδίσκοις. Λύγα δέ εἰσι τὰ ἱμαντώδη φυτά*

*μόσχος· νέος λύγος. πτόρθος. καὶ ὁ ἁπαλὸς βοῦς*

*μότα· τὰ πληροῦντα τὴν κοίλην τῶν τραυμάτων ῥάκη* [1719]

COD. 64 *καινοί* 65 |*ύκεια* 73 *μορμύρη* 73. 74 *καταράσσει* Phot. 275, 16 77 *μορμῦρος* 85 *ἀλλήλοις* 88 cf. *ἀμόρρωτον* (*ἄμορτον*) 89 *γενομένη* (cf. *ἐπίμορτος, μῶρτα*) 1703 *μησᾶσθαι* 5 *μοσυνοίκια, μαζονόμια* 6 *μοσύνοικοι* 8 cf. *μούσχανον* 11 *μόσχια* 14 *μοσχιναῖοι* ⟨an *μόσχοι· νέοι*?⟩ 16 *λύγα .... φυτὰ* post 1717 *ἱμαντώδεια*

HES. 62 *μοριφόν* ⟨*μορφνόν*⟩· *σκοτεινόν. μέλαν* 72 *μορμύρεσκεν* (*μ* 238)· *ἀνεκύκα* 75 *μορμύροντα* (*Ε* 599)· *τὰ αὐτά* Ad 93 *μωμητός* 96 *μορ*[*φων*]*έα· ἡ συκάμινος* ⟨1064⟩ 1719 *μοτήσας* (*Β* 690)· *κακοπαθήσας*

μοτοῖ (Cyprii)· [ad 20] ταράττει

†μοτρογένειον· σπανίῳ πώγωνι .... ⟨pro ματαρογ—⟩

μοττίας· ᾧ στρέφουσι τῶν ῥυτήρων τὸν ἄξονα

μόττυες· οἱ ἔκλυτοι καὶ παρειμένοι

μοττωνῆσαι· τῇ πτέρνῃ τύψαι

μοτῶσαι· πληρῶσαι ⟨v. ἄμοτον⟩

μοτ(ω)τοφαγία· θυσία τις ἐν Σαλαμῖνι τῆς Κύπρου τελουμένη [27]

μούιαι (Lacon.)· σκώληκες, οἱ γενόμενοι ἐν τοῖς κρέασιν

Μουκερίνα (Lacon. Boeot.)· πόλις ἐν Αἰγύπτῳ, ἡ Σαΐς

μουκηροβαγόρ (Lacones)· καρυοκατάκτης

μουκήζει (Cyprii)· σιγ(ᾷ)· μέμφεται τοῖς χείλεσι

μουκτηριᾷ· σκαρδαμύττει

μουνάξ (Θ 371)· καταμόνας [34]

μουνόκερα· τὸ μηκέτι ἔχον τὴν ἀλκήν, ὡς Ἀρχίλοχος (fr. 181)

μουνομήτορι· ἡ τῶν ἀδελφῶν μόνη μήτηρ ὑπάρχει

μουνοπάλαι· οἱ μόνῃ πάλῃ νικῶντες [38]

μουνοσταλής· καταμόνας στελλόμενος ⟨1631⟩ [40]

μουραίνει (Cyprii)· παρακόπτει, μαίνεται .......... (Λάκωνες)

μούρκορ· μυκός. οἱ αὐτοί

†μούρταρ· πιλός ⟨μουρτάρ· ἄπιος? schol. Nic. Th. 512⟩

όων

†μούρτιβοι, μουστῆν ϛ μ

†μούρτιβοι· θυσίαι

μοῦσα· τέχνη. καὶ σοφοὺς καὶ μουσικοὺς τοὺς τεχνίτας ἔλεγον

μούσαις· θεαῖς, ταῖς Μούσαις

μούσαξ· ὁ ὑπὸ τοῦ βοαγοῦ τρεφόμενος [49]

μουσίδδει (Rhegini)· λαλεῖ. ὁμιλεῖ

μουσικά· τερπνά, τὰ δι' αὐλῶν καὶ κινυύρας, καὶ τὰ ὅμοια

μουσικήν· πᾶσαν τέχνην, οἱ Ἀττικοί

μουσικός· ψάλτης. τεχνίτης

μουσικτάς· ὁμοίως

μουσοκερατίδας· τοὺς τὰ μουσικὰ ἢ μελικὰ μέλη ᾄδοντας· ἦν δὲ ταῦτα θρηνώδη

μουσουργός· ὁ αὐλητής

†μούσαχανον· τὸ βλαστόν ⟨1908⟩ [58]

μούσωνες· οἱ κορυφαῖοι τῶν μαγείρων. καὶ οἱ τεχνῖται

μοχθεῖ· κακοπαθεῖ

μοχθηρά· κακή [ἐπίπονος. κακοδαίμων

μοχθηρία·

μοχθίζοντες (cf. Hom. Archil. fr. 136)· κακοπαθοῦντες

μοχθηρός· ἐπίπονος. πονηρός

μόχθος· πόνος. κακοπάθεια

μοχλεύει (Eur. H. fr. 699)· κινεῖ

μοχλοί· κλεῖθρα

μοχοῖ· ἐντός. Πάφιοι

μόψος· κηλὶς ἡ ἐν τοῖς ἱματίοις. Κύπριοι

†μόων· μόθων

μυᾶτε (Ar. Lys. 126)· σκαρδαμύττετε

μύαγρος (Nic. Th. 490)· ὁ μυοθήρας [73]

'μύγματα (Eur. Andr 826)· καταξέσματα

μυδαίνει (Lycoph. 1008)· στάζει. σήπει

μυδαλέον (Hesiod. opp. 554 Archil. fr. 182)· δίυγρον. διάβροχον. τὸ ἐπίδακρυ καὶ κάθυγρον ὄμμα. νοτερόν. ῥυπαρόν

†(μ)ύδης· γέροντος ἀδυναμία

μυδῆσαι· βραχῆναι. παραρυῆναι. σαπῆναι

μύδος (Pamphyli)· ἄφωνος ⟨cf. νωδός⟩

μυδρίασις· πάθος τι περὶ τὴν κόρην τοῦ ὀφθαλμοῦ πλατυνομένην

μυδροκτύπου· χαλκέως

μύδρος (Call. D. 49 Aesch. fr. 300)· ὁ ἀργὸς σίδηρος. καὶ κραταιὸς λίθος. τίθεται δὲ καὶ ἐπὶ ἀναισθήτου. σίδηρος πεπυρ(ακτ)ωμένος

μυδῶντες (Nic. Th. 308?)· διυγραίνοντες. σηπόμενοι

μυδῶσι [ad 84] σεσημ(μ)ένοις [85]

COD. Post 20] 25   20 μοττοῖ   24 ἔγκλυτοι ⟨cf. μύτης, μωδύει⟩   28 μουῖαι   29 μουκερίναι ⟨v. Μυκ—⟩   30 μουρηκόβας   32 μουκτυριᾷ   36 '. τῶν — μόνων   41 μο-
ε
ραίνει, πκόπτει   42 μοῦρκος· μυχός   48 βοάγου   50 μουσιαδδεῖ   55 αἴδοντας   Post 58] 1742—45   59 τεχνῆται ⟨μαίσωνες?⟩   67 μοχλ῀   68 μοχοίεντος   71 μυᾶται |εται   76 δρύϊνον — αἵματος   79 = μύνδος   80 τῆς κόρης — πλατυνόμενον   81 |κτύπος   82 πεπωρωμένος schol. Aesch. Prom. 366

HES   Ad 20 τιτρώσκει   27 μοττώση (Hoseae VI 1)· ἰάσεται δι' ὀθονίων ⟨2037⟩   34 μόνῳ νόμῳ· καθαπαξ νόμῳ καθ' ἕν ⟨L. μούνῳ· μόνῳ Μ 411⟩   38 μοῦνος (Β 212)· μόνος   40 μούνου (Ι 335)· μόνου   49 μοῦσαι· ἐρωτικαὶ ᾠδαί. οἱ δὲ αἰνίγματα· καὶ τέχνας   58 μουσόπωλος· ποιητής   73 μυδαλέας (Λ 54)· βεβρεγμένας   Ad 84 σεσηπημένοις ἤ   85 μύει (Β 148)· πίπτει. κλίνεται

*μυελός* (X 501)· τροφή, ἔδεσμα τὸ ἐντὸς τῶν ὀστῶν (Y 482)

*μυελαυξεῖ τροφῇ*· τῇ τὸν μυελὸν τρεφούσῃ

*μύες*· ὀστρέου (Aesch. fr. 32) τι εἶδος. καὶ οἱ κατοικίδιοι καὶ ἐνάλιοι. καὶ αἱ πεπυκνωμέναι ἐν ἡμῖν σάρκες

*μύζει* (Hippocr.)· θηλάζει, λείχει. πιέζει

?*μύζη*· ἀπόπληκτος

*μύζοντος*· μυκτηριζομένου ⟨v. ἐπέμυζαν⟩

*μύζουσι*· θηλάζουσιν [93]

*μύησις*· μυσταγωγία, μυστικὴ γνῶσις ⟨1806⟩

?*μῦθαρ*· μῦθος

*μύθα*· φωνή. Κύπριοι

*μύθαρχοι*· οἱ προεστῶτες τῶν στάσεων

*μυθεῖσθαι*· λέγειν [99. 1800]

*μυθητῆρες*· στασιασταί [2. 3]

*μυθίτης* (Anacreo)· ὁ στασιώτης

*μυθολογῶν*· ληρῶν, φλυαρῶν

*μῦθος*· λόγος κενός, ψευδής, εἰκονίζων τὴν ἀλήθειαν. στάσις. ὑπόσχεσις 6—12]

*μυῖα χαλκῆ* (Carm. popul. fr. 13)· λέγεται παιδιά τις, ἣν ⟨ἣν⟩ οἱ παῖδες παίζοντες καταμύου⟨ω⟩σιν, ἀποτείνοντες τὰς χεῖρας ἄχρις ἄν τινος ἐπιλάβωνται. καλεῖται δὲ καὶ τὸ πτηνὸν οὕτως [14]

*μυίνδα*· παιδιά τις οὕτω καλουμένη ἀπὸ τοῦ συμβαίνοντος· καταμύων γάρ τις τὸ ἐρωτώμενον ἀποφαίνεται σχεδιάζων, ἕως ἂν ἐπιτύχῃ· ἐὰν (δὲ) ἁμαρτὼν ἀναβλέψῃ, πάλιν καταμύει

*μυ[ι]ών* (Π 315)· ὁ μῦς τῆς χειρός, τοῦ βραχίονος

*μυ[ι]ῶνες* (cf. Π 325)· μύες. φλέβες. καὶ αἱ συνεστραμμέναι σάρκες ⟨1810⟩, καὶ πεπυκνωμέναι. ἢ βραχίονες

*μύκα* (Aeol. pro μυκά)· μύκησις ⟨1822⟩ [19. 20]

*μυκαρίς*· νυκτερίς

*μύκας*· μυκήσεις ⟨1818⟩

*μυκᾶσθαι*· ὄνοις καὶ καμήλοις ὁμοίως βρύχεσθαι, καὶ βουσί

*Μυκερίνα*· ἡ Μέμφις. Δίδυμος τὴν Σαΐν. ταύτης γὰρ λέγει Ἡρόδοτος (II 130) βασιλεῦσαι Μυκερῖνον ⟨1729⟩

*μυκηθμός*· βοὴ βοῶν [26]

*μύκηρος*· ἀμυγδαλή (Amerias). τινὲς δὲ μαλακὰ κάρυα (Seleucus)

*μύκης* (Nicand. Ath. 61 A)· *ἀμανίτης*

*μύκης*· μύκητος καὶ μύκου. δίκλιτον

*μύκης· τοῦ ξίφους* (Herod. III 46) ὁ κατὰ τὴν λαβὴν ὁ *κρατητὴς* καλούμενος. καὶ περὶ τὴν μύξαν τοῦ λύχνου ἐφιστάμενος (Ar. Vesp. 262 Callim. fr. XLVII). ἢ πῖλος. καὶ δερμάτινον ὑπηρέσιον. καὶ τὸ ἀνδρεῖον μόριον (Archiloch. fr. 46. 185). καὶ ὁ ἐν ταῖς ἐλαίαις ἐγγινόμενος ἧλος (Theophr. IV 14, 3)

*μυκητάτη* ⟨μυκισ—⟩· μωροτάτη [32]

?*μυκός*· ἄφωνος, ὡς εἴ τις εἴποι μυσαττόμενος.

γλ

†*μύκλα*· μέ, καὶ οἱ μὲν τὸν κακοήθη καὶ σκολιὸν ⟨1858. 1951. 2004⟩ ἄνθρωπον· οἱ δὲ τὸν ἀλαζόνα

*μύκλαι* ⟨1836⟩· αἱ ἐπὶ τῶν ὄνων γραμμαὶ μέλαιναι, τοῖς τραχήλοις καὶ ποσὶν ἐγγινόμεναι ⟨col. 541, 28⟩

†*μυκληρόν*· συνεχές. ἀχανές

*μύκλοι*· αἱ περὶ τὰ σκέλη, καὶ (ἐν) τοῖς ποσί, καὶ (ἐπί) νώτου τῶν ὄνων μέλαιναι γραμμαί ⟨1834⟩. καὶ οἱ λάγνοι, καὶ ὀχευταί ⟨2004⟩

*μύκον* (E 749)· ἐψόφησαν. ἠνοίγησαν. ἐπετάσθησαν

*Μυκόνιον* (Cratin. fr. VI p. 175)· οἱ Μυκόνιοι διεβεβόηντο ἐπὶ γλισχρότητι. γλίσχρον οὖν λέγει

COD. 87 |αύξει 89 λήχει 92 θηλύζουσιν 94 μυσταγωγὴ γνῶσις 95. 96 = 96. 95 *μύθαρ*· μύσος 1801 *μυθυτῆρες* 3b ὡς φησὶ Διογενειανὸς Cyrill. 13 *μύια*

κ

*χαλκὴ* δέ, παιδιὰ — ἄχρι — ἐλλάβονται 15 *μύινδα* 27 μῆλα 29 καὶ μύ 30 ἐκγενόμενος

HES. 93 *μυήλα*· σάρξ τις, ἐπαίρουσα τὴν γαστέρα ⟨μύλη⟩ 99 *μυθήσασθαι* (Λ 74)· εἰπεῖν 1800 *μυθήσομαι* (Hom.)· εἴπομαι, ἢ εἴπυιμι 2 *μύηται*· μυσταγωγεῖται. διδάσκεται 3 *μυθήσασθαι*· διηγήσασθαι διδάξαι 6 *μύησις*· μυσταγωγία. πεῖρα. μετοχή. γνῶσις μυστική ⟨1794⟩ 7 *μυθίαμμαι*· ῥάθυμαι 8 *μύφθει*· σήπεται ⟨μυδᾶ· φθείνει.⟩ 9 *μύθων ῥύτειρα* (I 443)· ἃ δεῖ λέγειν ὑποδεικνύντα 10 *μυιαι*· αἱ συνεστραμμέναι σάρκες, ⟨μύες⟩ καὶ διεφθαρμέναι ⟨μύλαι, molucra⟩ 11 *μυῖαι, κάδδουσαι* (T 25)· μυίαι, καταδύνασαι 12 *μύια*· κοινὰ. ⟨l. κυνάμυια⟩ ἀναιδῆ 14 *μυιάων* (B 469)· μυιῶν 19 *Μυκάλη* (B 869)· ὄρος Καρίας 20 *Μυκαλησσός* (B 498)· πόλις Βοιωτίας 26 *Μυκῆναι* (B 569)· πόλις ἐν Ἄργει, ἧς ἐβασίλευσεν Ἀγαμέμνων 32 *μυκήσασθαι*· τοῖς βουσὶν ὁμοίως βοῆσαι

†μῦχος· μιαρός ⟨1929. 1952⟩
μυκτήρ· τῆς ῥινὸς τὸ τρῆμα
μυκτηρίζει· χλευάζει, καταγελᾷ. ἀπὸ τοῦ μύζειν τοῖς μυκτῆρσι
Μυκώ· Καρίας ..., ἀπὸ τοῦ μυκᾶσθαι οὕτως εἴρηται
μυκῶν· ἠχήσας
†μύκων· σωρός. θημών
μύλαι· αἱ ἐπιγονατίδες, ἢ σιαγόνες
μύλακες (*M* 161)· λίθοι μυλώδεις
μυλακρίδες (Plat. com. p. 641 Arist. fr. XXV p. 1183)· αἱ βολακρίαι, τὰ ζωύφια. ἢ ὄνοι. ἀλετρίδες. ἢ τὸ ἄκρον τῆς μύλης [48]
[ad 49] μυλακρίς· ἡ μαλακὴ σίλφη· γίνεται δὲ τῇ χροιᾷ ἔλλευκος, ἀπὸ τῶν μύλων καὶ τῶν ἀλεύρων. ἔνιοι δὲ τὰς τρωξαλ(λ)ίδας ἐν τοῖς ἀλεύροις εὑρίσκεσθαί φασι. ἢ ἀκρὶς σιτοφάγος
Μυλάντειοι θεοί· ἐπιμύλιοι
Μύλας· εἷς τῶν Τελχίνων, ὃς τὰ ἐν Καμείρῳ ἱερὰ Μυλαντείων ἱδρύσατο
μυλάσασθαι· τὸ σῶμα ἢ τὴν κεφαλὴν σμήξασθαι. Κύπριοι
μύλη· ἐπιγονατίς, τὸ ὀστέον ἐπὶ τῷ (γόνατι). καὶ ἀργυρίου τάλαντον (Ctesias). καὶ οὕτω λέγεται καὶ ὁ κάτω τῆς μύλης λίθος· τὸ δὲ ἄνω ὄνος
μυληφάτου (β 355)· μυλοκλάστου, ἀληλεσμένου, ὑπὸ μύλου ἠφανισμένου. ὅθεν καὶ τὰ φάρμακα ὀδυνήφατα (*E* 401), ἀφανεῖς τὰς ὀδύνας ποιοῦντα
Μύλιτταν (Herod. I 131)· τὴν Οὐρανίαν Ἀσσύριοι ⟨1364⟩
μύλλει (Theocr. IV 58)· πλησιάζει
†μύλλη· λεῖα ⟨1860⟩
Μυλλόν· καμπύλον, σκολιόν ⟨1833⟩. κυλλόν. στρεβλόν. καὶ εἶδος ἰχθύος μύλλος (Aristoph. p. 1123). καὶ παροιμία ἐπὶ τῶν ἀκουόντων καὶ κωφότητα προσποιουμένων. ἔστι δὲ καὶ κωμῳδιῶν ποιητὴς οὕτω καλούμενος (Cratin. fr. V p. 70) [59. 60]
(Μύλλος· οὗτος ἐπὶ μωρίᾳ ἐκωμῳδεῖτο) cf. Δύλιος
?μύλιον· ξύλινόν τι ἐργαλεῖον, καὶ σκεῦος [62]
Μυλόεις· ποταμὸς Ἀρκαδίας ⟨Μυλάων⟩
μύλος· σάρξ, ἣν αἱ κυοφοροῦσαι ἀντ' ἐμβρύων φέρουσιν ⟨1793. 1810⟩ [65]
μῦμα· θριδάκων τρίμμα, καὶ ὑπόχυμά τι
μῦμαρ (Aeol.)· αἶσχος. φόβος. ψόγος ⟨2048⟩
μυμαρίζει· γελοιάζει
μυναρός· σιωπηλός
μῦν δ' ἀλεύσας· περιφυγών [ad 70]
Μύνδος· ἄφωνος (Soph. fr. 691). καὶ πόλις Ἀσίας. ἢ ἐνεός
μύνῃσι (φ 111)· προφάσεσιν, ἐπεγκειμένου τοῦ ν̄, ἀπὸ τοῦ μύειν τὰ ὄμματα τοὺς προφασιζομένους· εἶναι γὰρ μύησιν ἀπὸ τοῦ μύειν. ἐξ οὗ καὶ ἀμύμονες οἱ ἄμεμπτοι
μυν(ν)ακωθείς· †Μυοναίων τὸν σκυτοτόμον· ἀφ' οὗ καὶ τὸ ὑποδήσασθαι [74. 75]
μύξα· ἡ ἐν τοῖς μυκτῆρσι, καὶ ἡ κόρυζα. καὶ αἱ ῥῖνες, καὶ οἱ μυκτῆρες αὐτοί (Aristoph. fr. CCXV). καὶ οἱ ῥώθωνες
(μυξάρια· εἰσὶ δέ τινα εἴδη, ὡς σῦκα βιβρωσκόμενα) cf. 2011
μυοδρέπανον· εἶδος λίθου εὐτελοῦς [78]
μυόσωτον· πόα, ἐμφερὴς μυὸς ὠσί
μυούμενος· τελούμενος, μυσταγωγούμενος
μυοφόνον (Theophr. VI 2, 9)· πόα. ἢ καὶ ἀκόντιον
μυόχοδος (Menand. fr. VIII p. 199)· οὐδενὸς ἄξιος ⟨1950⟩
†μυρραδεῖ· θρηνῳδεῖ
μύραινα (Com. an. CCXIX)· ἐπὶ τοῦ κακοῦ ἐλέγετο, ὡς ἔχιδνα
μύραινος (Arist. HA. V 9, 4)· ἡ μύραινα, ἀρσενικῶς. ἄλλοι δὲ μύρον ⟨q. v., σμύρος⟩ αὐτὸν καλοῦσιν. ἔστι δὲ καὶ ἄρρην
μύργμα· ψῆγμα
μύρειν· ῥεῖν. [ad 87] κλαίειν, θρηνεῖν. ἠχεῖν. ὀλοφύρεσθαι [ad 87]

COD. 39 cf. 1929   40 τρίμυμα   42 μυκώκαρις   43 μυκῶν   47 μυλακρίδαι — ἀλετρεῖς   49 τριξαλίδας   50 ἐπιμύλισιν   51 μυλάς (cf. Κόρυθος Λύκος) καμ. ρω   53 τῷ ἐπὶ τῷ   55 μυλήταν   58 μύλλον ⟨cf. μεμύλληκε⟩   64 μυλόσαρξ   66 μυμαθριδάκων   67 cf. μίμαρ   ⟨69 μυκός μύδος μύνδος μύτις μυττός μύρχος μοῦρκορ (ϑ) μυρικᾶς βρυγκός⟩   70 περιφαγὼν   71 ἔνθεος   73 ὑποδυ| ⟨Μυονέων?⟩   76 ῥῆνες — ῥώ   81 μυόφωνον ⟨ἢ — ἀκόνιτον?⟩   87 μυρεῖν — ἀλμυρῆεν τῶν

HES. 48 μύλ[ακρ]οι· γόμφιοι ὀδόντες   Ad 49 [μυλαβρίδες]   59 μύλιος· μύλων   60 μυνεῖ· λεῖα ⟨1857⟩   62 μυλοειδές (*H* 270 par.)· στρογγύλον. τραχύ   65 μυλώτατον (Eur. Rhes. 498)· προσηνές ⟨v. κρότημα⟩   Ad 70 ἢ συλλήσας   74 μυντιζόμενος ⟨μυωπι—⟩· μυωπάζων. παρακαμμύων   75 μυξίαι (Greg. Naz. Epist. VII p. 771 A)· οἱ τῶν μυῶν χηραμοί   78 μυούμενος· τελούμενος   Ad 87 [ὕδωρ.] — καὶ ἀλιμυρηέντων, πρὸς τῇ θαλάσσῃ ἐχόντων ......

*μυρεψός* (Critias)· ὁ τὰ μύρα καὶ τὰ θυμιάματα σκευάζων|

*μυρῆεν*· λυπρόν, θρηνῶδες

*μυρία* (*Λ* 2)· πολλά

*μυριάκις* (Ar. Nub. 738)· μυριοντάκις

*Μυρῖκαι*· χωρίον ἱερὸν Ἀφροδίτης ἐν Κύπρῳ

*μυρικᾶς*· ἄφωνος ⟨1869⟩, ἐν ἑαυτῷ ἔχων ὃ μέλλει πράττειν

*μυρίκη*· εἶδος δένδρου, ὀνομασθὲν ἀπὸ τοῦ μύρεσθαι τὴν εἰς αὐτὸ μεταβαλοῦσαν κατὰ τοὺς μύθους, τὴν Κινύρου θυγατέρα

*μυρίκη*· δυσώδης [96]

*Μύρινα*· ἡρωΐς, παρὰ Ἠλιεῦσι [98]

(*μυρίνην* [Diphil. p. 381]· οἱ μὲν μυρρίνην καλοῦσιν. οἱ δὲ πότον ἐσκευασμένον. οἱ δὲ πόσιν φασὶν ᾗ ἐπεχεῖτο μύρον) cf. 1916

*μυρίον* (*Σ* 88)· πολὺ τῷ πλήθει

*μύρκος*· ὁ καθόλου μὴ δυνάμενος λαλεῖν. Συρακούσιοι. ἐνεός. ἄφωνος ⟨1869⟩

†*μυρμεαί*· νύσσειν ⟨1828, νυρεῖ, νυρῶν⟩

*μυρμηδόνες*· οἱ μύρμηκες ὑπὸ Δωριέων

*μυρμηδών*· ξυνοικία τῶν μυρμήκων

*μύρμηκας*· ἔξω τοῦ ζώου καὶ οἱ πυκτικοὶ ἱμάντες. καὶ τῶν θαλασσίων πετρῶν εἶδος (Herod. VII 183). καὶ ζῷα ὑπόπτερα, ὡς κύνες τὸ μέγεθος (Herod. III 102)

*μυρμηκιά*· τάσσεται δὲ καὶ ἐπὶ διδασκαλείου καὶ συμφοιτήσεως. ἦν δὲ καὶ λόγος, ὡς ὁ πτύσας εἰς μυρμηκιὰν οἰδεῖ τὰ χείλη, ὡς ὁ Δεινολόχος

*Μύρμηκος ἀτραπούς* (Ar. Thesm. 100)· Ἀθήνησιν ἐν Σχαμβωνιδῶν ἐστι Μύρμηκος ἀτραπός, ἀπὸ ἥρωος Μύρμηκος ὀνομαζομένη

*Μυρμήκων ὁδοί*· Ἀθήνησι τόπος. καὶ αἱ μονόκωλοι τρίβοι. ἀπὸ τῆς τοῦ ζώου ὁμοιότητος κατὰ τὴν ὁδὸν γινομένου

?*μυρμηκιῶν*· ὁ ἥλους ἔχων ἐν ταῖς πτέρναις. ἄλλα δέ ἐστι τὰ ἐξανθήματα, καὶ τὰ οἰδήματα, τὰ περὶ τὸ στόμα γινόμενα (Levit. XXII 22?)

*μύρμοι* (Lycoph. 176. 890)· μύρμηκες

*μύρμος*· φόβος ⟨1664⟩ [1911. 12]

*μύροντο*· ἐβρέχοντο

*μύρος*· ἰχθῦς ποιός. καὶ ἡ μύραινα ἀρρενικῶς

*μυρρίνης κλάδος* (Eur. Alc. 759), ἢ δάφνης· παρὰ πότον μυρρίνης (κλῶνα) ἦν σύνηθες διδόναι τοῖς κατακειμένοις ἐκ διαδοχῆς ὑπὲρ τοῦ ᾆσαι, ἀντὶ τοῦ βαρβίτου [16]

*μύρρινος*· ἐπειδὴ μύρρινον στέφανον περιετίθεντο (οἱ ἄρχοντες). καὶ αὐτὴν τὴν μυρρίνην ἀρσενικῶς *μύρρινον* ἔλεγεν (Theophr. I 5)

*μυρρινῶν*· ὃ δηλοῖ ἐπί τινα ἀρχὴν παρασκευαζόμενον. οὕτως δέ, ἔοικεν, ἐσχηματίσθη διὰ τὸ τοὺς ἄρχοντας ταῖς μυρρίναις στέφεσθαι [19]

*μύρσος* (poeta ap. EM. 595, 33)· κόφινος ὦτα ἔχων, ὃς καὶ ἄρριχος

*μύρτα* (Ar. Av. 62 Plat. Epist. XIII)· καρπὸς μυρσίνης

*μυρταλίς*· ἡ ὀξυμυρρίνη, ὡς Λάκωνες

*μυρτήνη* (Nic. Al. 88)· εἶδος ἐλαίας

*μυρτία*, *μυρσίνη*, καὶ *μυρτίς*

*μυρτίλωψ*· ζῷόν τι

*μύρτος*· ἡ μυρρίνη (Scol. fr. 9 p. 1019). καὶ τὸ γυναικεῖον αἰδοῖον· οἱ δὲ τὸ σχίσμα τῆς γυναικός (Ar. Lys. 1004)

*Μυρώνεια*· κρήνη ἐν τῇ Ἀττικῇ

†*μυρῶν*· νύσσων ⟨1901⟩

*μυσά*· μιαρά, μεμιασμένα, μυσαρά ⟨1839⟩

*μῦσαι*· καμμῦσαι. ἢ τὸ ὑπ' ἀνάγκης .... Ἀττικοί [ad 30] [31]

*μυσάλμαι* (Ar. Byz.?)· πολὺ πεινῶντες καὶ ἐσθίοντες

*μύσας* (Ar. Vesp. 988)· καμμύσας

*μυσαράν*· ῥυπαράν, ἀκάθαρτον [35]

*μυσάττεται*· δυσχεραίνει

*μυσαττόμενος*· σιαινόμενος. βδελυττόμενος. ἀποστρεφόμενος

νέμησις ὑποκριτῶν· οἱ ποιηταὶ ἐλάμβανον τρεῖς ὑποκριτάς, κλήρῳ νεμηθέντας, ὑποκρινομένους τὰ δράματα, ὧν ὁ νικήσας εἰς τοὐπιὸν (ἔτος) ἄκριτος παρελαμβάνετο. ἔστιν οὖν ὡς ἂν διαίρεσις [88]
νέμοιτο· καρποῖτο. [ad 89] τρέφοιτο. διαμερίζοιτο
νέμος· σύνδενδρος τόπος, καὶ νομὴν ἔχων. καὶ τὸ γυναικεῖον αἰδοῖον, (ὃ) καὶ νάπος. καὶ τὸ τοῦ ὀφθαλμοῦ κοῖλον
νέμω· νομίζω. ἀναγινώσκω. βόσκω [92]
νενασμένας· πεπλησμένας

COD. 30 νεκητήρ ⟨37 cf. χειρονόμος⟩ 41 νεῖος ⟨46 νείαιραι? 47 νειαίρη κοιλίη?⟩ 62 νεκυδάλαος — βόμβυκ. 65 |τία bis 67 |ορον 68 προσφανώτατον 70 τῇ ῥυθίου καλῶς — τεθράφθαι ⟨71 ἰχθύες, ἀπόγονοι sunt νέποδες, βλαστοί sunt νέοποδες, ὄρη et λειμῶνες sunt νέμεα⟩ 76 νέμεσαι 87 νέμεσις — ᾧ ὁ — ἀκρίτως 90 cf. νάπος 92 ἠροτριωμένην 93 πεπληγμένας

HES. 32 νεικίων (Β 243)· ὀνειδίζων 34 νεῖκαι· Ad 38 κολυμβᾶν (Ar. fr. CCXXIII), νήχεσθαι ⟨Moer.⟩ 40 νειόθεν (Κ 10)· κάτωθεν Ad 41 [ἀπὸ τοῦ νέα φαίνεσθαι] 45 νεῖπτα· ἔσχατα 47 νειρὴ κοίλη (Hippocr. II p. 675?)· κοιλία ἐσχάτη 50 νείσαντο· ἐπορεύοντο 51 νεῖσθαι (ο 88)· πορεύεσθαι 53 νείσοντο (Μ 119)· ἐπορεύοντο Ad 56 ἀνίαι. ἀρχαῖοι. νέοι ⟨νέηκες q. v.⟩ 62 νέκυας (Η 418 al.)· νεκρούς 72 νεμέθοντο· ἐνέμοντο (Λ 634), ἀπὸ τῆς νεμήσεως 75 νεμενίαν· νουμενίαν 77 νεμέσα (Κ 145)· μέμφου 78 νεμεσίζει (Ε 757)· μέμφει. †βόσκει 81 νεμεσήθητε (Π 544)· αἰσχύνθητε 84 νεμεσίζομαι· μέμφομαι (Θ 407). φθονοῦμαι 85 νεμέσθωσαν (Exod. XXXIV 3)· βοσκηθήτωσαν 88 νεμέσω (Δ 413)· μέμφομαι Ad 89 βόσκοιτο (Β 780) 92 νεναμένην· ἠροτριαμένην (Mnemosyn. 1859, p. 38)

νενασμένως· ἐπιεικῶς
νεναυμαχηκώς· ἐν πλοίῳ πολεμήσας
(νενεαμένην· ἠροτριαμένην)
νενευκότι· βλέψαντι ⟨398⟩
?νενευκέναι· τεθνηκέναι ⟨cf. μέμυκε⟩
νενημένων (Xen. An. V 4, 27)· συγκειμένων
νένηται· πεπλήρωται. σεσώρευται ⟨492⟩
(νενηφαλισμένον· ὕδατι, οὐχ οἴνῳ ἡγνισμένον) cf. 548
νενίηλος (Call. Iov. 63)· τυφλός. ἀπόπληκτος. ἀνόητος [301]
νέννος· (μητρὸς) ἀδελφός
νενός· εὐήθης
νένοφε (Ar. fr. XIII p. 963)· νενήφωται. † συνόφεται
νενώμεθα· διανενοήμεθα
νενώπηται· τεταπείνωται. καταπέπληκται
νένωται· ἐν νῷ ἔχει. (νενόηται)
νέξας τὰ στρώματα (Aeol. ?)
νεοαλδέα (Φ 346)· νεωστὶ αὐξανομένην
νεοαρδέα (Φ 346)· νεοπότιστα
νεοβόρον· νεωστὶ βεβρωμένον ⟨408⟩
νεόβροχοι· ἔγχυοι
(νεόβρωτον· νεωστὶ κατεσθιόμενον) cf. 408
νεογιλόν (Theocr. XVII 58, Isaeus)· νεογνόν, νέον ⟨337⟩
νεογιλῆς (μ 86)· νεογνῆς, νεαρᾶς, νέας, νεωστὶ γεννηθείσης
νεοδαμώδεις (Thuc. Xen.)· οἱ κατὰ δόσιν ἐλεύθεροι ἀπὸ τῆς εἱλωτίας
νεοδάρτης· ἔδεσμά τι ἀβυρτακῶδες
νεοδμήτην· νεωτέραν. ἢ δαμασθεῖσαν. ἢ οἰκοδομηθεῖσαν
(νεοδόρας ἀποκοπάς· τὰς τῶν νεοδόρων δερμάτων ⟨cf. ε 2824⟩)
νεοεργές· νεωστὶ ε(ἰ)ργασμένον, προσφάτως ⟨347⟩
νεο†ηνία· ἑορτὴ Διονύσου
†νεοθάλαμος· καπνός
νεοθαλής· [ad 21] νεωστὶ θάλλουσα
νεοθαλής· νεωστὶ ἀνθῶν
νεοθηλές· νεόβλαστον, νεόφυτον
νεοθηλής· νεωστὶ βλαστήσασα ⟨cf. ἡ ν—⟩
νεόθρεπτον· τὸν νεωστὶ πεπηγότα τυρόν
†νεοθρόνοις· νεοαυξέσιν. νεωστὶ ὁρμῶσιν, αὐξανομένοις
νεοῖαι· ἀφροσύναι
νεοίη (Ψ 604)· ἡ νεότης
νεοχηδέϊ (Hes. Theog. 98)· νεωστὶ πενθήσαντι
νεοχμήτῳ (Euphor. fr. LXIII)· νεωστὶ κατεσκευασμένῳ [31]
νεοκράς· νεωστὶ κεκραμένος
νέοκρατοι· τινὲς κρατῆρες ἐλέγοντο, ὧν ἡ χρῆσις διττὴ καθειστήκει· ἔν τε γὰρ τοῖς περιδείπνοις, καὶ ἐν ταῖς ἑστιάσεσιν, ἤγουν σπονδαῖς
νεόκτιστον (Pind. P. IV 206)· νεοχαθίδρυτον, ἢ νεωστὶ κατεσκευασμένον
νεολαία (Aesch. Pers. 668)· νέων ἄθροισμα. ἡ νεότης. ἢ νέος λαός
νεόλεκτος· νεοστράτευτος [37]
νεολώφητοι· νεωστὶ λελωφηκυῖαι τῆς μανίας
νέομαι· πορεύομαι [ad 39] [40]
νεομηνία· ἡ πρώτη τῆς σελήνης ἡμέρα
νέον ἡβώοντα· ἀρτίως ἡβῶντα, ἄρτι ἀκμάζοντα (Ι 446)
νεοπαγῆ· νεωστὶ πεπηγμένον
†νεοπηθείς· αἰχμάλωτος
νεοπευθῆ· τὰ οὐ πρότερον ἱστορημένα, ἀλλ' ἀρτιμαθῆ
νεόπτραι· υἱῶν θυγατέρες ⟨386⟩
†νεοργής· νεωστὶ εἰργασμένος ⟨318⟩
....... νέον, νεωστὶ γενόμενον. θάλλον. πρόσφατον
(ν)έος· νεώτερος, ἔφηβος ‚νέος ἐστὶ καὶ ὀξύς‘ (Plat. Gorg. 316 E) ἀμαθής, προπετής
νεοσμήκτων (Ν 342)· νεωστὶ ἐσμηγμένων [51]
νεοσπαδῆ· νεωστὶ τὰ σπάδη περικείμενον, ἅ ἐστι σπάργανα

COD. 95 |ικῶς 300 νενήηλος ⟨cf. ἐνίηλος, νινητός⟩ 2 νεννός 4 νενόφαι, νεμόφωται 5 νενώμαθα, διανενήμαθα 6 νενώνηται ⟨cf. ἐνώπηται⟩ 7 νενόηται] post 304 13 νεογγυλόν 14 νεογγιλῆς 16 |ώδης (cf. παρθενίας) 17 νεωδ| 20 καπν' (ο supra) 27 νέοιαι 38 νεολόφητοι — λελοφή(νεν)...αι 42 |όεντα 43 νεοπαγὶ ⟨44 νεοπενθής?⟩ 45 νεοπαθῆ 46 νεοπτραὶ· υἱνω, ἢ ⟨47 νεοεργής? νεουργής?⟩ 48 γενάμενον (ad νέορτον) 49 προπετῶς

HES. 301 νεννάζει ⟨δεν—⟩· κακολογεῖ Ad 21 νεοθηλέα (Ζ 347) 31 νεοκόρος ⟨νεω—⟩· ὁ τὴν ἐκκλησίαν κοσμῶν. Κοσμεῖν γὰρ τὸ σαρεῖν ⟨410⟩ 37 νεολιγόν· νεογνόν ⟨313⟩ Ad 39 ἀπ⟨έπαν—⟩έρχομαι (Ψ 150) 40 νέον (Δ 391)· νεωστί 51 νεόσκυαν, οἰπρώροιο (Ο 693)· τῆς κυανῷ κεχρισμένης καὶ μέλανι τὴν πρώραν

νεοστάλυγες· κεκλαυθμυρισμένοι παῖδες προσφάτως, νεοδάκρυτοι
νεοστεφέος· νεοκράτου
νεοστασίη· ἑτεροίωσις. νεωτερισμός [ad 55]
νεόστροφον Ο 469)· νεωστὶ ἐστραμμένον. καὶ καινόν [57]
νεοτεύκτου (Φ 592)· νεοποιήτου
νεοτευχέες (Ε 194)· τὰ αὐτά
νεότης (Arist. Rh. II 13, 4)· ἡ τῶν νέων ἡλικία
νεοττιά· καλιά
νεοττοί· νεοσσοί
νεόττιον (Diphil. fr. XL)· Ἀττικοὶ τοῦ ᾠοῦ τὴν λέκιθον· καὶ ὁ ὑφ' ἡμῶν νεοττός
νεοττίς καὶ νεοσσίς
νεουμένη· δευτερουμένη
νεούτατος· νεότρωτος
νεόφατον· νεωστὶ τεθνηκός
νεόφθιτος κόρη (Trag. fr. inc. 190)· ἡ ἄρτι φθαρεῖσα, ἡ τελευτήσασα. νεόφθαρτος
νεοχμιζομένου· καινουργουμένου
νεοχμίη· κίνησις πρόσφατος
νεοχμόν (Aesch. Pers. 693)· νέον. πρόσφατον (schol. Aesch. Prom. 150). ἄκοπον, ἄπονον. νεωστὶ εἰργασμένον
νεοχμούμενοι· μετακοσμούμενοι. νεωτεριζόμενοι
νεόχμωσιν· νεοχίνησιν. μετακίνησιν
νέκιτα· ἡ χαλαμίνθη ⟨nepeta⟩
νέποδες· νηξίποδες· τὸ γὰρ ἄποδες ἀποδιδόναι, ψεῦδος· ἔχουσι γὰρ πόδας αἱ φῶκαι νέποδες (δ 404)
νεπόδων (Callim. ap. St. Byz. 157, 6)· νηξιπόδων ἰχθύων
νέρθεν· κάτωθεν, ὑποκάτωθεν (Callim. fr. CLXI)
νέρτερος· ὑποκάτωθεν. ἢ νεκρὸς ὑπὸ γῆν. κατώτερος. καταχθόνιος
νέρτος, ἱέραξ· οἱ δὲ εἶδος ὀρνέου (Ar. Avv. 303)
νέρτατα· ἔσχατα
νέρτεροι καὶ νερτέριοι· οἱ Τιτᾶνες, διὰ τὸ κατατεταρταρῶσθαι. καὶ χθόνιοι· νεκροί [82]
Νέσσος (Hesiod. Th. 341)· ποταμός [84—86]
νέτωπον (Hippocr. II p. 874 K)· νετώπιον. μύρον συντιθέμενον ἐκ πολλῶν μιγμάτων. οἱ δὲ μετώπια
†νεύει (Eur. Phoen. 920)· ἐπανέρχεται. ἢ μᾶλλον, φεύγει
νεῦμαι· ἥξω, ἐπανήξω (cf. Σ 136)
νευρά· τοῦ τεταμένου νεύρου, καὶ τοῦ τόξου
†νευρο. ἐνδυνάμενο· ἐνισχύϊ
νευρομήτρα· μέρος τι τοῦ σώματος. οἱ δὲ φύσιν
νεῦρον· ᾧ συνδεσμεύεται τὸ σιδήριον τοῦ βέλους πρὸς τὸν κάλαμον, καὶ εἰς ὃ κατὰ τὴν τοξείαν ἐντίθεται τὸ βέλος
νεῦσεν· ἐπένευσεν (φ 431?), ἐπέκλινε. συνεχώρησεν
νεῦσαι· ἐπινεῦσαι
νεῦσις· πλεῦσις
νευσόμεθα· νηξόμεθα
νεῦσον· βλέψον ⟨296⟩. κλῖνον
νευστάζων (Υ 162 μ 194)· νεύων, ἐπινεύων
νευτήρ· κολυμβητής ⟨ἀρνευτήρ?⟩
νέφεα· νέφη·

νέφεα σκιόεντα (Ε 525)

καὶ λίνα θηρατικά
νεφεληγερέτα (Λ 511)· νεφεληγερέτης, ὁ τὰς νεφέλας ἀγείρων, ὅ ἐστι συναθροίζων· ὁ τοὺς ὄμβρους ποιῶν. κλητικὴ ἀντὶ εὐθείας [403]
νεῴ (Ar. Plut. 733)· ναοῦ
νέω· τὸ νήχομαι ⟨199⟩
νέφος· σκότος, ἀχλύς. ἄθροισμα, πλῆθος. ἀὴρ πεπυκνωμένος
νέω· νεώτεροι. δυϊκῶς [8. 9]
νεωκόρος· ὁ τὸν ναὸν κοσμῶν. Κορεῖν γὰρ τὸ σαίρειν ἔλεγον ⟨331⟩
νεών (Philem. fr. XXXV p. 46)· ἱερόν. ἡ πλοῖα
νέων (Hom. Alexid. III p. 413)· νηχόμενος
νεῶν δ' ἀλάπαζε φάλαγγας (Λ 503)· τὰς πρὸ τῶν πλοίων τάξεις

COD. 55 ἑταιροίωσις 59 |έος 63 λέκυθον 67 τεθνηκὼς — νεόφθιτος 69—73 = 71. 73. 70. 72. 69 70 νεοχνίη 72 νεοχν| 69 νεοχνυζομένου 75 φωκέναιπόδες 92 ψυχὴν 93 ὀξεῖαν 411 νεῶν, ἱερῶν ⟨cf. νιῶν⟩ 12 νέον 13. 14 = 14. 13 18 ἀπαλλάξαι

HES. Ad 55 ἔκπληξις ⟨ἀνεοστασίη⟩ 57 νεόσσυτα (Greg. Naz. Arc. VIII 96 p. 31)· νεωστὶ ὁρμῶντα. νεαρά 82 νέρωπα (Β 578)· λαμπρόν (cf. 420. 658) 84 νεύσταθμος· λιμήν, ἔνθα ἵστανται τὰ πλοῖα ⟨146⟩ 85 Νεφθαλείμ (Genes. XXX 8)· πλατυσμός 86 νεσθώπραι· υἱῶν, καὶ θυγατέρων ⟨346; ordo νεσσώπραι⟩ 403 νεφελογερέτης· τὰ αὐτά 8 νεώβορτον ἢ νεώβρωτον· νεωστὶ κατεσθιόμενον ⟨311⟩ 9 νεώμεθα· ἀπίωμεν (Ξ 505), πορευώμεθα (Β 236)

νεώνητος (Ar. Eqq. 2)· νεωστὶ ἀγορασθείς [15—17]

νεωνία· οὕτω τις τῶν ἐλαῶν ὠνομάζετο

νεῶν ὕπερ (Η 449)· ἤτοι πρὸ τῶν νεῶν, ἢ ὑπὲρ τῆς τῶν νεῶν σωτηρίας·

τεῖχος ἐτεκτήναντο νεῶν ὕπερ

νεῶπας· ἀντὶ τοῦ νεοβλέπ(τ)ους, ἢ νέας

νεωρεῖν· νεωφυλακεῖν

νεώριον (Ar. Ach. 918 Plat. Critia 115 C)· λιμήν

νέωρον· νέον

νεωρός· νεωριοφύλαξ [25]

νεώσοικοι (Demosth. 329, 4)· τὰ νεώρια, ἔνθα ἡ ναῦς χειμῶνος εἰσφέρεται

νεώσσει· καινίζει

νεώς· ναός. Ἀττικῶς

νεωστί· ἀρτίως, προσφάτως, πρὸ μικροῦ

νέωτα (Philem. fr. I p. 29)· εἰς τὸ ἐπιὸν ἢ νέον ἔτος

νεωτάτῃ· ἀντὶ τοῦ ἐχομένῃ, τῇ ἐπιγενομένῃ. ἐσχάτῃ

νεωτερίζει· καινὰ πράττει, νεαρά

†νεωτερὶς ἀνάστηθι πρεσβυτέρῳ· ἀντὶ τοῦ ἀνδραγάθησον

νεώτερον· οὐ μόνον συγκριτικῶς, ἀλλὰ καὶ νέον, Ἀττικοί

νεώχερμος· γῆ νεωστὶ εἰργασμένη

νεωχμ(οτ)άτην· νεωτάτην

†νή· κατά τοῦ μὴ ὑπάρχοντος. καὶ ἐάν ⟨ΗΝ?⟩ [38—40]

νηγάτεον (Β 43)· νεωστὶ γεγονότα, ἢ κατεσκευασμένον λέγει ἢ εὖ νενησμένον

νήγρετος (ν 80)· ἀνάγρετος. βαθύς

νηδύος (Ν 290)· γαστρός, κοιλίας. καὶ νηδυΐοισι (Ρ 524) καὶ νηδύσι (Nic. Th. 467)· ἐντέροις

νήδυμον (Π 454)· δυσέκδυτον. ἔσχατον. ἡδύ. βαθύ. καὶ ἄδυμον μὲν ὃ οὐκ ἔστιν ἀποδύσασθαι διὰ τὸ βάθος. οἱ δὲ ἀναγινώσκοντες ἥδυμος ὕπνος .... [45]

νηδὺς (δ') ἐλαιάεσσα (Soph. fr. 419)· ..... ἀπὸ μέρους, μιᾶς πόλεως τῆς ἐλαιηρᾶς Ὕβλης

νῆε· πλοῖα, ναῦς, νῆες [48]

νηεῖ· σωρεύει [ad 49] [50]

νηήσας (Ι 358)· σωρεύσας [52—56]

νήϊδες (h. Hom. Cer. 256)· πληθυντικόν, ὁμοίως· καὶ †νηϊδέστεροι συγκριτικῶς

Νηΐθ (Plat. Tim. 21 B)· ἡ Ἀθηνᾶ παρ' Αἰγυπτίοις

Νηΐσταις πύλαις (Eur. Phoen. 1104). ταῖς πρώταις καὶ τελευταίαις

νήϊον (Γ 62)· ναυπηγήσιμον ξύλον, τὸ εἰς νεὼς χρείαν, καὶ εὔθετον

νῆις (Θ 179)· ἄπειρος· κατὰ στέρησιν τοῦ ἴσαι, ὅ ἐστι γνῶναι

νήϊστα· ἔσχατα. κατώτατα. †ἐσχατία

νηΐτην στρατόν (Thur. II 24)· τὸν ἐν ταῖς ναυσί

νηκερδέα· ἀκερδῆ. ἀνωφελῆ (Ρ 469). ἄφρονα. καὶ νηκερδῆ ⟨—ές⟩ ὁμοίως

νήκεροι (Hesiod. Opp. 527)· μὴ ἔχοντες κέρατα

νήκεστον (idem 281)· ἀνάκεστον, ἀθεράπευτον

νηκούστησεν· οὐκ ἤκουσεν, ἠμέλησεν παρήκουσεν (Υ 14) [68]

νηλεγές (Alcman. fr. 21, 4)· ἄνοικτον. ἀθρήνητον

νηλεγής· ἀφρόντιστος. ἀθρήνητος

νηλεγέως· ἀνοίκτως

†νηλέγῳ· θρήνῳ. ἢ δεινῷ

νηλεεῖ (Pindar.)· ἀνηλεεῖ. σκληρῷ

νηλεὲς ἦμαρ (Λ 484)· ἡμέρα σκληρά

νηλεής· ἀνελεής. σκληρά

νηλέϊ χαλκῷ (Γ 292)· τῷ ἀνηλεεῖ σιδήρῳ

COD. 20 νεοπ.'ς — νεοβλέπουσινέας 21 |κτεῖν 23 νεωρόν 26 νεώς, οἶκοι 27 νεωσσεῖ 32 κενὰ 35 cf. ἐχερμάζομεν 41 δὲ pro λέγει — νενισμένον 43 ἐντέροις γαστρός — νηδύοισι καὶ νηδύησι 49 νήει 58 νηΐθη, ἀθηνᾷ 59 νήϊϊ, ταῖς πύλαις 63 νηΐστην 64 ἄφωνα 66 ἀνάκεστον 69 οἰκτρὸν 70 φροντιστὴς θρηνητὴς ⟨cf. ἀνηλεγὲς⟩

HES. 15 νεῶν ἰκρία (Ο 685)· τὰ σανειδώματα τῶν πλοίων 16 νεῶν οἴκους· τὰ νεώρια 17 νεῶνας· νεῶν οἴκους. νεό⟨ώ⟩λκια (Iones teste Aelio Dionysio) 25 νεώσατε (Ierem. IV 3)· ἀροτριώ⟨ά⟩σατε 38 νῆα (Ι 137)· ναῦν 39 νῆας ἐΐσας (Α 306)· τὰς ἰσοτοίχους ἐν τῷ πλείῳ 40 νῆάς τε (Β 493)· καὶ τὰ πλοῖα, καὶ τὰς ναῦς 45 νηδύπους (Soph. OC. 349)· ἀνυπόδετος 48 νηέρη· νόσος ⟨ἱερὴ νοῦσος⟩ Ad 49 καὶ ἐσώρευον (Ψ 169) 50 νήεσι (Β 688)· ταῖς ναυσί 52 νηησάτω· πληρωσάτω, σωρευσάτω (paraphr. Ι 137) 53 νὴ τὸν θεόν· μὰ τὸν θεόν ⟨νὴ θεὸν Cyr. 63⟩ 54 νήθων ὕλην (Ψ 139)· σωρεύων ὕλην 55 νηΐ· τῷ πλοίῳ. δοτικῶς 56 νήϊδα (paraph. Η 198)· ἄπειρον. καὶ δειλόν 68 νηκτά (Sapient. XIX 18)· τὰ ἐν ὕδασι διαιτώμενα, τὰ ἔνυδρα. παρὰ τὸ νήχεσθαι, ὅ ἐστι κολυμβᾶν, πλέειν

νηλεῶς (Aesch. Ch. 251)· δεινῶς. ἀναιδῶς. καὶ τὰ ὅμοια [78]

νηλήτεις (π 317)· ἀναμάρτητοι. παρὰ τὸ μὴ ἀλιτεῖν. καὶ νηλίτιδες τὸ αὐτό [80]

νηλίπεζοι ἢ νήλιποι· ἀνυπόδετοι

νηλιτέες· [ad 82] ἀναμάρτητοι. ἀναίτιοι. ἄχρηστοι

νῆλος (Megarenses?)· ἔριον. ἄμεινον λῆνος

νῆμα· [ad 84] ὕφασμα

νημερτές· ἀναμαρτές. [ad 85] σαφές

νημερτής (δ 349?)· ἀναμαρτής. καὶ τὰ ὅμοια

νῆν· νήθειν

νηνεμία· γαλήνη ἀνέμων [89]

νήνεμον· ἄνευ ἀνέμου. εὔπνουν. εὔδιον. ἥσυχον (Eur. Hec. 533). ἄπνουν. καὶ ἀνήνεμον τὸ αὐτό

νηνεμούμενον· καθεσταμένον ἐκ ταραχῆς. εὔδιον. ἥσυχον

(νηνίατον cf. 582)

νηνῖται· [ad 92] νέοι [93—95]

νηοῦχος· φύλαξ πλοίου ⟨590⟩

νηπεκτέας· ἀκτενίστους

νηπενθές (δ 221)· ἀπενθές, ἀπένθητον [99]

νηπιάζεται· μωραίνεται

νηπιαχεύων (X 502)· τὰ τοῖς νηπίοις ἁρμόζοντα πράττων, παιδαριευόμενος, νηπιευόμενος

νηπίαχοι· νήπιοι. ἀνόητοι. μάταιοι. νεογνοί (non Π 262)

νηπιέη· ἡ τῶν νηπίων ἡλικία

νηπιέησι· νεότησι (non Y 411)

νηπίη· [ad 505] νεογνή [6]

νήπιον· νεογνόν, νεώτερον, [ad 7] ἄφρον, ἢ ἀφρονέστερον

νήποδες· ἰχθύες ⟨νε—⟩

νηποινί· ἄνευ τιμωρίας

νήποινον· ἀτιμώρητον, ἀνεκδίκητον, ἀνέκτιτον (Apoll. lex.) [11]

νηπτικωτάτην· νήφειν ποιοῦσαν

νηπυθές· ἀπευστον

νηπύτα (H 384?)· βοητά. κῆρυξ μικρόφωνος

νηπύτιον (Y 200)· νήπιον. ἄφωνον. ἄφρονα, ἀνόητον

νηρεία· μαράθου θάμνος

Νηρεύς· θαλάσσιος δαίμων. Ἀλκμὰ(ν fr. 149) καὶ Πόρκον ὀνομάζει

νηρίθμους· ἀναριθμήτους, ἀπείρους [19]

νηρίδας· τὰς κοίλας πέτρας

†νηρίπη· σεμνή

νηρ†ῖται· μεγάλοι

Νήριτον· ὄρος Ἰθάκης, ἀντικρὺ τῆς Ἠπείρου. καὶ τὸ πολύ (Hesiod. opp. 50). χλωρόν. ὑγρόν. θαλερόν. ἁπαλόν. ἀεὶ ῥέον

νήριτος (Ar. HA. IV 4, 17 al.)· ὁ νηρίτης, ὅ ἐστι κογχύλιον κοχλιῶδες, ποικίλον

νηριτόμυθος· ὑπὸ τῷ γήρᾳ πεπτωκώς, ἢ (ᾧ) οὐκ ἄν τις ἐρίσειε πρὸς μῦθον

νηριτόφυλλον· πολύφυλλον

†νηρόν· τὸ ταπεινόν ⟨ὑδατεινόν?⟩

νῆς· τὸ ἔνης, ὅπερ ἐστὶν εἰς τρίτην· Δωριεῖς δὲ νᾶς λέγουσι

νησαίη λίθος· ἔνιοι τὴν σάρδιον, διὰ τὸ ἐν Σαρδόνι γίνεσθαι. οἱ δὲ σμάραγδον

Νησαίας ἵππους (Eur. fr. 1114 Arist. HA. IX 37, 5)· μεταξὺ τῆς Σουσιανῆς καὶ τῆς Βακτριανῆς τόπος ἐστὶ †κατὰ στηγῶνα, ὅπερ Ἑλλάδι γλώσσῃ Νῆσος. ἐνταῦθα ἵπποι διάφοροι γίνονται

νησίγδα· ἐν Νυκτί (Philemo p. 16). ἀποδιδόασι μάσημά τι ποιόν

νῆσοι· τόποι ἐν μέσῳ θαλάσσης

νησόμεθα· κορεσθησόμεθα

†νῆσορ· νεοττός ⟨νοσσόρ⟩ [35]

νῆσος· τόπος ὑψηλός, †ἔχων ἐν ὕδασι

νήστειρα· ἡ μήποτε .... στερομένη τροφῆς

νῆστις· ἀσιτία. καὶ τὸ μεταξὺ τῆς κοιλίας. καὶ τὸ τοῦ στομάχου ἔντερον, ἐν ᾧ οὐδέποτε κόπρος εὑρίσκεται· ὅθεν κέκληται

COD. 79 νηλητεῖς — ἀλητεῖν — νηλήτινες 81 νηλήπεζοι ἢ νήληποι 83 νηλός ⟨cf. λείν. et λήνει⟩ 87 νεῖν 90 νηνεμόν, 92 νηνίαι? 502 νήπισχοι, νήπ.οι 8 νηπίεν (cf. ἐν νηπιέῃ) 5 νεογνής 6 νηπίλας 7 νεωγνόν 9 νηποίνη 10 νηπήϊον — ἀνέκτιστον 13 ἄπαυστον 14 νηπυῖα ⟨16 νήριον Diosc. IV 82⟩ 17 ἄλκμα 25 ἢ — ἐρήσειε — μύθον 28 νῆς λέγουσι 31 μάσησμά 37 νηστείρα 38 νηστίς

HES. 78 νηλής (I 632)· ὁμοίως 80 Νηλήϊος (Ψ 349)· ὁ τοῦ Νηλέως παῖς Ad 82 ἀνηλεεῖς ⟨ad νηλέες⟩. ἀνηκτοί ⟨νηλεγέες⟩ Ad 84 ὕδωρ ⟨νᾶμα⟩ Ad 85 ἀληθές (Λ 514) 89 νηνεμίης (E 523)· πνοῆς ἐκτός. εὔ(διον) Ad 92 σύγκειται. ἢ ⟨νένηται⟩ 93 νηνυρίζοντα· θρηνοῦντα. λαλοῦντα ⟨μιν—⟩ 94 νηνός· ναοῦ. πλοίου. ἱεροῦ 95 νηὸς ἰούσης (Λ 482)· τῆς νεὼς πορευομένης 99 νήπια (B 311)· μικρὰ παιδία Ad 505 ἀσθενής (Λ 560) 6 νηπιάας ὀχέειν (α 297)· νηπιότητας, ἀφροσύνας, καὶ ματαιότητας ἔχειν, ἢ ὑπ' αὐτῶν ἔχεσθαι Ad 7 μικρόν (Z 366). ἀνόητον (Z 400) 11 νήπους ἢ νήποδες· ἀνυποδέτους ⟨νηλιπ—⟩ 19 Νήρικος (ω 376)· πόλις Ἠπείρου 35 νῆστις· ἄσιτος, νηστεύων

νῆστις (Arist. fr. IX p. 1151). τούτῳ δὲ τῷ ἐντέρῳ τὰς χορδὰς περιειλοῦσιν οἱ μάγειροι

†νήτεα· ἀνήνυτα

νὴ τήν· μὰ τήν

νὴ τὴν ὑγείαν (Com. inc.)· μὰ τὴν ὑγείαν

νῆτος· ἔσχατος. ἢ πολύς, σεσωρευμένος ⟨νητός⟩

νῆττον· πλῆρες, μεστόν ⟨νηητόν?⟩

νὴ τὼ θεώ· ὅρκος κατὰ Δήμητρος καὶ Κόρης [45]

νηφάλιοι (Callim. fr. CXXIII 1)· νήφοντες, μὴ πεπωκότες. ἢ θύματα καὶ βωμοί, ἐφ' ὧν οἶνος οὐ σπένδεται. ἢ σοφοί ⟨593⟩

νηφάλια ξύλα (Philochor.)· τὰ μὴ ἀμπέλινα, ἢ συκάμινα, ἢ σύκινα· ἐκεῖνα γὰρ οἰνόσπονδα λέγονται [48. 49]

νήφονες· νήφοντες

νήχεται· κολυμβᾷ

νήχι (Boeoti)· ναὶ μήν

νήχυτον (Philetas)· πολύ

?νήαις· κάδος [55]

?νηεξίς· ἐν Καππαδοκίᾳ γενόμενος μῦς, ὃν σκίουρόν τινες λέγουσιν

Νίβα· χιόνα. καὶ κρήνην

νιβάδες· αἱ τοὺς λόφους ἔχουσαι αἶγες

νιβατισμός· εἶδος ὀρχήσεως βαρβαρικῆς

νιγλαρεύων (Eupol. fr. XXVII p. 472)· τερετίζων

νίγλαροι (Pherecr. I 25 p. 334)· τερετίσματα, περίεργα κρούσματα

νίγλα· τρόπαια, παρὰ Πέρσαις

νίζει· νίπτει, πλύνει, κλύζει. σμήχει

νιῖδες (Siculi)· παίδων αἰδοῖα

νίκαθρον· ἔπαθλον, ἐπινίκιον

νικᾶι· κρατεῖ [ad 66]

Νικάνωρ ⟨—τωρ?⟩· ἥρως, ὃν καὶ τιμῶσί τινες

νικατῆρες (Maced.)· οἱ ἀκμαιότατοι ἐν ταῖς τάξεσιν [69—71]

νίκεστρον ⟨νίκατρον?⟩· νικητήριον

†νικῆσθαι· ἀπέχεσθαι

νικητήριον (Soph. fr. 504)· ἔπαθλον

νίκλον· τὸ λίκνον ⟨570⟩

νῖκορ (Lacon.)· διαφορά

νικοστράτ(ει)ος· εἶδος ἀμπέλου (Lynceus)

νικύρτας (Hipponact. 49, 5)· δουλέκδουλος

νίμματα (Dromo com. fr. II p. 541)· λουτρά, πλύματα

νίν· αὐτόν, αὐτήν, αὐτό [81]

νινήατος (Hipponact. fr. 129)· νόμος παιδαριώδης. καὶ Φρύγιον μέλος. (καὶ νηνιαστής· .....)

νίννον· τὸν καβάλλην ἵππον

νίρνος· φθείρ. Ἀχαιοί. ἢ νίρμος

νίρον· μέγα [86. 87]

Νισᾶν· ὁ Ἀρτεμίσιος μήν. καὶ Ἰλίου ⟨Δηΐτου? Β 508⟩ πόλις [89. 90]

(νίσσεται· εἰσέρχεται) cf. 249

(νισσόμωος· πορευσόμενος) cf. 252

νίτρον· σάπων. καὶ εἶδος ἰατρικόν

νιφάδες· ἕλκη, τραύματα, σταγόνες, ψεκάδες [93]

νιφάς (Ο 170)· ἡ τῆς χιόνος κατ' ὀλίγον ἀπόρροια·

νιφάδες δ' ὡς πίπτον ἔραζε (Μ 156)

τὰς γὰρ ψεκάδας ψιάδας φησίν·

αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε (Π 459)

νίφαργον· νιφάδι λελευκασμένον

νίφει (Ar. Ach. 1141)· χιονίζει [97]

νιφοβόλοις (Eur. Phoen. 206)· χιονίοις

νιφοβόλον (Eur. Phoen. 234)· ὑψηλόν

νιφόεν (Nic. Th. 881)· χιονῶδες

νιφόεντα· χειμέρια. χιονώδη (Call. Del. 93) χιονιζόμενα (Ξ 227)

COD. 40 νήτην, μάτην 44 τῶ θεῶ 47 οἰνίσποι 52 νήχιναι, μὴν 53 νηχιτὸν 64 ⟨νιδες Phot. 300, 5, νίδας· νέος παιδὸς κόρονος Cyrill. 72 νίκαστρον Phot.⟩ 76 νίκωρ, διαφθορά 79 πλώματα 81 νινήκλος καὶ 82 |ειώδης καὶ φρύγειον καὶ νινιαστὴς post 581 83 καταβάλλην 85 cf. νειρὸν. ἱερὸν. 88 ἰλιουπόλις 91 σαπῶν 94 ἐπίπιον ἔρραζε — γὰρ φησὶν — ἔρραζεν 95 νιφάδον 97 ἡ χάλαζα 98 ξενίοις 600 νιφῶεν

HES. 45 νηυσί (Α 179 al)· ναυσί, πλοίοις 48 νηφαλισμένον· ὕδατι, οὐκ οἴνῳ ἡγνισμένον 49 νῆφε (II Tim. IV 5)· γρηγόρει. σωφρόνει βίου. [ἢ βρέχε·] [χιὼν γὰρ ἡ κατὰ μικρὸν φερομένη λεπτῶς, καὶ ὁ λεπτὸς ὄμβρος νιφετός· νίφει γὰρ τὸ χιονίζει] 55 νηαιρίη ⟨Ε 539⟩· ἐσχάτη. ἢ νηάτη ⟨216⟩ Ad 66 λικμᾷ ⟨νικλᾷ⟩ 69 νίκεα· φιλονεικία, ἔχθρα 70 νίκειν· λικμᾶν. κρατεῖν ⟨231. 566⟩ 71 νίκεσσεν· ὕβρισεν 81 νινητός (Call. Iov. 63)· ἀνόητος. οἱ δὲ νενίηλος ⟨quod verum⟩ 86 νίτρον, σαπῶν 87 νίσεσθαι· πορεύεσθαι 89 νισόμενον (Ν 186)· πορευόμενον 90 νισυνόχος· φύλαξ νεώς ⟨496⟩ 93 νιφάλιος· εὐγρήγορος (Byzant.) τὸν νοῦν ⟨546⟩ 97 νιφετός (δ 566)· ἡ τῆς χιόνος καταφορά, χιὼν λεπτή, χιονισμός· τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον, ἠ(ὲ) χάλαζα(ν, ἢ νιφετόν Κ 7)

νιφόεσσα Ἑλένη· ἀντὶ τοῦ λευκή. Ἴων Φρουροῖς (fr. 46)

νιφομένη· χιονιζομένη [604. 5]

νόα· πηγή. Λάκωνες

†νοαρέως· νουνεχόντως

νόει· συλλογίζου. σκόπει

νοερόν· πνευματικόν· νοερόν μέν ἐστι τὸ ν(ο)οῦν· νοητόν δὲ τὸ νοούμενον. τροφὴ δὲ τρόπον τινὰ τοῦ νοοῦντος, τὸ νοούμενον. οὕτω μὲν οὖν κυρίως. λέγονται δὲ καὶ ἐναλλὰξ καταχρηστικῶς

†νοεύσας· νοήσας

νόημα· σύνεσις

νοήμων· συνετός, ἔμπειρος. γνωστικός

νοήσει· ἐνθυμεῖται

νόησεν· ἐφράσθη

νοητά· τὰ μὴ ὁρώμενα [16]

νοθεύει· ἀπαλλοτριοῖ. ἀπατᾷ. κολακεύει

νοθογέννητα· πορν[ι]ογέννητα. οἱ μὴ γνήσιοι παῖδες, ἀλλ' ἀπὸ πόρνης ἢ φίλης ἢ δούλης ἢ παλλακῆς ἀλλότριοι ἢ δυσγενεῖς ψευδεῖς

νόθως· ψευδῶς [20. 21]

νομάδες· βοσκόμεναι ἀγέλαι

νομάδες· ἡμέραι αἱ φθίνοντος τοῦ μηνός

νομάδες· βαρβάρων, ἀγρίων .... [25]

†νομαδόστο(ι)χοι· ἀπὸ τῶν νομῶν κατὰ στοῖχον ἐρχόμενοι

†νομάριον· σκεῦος τραγικόν

νομάρχης (Herod. II 177)· ὁ νομῶν ἄρχων· νομοὺς δὲ λέγουσι τὰ μεγάλα χωρία

νομέας (Herod. I 194 II 96)· ξύλα περιφερῆ

νομεῖς· βασιλεῖς. ἡγεμόνες. καὶ τῶν πλοίων τὰ ἐγκοίλια. καὶ σχοῖνοι ἁρμένων [31]

νομεύς· ποιμήν. ὁ μεριζόμενος, ἢ μέρος ληψόμενος

νομή· διαίρεσις, μερισμός, νέμησις [34]

νομή· τροφή, βοσκή. †ποινή. μερὶς ὕδατος [36]

νομίζειν· οἴεσθαι. λέγειν

νομιζόμεθα· νόμιμα οἰόμεθα

νομιζόμενα· νόμιμα. ἔννομα

νόμιον· δίκαιον

νομοθετεῖ· νομοποιεῖ [42]

νομόν· νομήν

νόμος· θεσμός, συνήθεια: νομή. τόπος ⟨νομός⟩. καὶ λόγος (Hippocr.) [ad 44] 45]

‚νόμος ὁ πάντων βασιλεύς' (Pindar. fr. 146) κατὰ φύσιν ....... (Plat. Gorg. p. 488 B) [47—51]

νοοῦσι· φρονοῦσιν, ἢ συνιεῖσι

†νορβά· καλή

†νορβεῖ· ἐνταμεῖται

νορθακινοί (Aeol.?)· ἀσθενεῖς

νόρρος· ἄνθος μήλινον λωτοῦ. γίνεται δέ τι καὶ δένδρον ἐν παραλίᾳ, ὅπερ ἔνιοι νορειὰν καλοῦσιν

νορύην· [ad 57] ἔστι δὲ εἶδος ὀσπρίου (Theophr. IX 11, 5) [58]

νοσακερός (Com. an. fr. CCCXVII)· νοσώδης. τρυφερός, μαλακός

νοσηλεύεται· νοσεῖ: ἢ νοσοῦντι ὑπηρετεῖ ⟨νοσηλεύει⟩ [61]

νοσσίδες· ὑπόδημα γυναικεῖον ⟨Poll. VII 94⟩

νόσος μεγάλη· ἐπιληψία

νοσοῦν (cf. Dem. 113, 26)· στασιάζον

νοστῆσαι· [ad 65] ἀφικέσθαι, ἀνακομισθῆναι, ὑποστρέψαι [66]

νόστιμον ἦμαρ· τὸ σωτήριον (α 9). καὶ ἀνακομιστικόν. ἀνακομιστικὴ ἡμέρα

νόστιμος (δ 806)· σω(τή)ριος. καὶ τὰ ὅμοια

Νόστοις· βίβλοις οὕτω καλουμέναις

νόστος (Β 155)· ἡ εἰς οἶκον ἀνακομιδή, ἡ ἐπάνοδος. καὶ ἡ ἀνάδοσις τῆς γεύσεως

COD. 5 νίφον, ἠρωτριωμένη γῆ 9 ἀναλλάξ ⟨26 ὤμων — ὀρχούμενοι Phot. 301, 20⟩ ⟨27 ΗΘΜΑΡΙΟΝ — ἰατρικόν?⟩ 35 ποίμνη? 38 |μαθα bis 46 πάντων ὁ — κατὰ τὴν φ| 52 φθονοῦσιν ἢ συνιοῦσι ⟨56 μελιλώτου?⟩ 57 νορύειν (Arcad. 118, 17) 59 νοσακέρως 60 νοσι| νοσοῦντα 64 |ζειν 67 νόστημον 68 νόστημος· σωριος

HES. 604 νίψεως· νουνεχείας ⟨νή—⟩ 5 νιφῷ ἐνί (ε 127)· ἠροτριαμένη γῆ 16 νοθοοῖ· φοβεῖται. ἀγριαίνει. νουθετεῖ 20 νοῖοι (Ω 166)· αἱ τῶν υἱῶν γυναῖκες 21 νωμελέως (Δ 428)· ἀδιαλείπτως 25 νομαί· βοσκήματα, βοσκαί 31 νομαλέως (Δ 428)· ἀδιαλείπτως 34 νομῆες (Σ 525 al.)· ποιμένες 36 νομήματα· δικαιώματα ⟨νόμιμα· τὰ⟩ 42 νομοΐστορες (Cyrill. in Iesai. XLIII p. 577)· νομομαθεῖς Ad 44 καὶ ὁ ποιητὴς τῶν καθ' ἡμᾶς νόμων 45 νόμος· ὁ ποιητὴς τῶν καθ' ἡμᾶς νομῶν οὐκ οἶδε· θέμις τὰς δὲ καὶ εὐνομίας λέγει· ἀπὸ τῆς νεμήσεως· ὁ ἄνος ὕβριν τε καὶ εὐνομίαν (ρ 487) 47 νομῷ (Β 475)· τῇ νομῇ 48 νόον (Hom.)· νοῦν 49 νόων, πολυκέρδεα νομον (ν 255) τὸν ἀπατηλὸν καὶ ψεύστην νοῦν ἐπὶ πολλὰ τρέπων· ἄλλο ἐπ' ἄλλο διανοούμενος 50 νόος (Β 192)· νοῦς 51 νόου (β 346)· τοῦ νοῦ. τοῦ λογισμοῦ Ad 57 [γῆν ὀρύειν.] 58 νόροπα (Β 578)· λαμπρόν 61 νοσσεύουσι (Iesai. LXVIII 28)· γεννῶσαι Ad 65 ἐπανελθεῖν (Ο 374) 66 νοσ[τ]ηλεύεσθαι· νοσοκομεῖσθαι

νόστου προμαθόντες (Com. an. fr. CLXII)· χρόνου πολλοῦ νόστον προμαθόντες
νοσφίδιον· κλοπιμαῖον, λαθραῖον
νοσφίζεσθαι· λανθάνειν. πλεονεκτεῖν [74]
νοσφίζεται· ἰδιοποιεῖ. κλέπτει, ἀποστερεῖ, ἀφαιρεῖ. χωρίζει
νοσφιζόμενος· ἀφαιρούμενος. κλεπτόμενος. ἢ κλέπτων, στερῶν
νόσφιν· χωρίς (Α 541), ἄνευ. λάθρα. δίχα. ἐκτός. μακράν [79]
νουμήνιος· ὄρνεον, ὅμοιον ἀτταγᾷ ὄν· ὁ καὶ τρόχιλος
νουνεχέσιν· ὀξυτέροις. νηπτικωτέροις. συνετοῖς, σοφοῖς
νοῦ πέρα παντός· ὑπεράνω παντὸς νοῦ
Νοῦς· ψυχή. ποταμός. καὶ ἡ μονάς. κυρίως δὲ σώφρονος ψυχῆς ἐνέργεια [83]
νοῦς οὐ παρὰ Κενταύροισι (Teleclid. fr. XI p. 375)· παροιμιῶδες. ἔστι δὲ Π(ε)ισάνδρου κομμάτιον, ἐπὶ τῶν ἀδυνάτων ταττόμενον [85—87]
νύγει· τῷ κέντρῳ πλήττει
νυγμή· κέντρον
νυθόν· ἄφωνον. σκοτεινόν
νυθῶδες· σκοτεινῶδες
νύκτα· σκότος. ἡ χειμέριος δὲ δασεῖα (Diogen. prov. VI 89)
νυκταίετος· ὄρνις ἱερὸς Ἥρας, ὁ καὶ ἐρῳδιός [94]
(νυκταλωπιᾶν cf. 750)
νυκτελεῖν· ἐν νυκτὶ τελεῖν [96]
νυκτερεύειν· ἀγρυπνεῖν. †Ἀττικοί
νυκτερινοὶ κύνες· οἱ λύκοι. τινὲς δὲ εἶδος ὑποδήματος γυναικείου (Poll. VII 94)
νυκτερίς (μ 433)· πετεινὸν νυκτερινόν
νυκτίβιος· ὁ ἐν νυκτὶ ὡς ἐν ἡμέρᾳ διάγων. τοιαῦτα δὲ τὰ θηρία καὶ τὰ πλείω τῶν πτηνῶν
Νυκτίδαι· γένος τι τῶν τὰς λοιμικὰς νόσους ἐκδιωκόντων [702. 3]
νυκτιπόλοις (Eur. Ion. 718)· νυκτὸς ἀναστρεφομένοις καὶ περι(ι)οῦσι
νυκτιλόχους (Callim.? cf. Nonn. Ioann. XIX 18)· τοὺς νυκτὶ ἐνεδρεύοντας, ἢ λῃστάς ⟨νυκτολ—⟩
νυκτοκόραξ (Ar. HA. II 12, 17)· ὁ νυκτὶ πετόμενος
νυκτόμαντις· μάντεως εἶδος
νυκτομαχία (Herod. I 74 Thuc. VII 44)· (ὅτε) νυκτὸς μάχονται πολέμ(ι)οι, καὶ οὐχ ὁρῶσιν ἐν τῷ σκότει [9]
νύκτωρ (Callim. ep. LXVI 1)· νυκτός
νυκχάσας· γράφεται δὲ καὶ νυκχάσας, ὅπερ ἐστὶ νεανιευσάμενος. τὸ δὲ νυκχάσας νύξας
νυμφαγωγεῖ· νύμφην ἄγει
νυμφαγωγός (Eur. IA. 610)· ὁ μετερχόμενος ἑτέρῳ νύμφην καὶ ἄγων ἐκ τοῦ πατρὸς οἰκίας, ᾧ πρότερον γεγαμηκότι οὐκ ἔξεστι μετελθεῖν· διὸ ἀποστέλλουσι τῶν φίλων τινάς. Διαφέρει γὰρ ὁ νυμφαγωγὸς τοῦ παρόχου· καλεῖται γὰρ πάροχος τῶν φίλων τις ὁ ἐπὶ τῷ ὀχήματι ἅμα τῇ νύμφῃ καὶ τῷ νυμφίῳ ὀχούμενος, οἷον παράνυμφος
νύμφαι (Ar. HA. V 19)· οἱ πτερωτοὶ μύρμηκες. καὶ οἱ σκώληκες οἱ πτεροφυοῦντες, οἱ ἐν τοῖς τῶν μελισσῶν κυττάροις. οἱ δὲ καὶ ἀνὰ μέσον τῶν γυναικ(εί)ων αἱ νύμφαι. καὶ τῶν ῥόδων αἱ μεμυκυῖαι κάλυκες. καὶ αἱ νεόγαμοι κόραι. καὶ Μοῦσαι θεαί
Νυμφαῖον ὄχθον· Ἴων (fr. 52). παρόσον ὁ Ἀλφειὸς τὴν Ἀρκάδων παραμειβόμενος (κατὰ) τὰς λεγομένας Γλυφὰς διέρχεται. Νυμφαῖον δ' ὄρος ἀκούει τὸ περὶ τὴν Ἀρκαδίαν. οἱ δὲ περὶ ποταμόν

COD. 71 ,προμάχοντες 77] post 74 78 νοσφινέων 79 ἀτταγῖον 80 νειπτ| 84 οἱ^ε π 87 νῦν ⟨88 cf. νύττει, νύρει⟩ 93 ἐρωδίας 98 λήκοι 706 νυκτὶ πετώμενος, ὁ νυκτικόραξ 7 νυκτι^τμαν 8 |εία — πόλεμοι 10 νύκτορ ⟨11 νευχάσας, νεανιευσάμενος Phot. 303, 9⟩ 13 ἑτέρων 14 πτερωταὶ — κυφάροις 15 ὁ πάρος, ὃν — ἀρκάδαν διέρχεται. οἱ ..... ποταμὸν. Νυμφαῖον

HES. 74 νοσφιζοίμεθα· ἀρνοίμεθα. ἢ ἐπ' ἄλλο τι τραποίμεθα (Ω 222). ἢ κρυπτοίμεθα (Β 81) 78 νόσφιν ἐών· χωρὶς ὑπάρχων (Θ 490 non Apoll. Rh. IV 1458) 83 νοῦσος (Α 10)· νόσος λοιμική 85 νωχαλός. ῥάθυμος. χαῦνος ⟨νωχαλής⟩ 86 νόῳ (Α 132)· ἐν τῇ διανοίᾳ 87 νύ· ἀντὶ τοῦ καὶ δή, καὶ· δή (Δ 31) 94 νῦνκες (Ξ 385)· ἐκτεταμένον 96 νυκτέοικος (Α 47)· φοβερὸς τὴν θέαν 702 νυκτεοικῶς (Α 47)· καταπληκτικῶς, καθάπερ νύξ 3 νυκτὶ θοῇ (Μ 463)· τῇ ταχείᾳ. ἡ γὰρ ἡμέρα, πολύμοχθος οὖσα διὰ τὰ ἔργα, μακρὰ ἡμῖν φαίνεται· ἡ δὲ νὺξ διὰ τὴν ἀνάπαυσιν ταχεῖα 9 νυκτὸς ἀμολγῷ (Λ 173)· μεσονυκτίῳ· παρ' ἣν ὥραν οὐδεὶς μολίσκει

***νυμφεύτρια*** (Ar. Ach. 1056)· *ἡ συμπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ παράνυμφος*

***νυμφέων· νυμφῶν ἱερόν*** (Anacr. fr. 16)

***νύμφη·*** *ἡ νεωστὶ γαμηθεῖσα* (Isocrates). *καὶ ἡ ἐν τοῖς ἄστροις αἴξ, ἡ Ἀμάλθεια. καὶ Μοῦσα. καὶ τὸ μεταξὺ τοῦ γενείου καὶ τοῦ κάτω χείλους ἐν μέσῳ κοῖλον. καὶ ἡ τοῦ Διὸς μήτηρ. καὶ ὁ ἐν τοῖς μελισσ(ε)ίοις σκώληξ* [19]

***νυμφικὰ λουτρά·*** *γαμήλια λουτρά· ἢν ἀπὸ κρήνης ἀποδεδειγμένης*

***νυμφίδες·*** *ὑποδήματα γυναικεῖα νυμφικά*

***νυμφίον καὶ νύμφην·*** *πάντα τὸν γήμαντα καὶ παιδοποιησάμενον, κἂν πολυχρόνιος ᾖ* (Ψ 223)

*νυμφίου, ὅς ῥα θανὼν δειλοὺς ἀκάχησε τοκῆας*

***νυμφόβας·*** *Ἀχαιός* (fr. 26). *ὁ Σειληνὸς ἐπιβαίνων ταῖς Νύμφαις. καὶ ἐν Μοίραις* (Hermippi ?)·

*βαβαί, βαβαί, βήσομαι γυναῖκες*

*ἐπὶ τῆς Ἀφροδίτης*

***νυμφοκόμος*** (Eur. IA. 1087)· *ἡ νυμφεύτρια ἡ κοσμοῦσα τὴν νύμφην*

***νυμφόληπτοι·*** *οἱ κατεχόμενοι Νύμφαις. μάντεις δέ εἰσι καὶ ἐπιθ(ε)ιαστικοί*

***νυμφοπόνος*** (Sophro)· *ἡ περὶ τὴν νύμφην πονουμένη* [27]

***νυμφοτήρεις·*** *ἄρχοντές τινες*

***νῦν·*** *ἐπὶ τοῦ παρόντος. ἐνίοτε δὲ ἀντὶ τοῦ δή παραπληρωματικοῦ. καὶ ἐπίρρημα χρόνου ἐνεστῶτος. δηλοῖ δὲ καὶ τὸ ἀρτίως*

***νῦν δέ·*** *ἐπὶ τοῦ παρόντος*

***νῦν δὲ θεοὶ μάκαρες·*** *τοῦτό φασιν ἐξόδιον εἶναι ῥαψῳδῶν·*

*νῦν δὲ θεοὶ μάκαρες τῶν ἐσθλῶν ἄφθονοι ἔστε*

***νυνδή*** (Plato)· *ἀντὶ τοῦ ἄρτι*

***νῦν κ' εἴη*** (non Ξ 107)· *ἀντὶ τοῦ νῦν καιρός*

***νύννιον·*** *ἐπὶ τοῖς παιδίοις **καταβαυκαλούμενόν** φασι λέγεσθαι· ὁμοίως καὶ τὸ **νύννιος***

***νῦν τ' ἦνθες ἐς χορόν, νῦν τ' ἔπραδες·*** *νῦν εἰς χορὸν ἦλθες, καὶ νῦν ἔπαρδες*

***Νύξ·*** *ἡ σωματοειδὴς θεός·*

*εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε* (Ξ 259)

*καὶ ἡ συνήθως λεγομένη νύξ* (λ 329) ..... [37]

***νύξεν*** (Η 260)· *ἐκ χειρὸς ἔτρωσεν* (Δ 252)·

*νύξε δέ μιν κατὰ χεῖρα μέσην*

***νυός·*** *νύμφη γεγαμημένη τοῖς τοῦ γήμαντος οἰκείοις ......*

***νυρεῖ·*** *νύσσει* ⟨688⟩

***νυρίζει·*** *νύσσει. ξύει*

***νυρῶν·*** *νύσσων. ξύων* [ad 42] [43]

***νύσ(σ)ει·*** *παίει. ῥήσσει*

***νύσσα*** (Ψ 332)· *ὁ καμπτήρ· ἀπὸ τοῦ ἐλθόντας κατ' αὐτὸν νεύειν τοὺς ἵππους*

†***νύσσαι·*** *ἐκ χειρὸς πατάξαι*

***Νύσ[σ]ιον·*** *ὄρος Διονύσου* (cf. Soph. A. 1131)

***νυσταγμός*** (Hippocr.)· *ὕπνος*

***νυσταλέον·*** *ὑπνηλόν* (cf. Com. inc. XLIII)

†***νυσταλωπιᾶν·*** *νυστάζειν*

***νύστυχον·*** *ὀλίγον ὑπνῶσαι*

***νυττόμενος·*** *κεντούμενος. προωθούμενος*

***νύχα·*** *νύκτωρ, νυκτί* ⟨v. *πάννυχα*⟩

***νυχ(ε)ία·*** *διανυκτέρευσις*

***νύχιαι·*** *νυκτεριναί*

***νυχεύει·*** *κρύπτει. νυκτερεύει*

***νύχμα·*** *ὄνειδος* ⟨817⟩. *Λυδοὶ φολός* ⟨*φόγος?*⟩

***νύχος·*** *νύξ. σκότος*

***νῴ*** (ο 474)· *ἡμᾶς*

***Νῶβαι·*** *Πυγμαῖοι*

***νωγαλεύματα*** (Ararot. fr. I p. 274) *ἢ **νωγαλίσματα**· τὰ κατὰ λεπτὸν ἐδέσματα. οἱ δὲ τὰ μὴ εἰς χορτασίαν, ἀλλὰ τρυφερὰ* †*ἅρματα*

***νωδός*** (Phoenic. Col. fr. 5, Eubul. com. p. 272)· *ὁ ὀδόντας οὐκ ἔχων. καὶ ἐν[ν]εός. κωφός. μὴ λαλῶν* ⟨cf. *μύδος*⟩

***νώδυνον*** (Soph. Phil. 44)· *ἀνώδυνον* [64]

COD. 17 *νυμφεύων* 20 *τὰ μήλια* 22 *νυμφίουος ὡς ῥαθάνωδηλοῦσακαχῆσε* 23 *ὅς ἢν δεινὸς — μ$\overset{ρ}{ύ}$* 25 |*μπτοι* 28 *νυμφοτερεῖς* 30 *τραγῳδῶν — ἔστησαν* 32 *νῦνδὴ* 34 *καταβὰν καλούμενον* 35 *νῦν τ' ηνθες δεχωρὸν, — ἔπραδες* ⟨*κόρον* Meinek.⟩ 38 *ἐκχειρέτρωσεν — δ' ἐμὴν χεῖρα* ⟨40 cf. *ἔνυρεν, μυρμεαί*⟩ 44 *παίζει* 50 Cf. *ὑσταλωπιᾷ* et *νυκταλωπιῶν* Eustath. 1392, 35 52 *προθ.΄μενος* 58 *νυχὸς* 63 *ἀνόδυνον*

HES. 19 ***νύμφιγενέην*** (λ 447)· *νεωστὶ νενυμφευμένην* 27 ***νυμφοστόλος*** (Greg. Naz.)· *νυμφαγωγός* 37 ***νυοί*** (Ω 166 γ 451)· *νύμφαι* ⟨cf. *νοῖοι*⟩ Ad 42 *νύκτωρ* 43 ***Νῦσα** καὶ **Νυσήϊον*** (Ζ 133)· *ὄρος, οὐ καθ' ἕνα τόπον. ἔστι γὰρ Ἀραβίας, Αἰθιοπίας, Αἰγύπτου, Βαβυλῶνος, Ἐρυθρᾶς, Θρᾴκης, Θετταλίας, Κιλικίας, Ἰνδικῆς, Λιβύης, Λυδίας, Μακεδονίας, Νάξου, περὶ τὸ Πάγγαιον, τόπος Συρίας* 64 ***Νῶε*** (Genes. V 29)· *ἀνάπαυσις*

νωθεία (Plat. Theaet. 195 C)· νωθρία, ὀκνηρία

νωθεῖς· βραδεῖς, ἄλογοι

νωθῆ· τὸν ἐργάτην, ἢ τὸν μηκέτι σκιρτᾶν δυνάμενον

νωθής (Λ 558)· ὁ νωθρός, κατὰ στέρησιν τοῦ θεῖν. βραδύς. ἀμβλύς

νωθὴς ὁδός· ἡ μακρὰ ὁδός

νώθητι· ἐνθυμήθητι, γνῶθι

νώθουρος (Com. an. CVII)· ὁ ἀδύνατος συγγίνεσθαι. ἢ ὄνος (cf. Λ 558)

νωθρὴ ὁδός· μακρά. ἢ νωθρά [73]

νωθρόν (Nic. Th. 165)· βραδύ. νωχελές. ἀσθενές

νῶϊ (Ε 235)· ἡμᾶς. ἡμεῖς (Δ 418). † ἡμῶν

νῶϊν (Θ 374)· ἡμῶν τῶν δύο. καὶ ἡμῖν [77. 78]

νῶκαρ· νύσταξις (Nic. Th. 189). νωθεία. κακόσχολος ἔννοια

νωλεμές (Ι 317 al.)· ἰσχυρόν, βίαιον. [οὐτελές]. καρτερόν. συνεχές

νωλεμέως (Δ 428)· ἀδιαλείπτως. καὶ τὰ ὅμοια

νωλεμῶς· ἀδιαλείπτως. καὶ τὰ ὅμοια

νῶμα (Empedocl. 361)· νόημα, ἐνθύμημα [84]

νωμᾶται (Bacchyl. fr. 47)· κινεῖται

νωμῆσαι (Η 238)· κινῆσαι, μετενέγκαι. διανεῖμαι. κυβερνῆσαι

νώματα· ἐπὶ τῶν ὑποζυγίων τὰ γνωρίσματα. οἱ δὲ τὰ θρέμματα

νώμησαν (Δ 471 al. Antim. fr. XVI)· διεμέρισαν [89]

νωμῶν· ἔχων (ν 255?). διανέμων. κρίνων (Soph. OT. 300). διαιρῶν

Νώναχρις· τόπος ἐπώνυμος Ἀρκαδίας. τινὲς δὲ Νώνακις (Meinek. Call. Del. 103)

Νωναχρ(ι)εύς (Aristoph. fr. CCXXXIV)· οἱ μὲν ἀλείπτην Ἀρκαδικὸν ἀποδιδόασιν. ἡ γὰρ Νώναχρις Ἀρκαδίας ἐστὶ τόπος .....

νῶντα· νήθοντα. ῥέοντα (cf. νάει)

νωνυμία· ἀκλεια. ἀσάφεια

νώνυμος (ν 239)· ἀνώνυμος. δύσφημος. ὃν οὐκ ἄν τις εὔφημον εἴποι, ἀλλὰ δυστυχῆ

† νωρεῖ· ἐνεργεῖ

νώροπα (Β 578)· λαμπρόν. αἴθοπα. στερητικὸν τῆς ὄψεως. τὸ γὰρ νω ἴσον τῷ α· ἄροπα, νώροπα [98. 99]

νώροψ· λαμπρός. ὀξύφωνος. ἔνηχος. ἢ ὅτι τὴ ὄψιν ἀσθενῆ ποιεῖ

† νώρεμνος· μέγας. πολύς. κατώτατος, ἔσχατος. ἀσθενής. πλατύς

νωσάμενος (Call. fr. CCCXLV)· κατανοήσας

νώσασθαι· αἰσθέσθαι, ἐνθυμηθῆναι, νοῆσαι

† νῶσις· ῥέμβος. πτωχός

† νωσίχολος· ἀμελής. ῥάθυμος [806. 7]

νωτεῖς· οἱ ἀχθοφόροι ἡμίονοι. οἱ ἕλκοντες ζύγιοι

νωτίζειν· διώκειν. τρέπειν

νωτίσαι· τὸ κατὰ νῶτα λαβεῖν (Aesch. Ag. 286), καὶ παραμείψασθαι φυγόντα (Soph. OT. 193)

νωτίσασθαι· ἀναθέσθαι ἐπὶ τῶν ὤμων. ἀπονωτίσασθαι δὲ τὸ καταθέσθαι

νωτοφόρος (Xen. ΚΠ. VI 2, 34)· ὁ μὴ ὑπὸ ζυγόν, ἀλλὰ τῷ νώτῳ ἀχθοφορῶν ἄνθρωπος, ἵππος, ὄνος

νωφαιόν· ἀφανές

νωφαλή(ς)· νωθρός ⟨νωχ—⟩

νωχαλίζει· βραδύνει

νωχέλεια· ἀσθένεια. βραδυτής. ἀργεία. νώθεια [ad 16]

νῶχμα· ὄνειδος ⟨757⟩

νώψ· ἀσθενὴς τῇ ὄψει ⟨cf. μύωψ⟩

νωχελής· [ad 19] βραδύς. ἄχρηστος

# Ξ

Ξαίνει· διαξέει. † νήθει, † σωρεύει. ἐργάζεται ἔρια. καὶ δέρει ἱμάντι

† ξενύει· λήγει

ξάν†δαρος· ζῶον ὅμοιον βοΐ, γενόμενον κατὰ τὸ Ἀτλαντικὸν πέλαγος

ξανᾶν· κοπιᾶν τὴν χεῖρα ⟨14 et ἀποξανᾶν⟩

COD. 67 νωθητὸν 71 νωθουρός, ὁ δυνατὸς 72 νώθρηξ ⟨87 γνώματα?⟩ 94 ἀφάσεια ⟨804 δινώεις ῥεμβός· πτωχός⟩ 8 ἢ ἕλκοντες (cf. ζούγωνερ) 16 μιλώτις 19 ὁμαλὸς Ξ 1 ξένει — δέρει 3 ξάναδρος?

HES. 73 νωθροκάρδιος (Proverb. XII 8)· βραδὺς κατὰ λογισμόν 77 νωϊτέρην· ἡμῶν τῶν δύο· ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς (μ 218) 78 νωΐτερον· ἡμῶν τῶν δύο. ἡμέτερον· καὶ νωΐτερον λέχος αὐτῶν (Ο 39) 84 νωμᾷς (μ 218)· διοικεῖς 89 νωμησέβων (Η 238)· κινῆσαι τὸ ὅπλον 98 νώροπι (Η 206)· λαμπρῷ. καὶ τὰ ὅμοια 99 νώροπι χαλκῷ (Ν 406)· τῷ λαμπρῷ χαλκῷ, ἢ σιδήρῳ. καὶ τὰ λοιπά 806 νῶτα· τὰ ἀνώτατα, τὰ νωτιαῖα κρέα (δ 65). καὶ συνήθως ἡμῖν (Β 308) 7 νῶτα θαλάσσης (Β 159)· τὴν ἐπιφάνειαν αὐτῆς. ἢ τὰ πελάγη Ad 16 μιλότης. (Byz.) ὁμοίως καὶ νωχελ[ε]ίῃ (Τ 411) Ad 19 ὁ μιλός ⟨q. v.⟩

ξανῆσαι (Soph. fr. 456)· κοπιᾶσαι

Ξανθή· ἡ Τροία. καὶ ἡ καλή [ad 6]

ξανθίζεσθαι (Lacon.)· κοσμεῖσθαι τὰς τρίχας, ἢ βάπτεσθαι αὐτάς

ξανθ[ιμ]ίας· βόλου ὄνομα

ξανθόν· πυρρόν (α 285). καλόν. εὖ εἰργασμένον. χλωρόν. ὁ δὲ ποταμὸς Ξάνθος (Z 4 Aristot. HA. III 10, 2). καὶ ὄνομα (T 404)

ξάνιον· κτένιον, ᾧ αἱ γυναῖκες χρῶνται πρὸς τὴν τρίχα, καὶ ὃ φοροῦσιν ἐν τοῖς †δερέοις

ξανθικά· ἑορτὴ Μακεδόνων, Ξανθικοῦ μηνὸς ἢ Ξανδικοῦ ἀγομένη. ἔστι δὲ καθάρσιον τῶν στρατευμάτων

ξανθοῖσιν ὀρνέοις

†ξανίσσατο· διενοήθη ⟨ζατώσατο⟩

ξανῶ· κοπιῶ

†ξέεσθαι· σπανίζεσθαι ⟨πην—⟩ [16—18]

?ξενίζεται· ξενοδοχεῖται

?ξενίζουσα· ἀλλόφυλος. ἀήθης. καινή [21—25]

ξεινοδόκος (σ 63)· ὑποδεχόμενος ξένους. καὶ μάρτυς [27]

ξεῖνοι· Θεσσαλοί ⟨Ξυνιεῖς?⟩ [29. 30]

ξεινοῦσσαι· ξενῶνες

ξειρίς (Aristoph. fr. CCXXII)· ἀρωματικόν τι φυτόν

ξεναγεῖ· δέχ(εται) ξένους. ἢ τῆς ὁδοῦ ἡγεμονεύει

ξεναγοί· οἱ τῆς ξένης ὁδοῦ ἡγούμενοι

ξεναγός (Posidipp. com. fr. VII p. 521)· ὁ τῶν ξένων ἡγούμενος

ξεναγωγήσας· ξένον ὁδηγήσας (ἢ ξενοδοχήσας)

ξεναγῶν· ξενοδοχῶν, ὁδηγῶν, καὶ ἄγων τοὺς ξένους

ξεναγία· σύνταγμα (Cretes). καὶ ὁ τούτων ἡγεμών, ξεναγός

†ξενεοί· στρατιῶται ⟨Meinek. Theocr. 254⟩ [40]

ξενηλασία (Thuc. I 144)· τὸ μὴ ἐᾶν ξένους ἐπιμίγνυσθαι

ξενηλατοῦνται (Ar. Av. 1012)· τύπτεσθαι τοὺς ξένους ἐλαυνομένους

ξενια· ὑποδοχή, φιλοτιμία, φιλία. δῶρα. κατάλυμα, ἢ καταγώγιον

ξενίας δίκη (Ar. Vesp. 718)· ἐπὶ τῶν ὡς πολιτῶν μετεχόντων τῶν δημοσίων

ξενίζειν· ξένῃ χρῆσθαι φωνῇ, ἢ ξένοις ἤθεσι

ξενίζουσαν· νεαράν

ξενοδοκοῦμαι· μαρτύρομαι ⟨v. ἐπιξ—⟩

ξενοδόκων (Simonid. fr. 84, 7)· ξενοδόχων. μαρτύρων

ξένοι· οἱ πολέμιοι (Thuc. VII 13). οἱ δὲ τοὺς Πέρσας (Herod. IX 11). οἱ δὲ τοὺς ἀπὸ ξενίας φίλους. ἢ ξένους

ξενολόγος (Menander)· ξένους στρατιώτας συλλέγων

ξένος· ὁ ὀθνεῖος. ὁ ἐπιξενούμενος [52]

ξενών (Plato Poll. III 58)· κατάλυμα

(ξένων)· μεγάλων λόγων (Aesch. Prom. 690)

ξενῶνες· οἱ ἀνδρῶνες [ὑπὸ Φρυγῶν

ξενώσεται (Soph. Phil. 303)· ὑποδέξεται [56]

ξέσαι· τεμεῖν, κόψαι. ποιῆσαι. τεκτήνασθαι

ξέσμα· ξόανον

ξέσω· ξύσω

?ξέσαι (cf. Simonid. Anth. Plan. LX 1)· κατεσκευάσαι. ἐργάζου

ξεστήν· ἐξεσμένην· (η 174)

παρὰ δὲ ξεστὴν ἐτάνυσ(σ)ε τράπεζαν

λέγει δὲ καὶ συνθέτως· ἐϋξέστης ἐλάτῃσιν (H 5) [62]

ξεστῇσιν· εὖ ἐξεσμέναις, καλῶς

ξέστριξ κριθή· ἡ ἑξάστιχος. Κνίδιοι

ξηραλοιφεῖν (Aeschin. 19,25 Soph. fr. 451)· τὸ χωρὶς λουτροῦ ἀλείφεσθαι, ἢ ξηροτριβεῖσθαι

ξήριγγοι· ποταμοὶ ἀεὶ ῥέοντες

COD. 7 βλάπτεσθαι 10 κτένια ἃ — ἀφοροῦσιν 11 ἢ ξανθικοῦ Post 15 legebantur 33—38 16 ξεναλόγος, ξένα συλλέγων 19. 20 ξει—? Habet Cyr. Voss. 32 Cf. ζειρεῖν (alii ξειρής, ξηρύον, ξίρις, ξυρίς) Post 33] ἢ ξενοδοχήσας cf. 36 38 ἡγεμών, ξενοδόχος 42 ξενηλαττοῦνται ⟨43 ξενία et ξένια conf.⟩ 48 |οκῶν |οχῶν |υρῶν 51 ὀθεῖος, cf. ὀθνεῖα 53 ἢ μεγάλων λέγων 61 ἐϋξεστησιν 64 Striga, cf. δημητριάς 65 ξηράλειψιν

HES. Ad 6 καὶ ἡ πυ(ρ)ρά (E 500), ἢ πυ(ρ)ροειδής 16 ξενολόγος· ξένους συλλέγων ⟨50⟩ 17 ξενία· κατάλυμα, καταγώγιον ⟨43⟩ 18 ξενίζειν· τὸ (ξένῃ) χρήσασθαι φωνῇ ⟨45⟩ 21 ξεστός· ὁμαλισμένος. ἐξεσμένος 22 ξεστοῖο (Z 244)· ὁμαλισμένου. ἐξεσμένου 23 ξεῖνος (Hom.)· ὁ ἀπὸ ξένης φίλος 24 ξεῖον· φίλος 25 ξείνια (Hom.)· τὰ ξείνια δῶρα, χαριστήρια ξενίας 27 ξενοδόχος· ὁμοίως 29 ξεῖνον (α 120)· ξένον 30 ξεινοσύνης προσκηδεόσ (φ 35)· στις τὴν οἰκειότητα ἐμποιούσης 40 ξενήϊον· φίλον 52 ξεῖνος δ' οὗτος ἐμὸς πατρώϊος (α 417)· καὶ ξενοδοκῶν καὶ ξενοδόχος 56 ξερόν (ε 402)· τὸ ξηρὸν τῆς γῆς. χέρσον 62 ξεστόν (ξ 350)· γλυπτόν. λεῖον. ποιητόν

ξηροκόλλα· σύνθεσίς τις παρὰ τοῖς χρυσουργοῖς

ξηρολουτρεῖν· τὸ αὐτό

ξίμβαι· ῥοιαί. Αἰολεῖς

ξίφ†αι· τὰ ἐν ταῖς ῥυκάναις δρέπανα, ἢ σιδήρια

ξιφήρους· ξίφος ἔχοντος, ξιφηφόρον

ξιφήρεις (Eur. Or. 1272)· ξίφη κατέχοντες

ξιφίας· ἰχθῦς ποιός (Ar. HA. II 9, 4). καὶ Δῆλος ⟨ad Σχυθιάς?⟩. ξίφιος ὁμοίως

ξιφίζειν (Cratin. fr. IV p. 142)· ἀνατείνειν τὴν χεῖρα, καὶ ὀρχεῖσθαι ⟨cf. σκιφίζει⟩

Ξιφίρου λιμήν· Αἰσχύλος Γλαύκῳ Ποτνιεῖ (fr. 39). ὁ πορθμός. ταῦτα γὰρ πάντα τὰ περὶ Ῥήγιον ⟨L. Ρίον⟩ [ad 75]

ξιφισμάτων· ὀρχημάτων

ξιφισμός· σχῆμα ὀρχηστικὸν τῆς λεγομένης ἐμμελείας ὀρχήσεως

ξιφιστής· φορεύς. τελαμών

ξιφιστύς· μαχαιρομαχία, μάχη ἐκ χειρῶν

ξιφοδρέπανον· ἡ λεγομένη ἅρπη, ὅπλον

ξιφομάχαιρα (Theopomp. com. p. 794. 800)· ἡ μεγάλη μάχαιρα

ξιφοθήκη· βελοθήκη

ξίφος· μάχαιρα. ἢ παραζώνιον. ὁμώνυμον φάσγανον. ξιφίδιον. καὶ πόα δέ τις (Theophr. VII 12)

ξιφύδρια· κοχλία

ξόανα (Soph. fr. 218)· ἀγάλματα, εἴδωλα, ζῴδια. κυρίως δὲ τὰ ἐκ ξύλων ἐξεσμένα, ἢ ⟨οὐ?⟩ λίθων

ξοάνων· προθύρων ἐξεσμένων

ξοΐς· μεταλλικὸν σκεῦος, καὶ λιθουργικόν

ξοός· ξυσμός. ὁλκός

ξουθά· οὐ μόνον ξανθά, ἀλλὰ καὶ λευκὰ καὶ πυρ(ρ)ά

Ξουθίδαι (Lycophr. 987)· οἱ Ἴωνες. Ἴων γὰρ Ξούθου

ξουθ(όν)· λεπτόν. ἁπαλόν. ἐλαφρόν. ὑγρόν. ὀν πυρρόν. χλωρόν. ἄργυρος. ξανθόν. πυκνόν. ὀξύ (cf. Chaeremon. fr. 1, 7). τινὲς δὲ ποικίλον, εὐειδές, διαυγές

ξύει· κατασπᾷ. γράφει· ὡς παρ' Ὁμήρῳ. ἔνθεν καὶ ξύσματα τὰ γράμματα

ξυήλη (Xenoph. Anab. IV 7, 16. 8, 25)· ξυάλη. ἔστι δὲ καὶ ξιφίδιον, ὅ τινες δρέπανον λέγουσιν [94]

ξυλεύς· τὰ ξύλα παρέχων δοῦλος

ξυλεύεσθαι. ξυλίζεσθαι

ξυλιζομένην· ξύλα συλλέγουσαν

ξύλινον καρπόν (Plat. Crit. p. 115 B)· τῶν δένδρων

ξυλίτης· ἰχθῦς ποιός [100]

ξυλλεκτόν· συνειλεγμένον. παρεστώς

ξύλον πρῶτον (Ar. Vesp. 90 Ach. 25)· βάθρον τὸ ἐν τῇ προεδρίᾳ καὶ τῷ δικαστηρίῳ

ξυλοφθόρον (Ar. HA. V 26, 2)· ζῷόν τι ἱστορεῖται σκωλήκιον [4]

ξύλοχος· σύνδενδρος τόπος καὶ ξυλώδης. δρυμός, ὕλη. ἢ θηρίου κοίτη

?ξυλοδωνίη· τεκτοσύνη. ναυπήγησις. κωπηλασία. κυβέρνησις

ξυμβαίνοι· συμφωνοῖ ⟨190 et οὐ συμβαίνει⟩

ξυμβῇ· συμπέσῃ ⟨q. v.⟩

ξύμβλητε· συνετύχετε ⟨η 204?⟩

ξύμβληντο· συνήντων (Ω 709), συνέβαλλον (Ξ 27)

ξυμβολιμαίας δίκας (Thuc. I 77)· Ἀττικοὶ τὰς κατὰ σύμβολα ⟨cf. συμβ—⟩

ξύμβολος· μάντις ἡ εὖ συμβάλλειν δυναμένη

ξυμβόλους· τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. ἀνετίθεντο δὲ οὗτοι Δήμητρι. τινὲς δὲ τὰς διὰ τῆς φήμης γινομένας μαντείας, ἅς Φιλόχορός φησι Δήμητρα εὑρεῖν. Σοφοκλῆς Ἀχαιῶν συλλόγῳ (fr. 153)

ξύμμαχοι· σύμμαχοι

ξυμφορά (Thuc. schol. I 127)· συντυχία. καὶ ἐπὶ ἀγαθοῦ τάσσεται, καὶ ἐπὶ κακοῦ

ξυνά (Aesch. Sept. 76)· κοινά

ξυνάγειραν· συνήθροιταν (Υ 21?) [18]

ξυναλ(λ)αχθέντες· κοινωνήσαντες

†ξυναμοργός· δεξαμένη [21]

ξυνάνεσθαι· συνανύεσθαι

......ξυνῆνες· κοινωνοί (Pind. Pyth. III 48)

ξυνάοροι· ἀδελφοί. ἀδελφαί

ξυναρμόσας· συνάψας. συνθήσας

ξυναυλίαν (Ar. Eqq. 9)· πᾶν πρᾶγμα δισσόν. τὴν ὑπὸ δύο ἐπιτελουμένην αὔλησιν· ὅταν γὰρ δύο αὐλῶσι ξυναυλία λέγεται

COD. Post 65] 68 ξηραλουτρεῖν 69 ξίμβραι cf. ῥίμβαι 73 ξιφιός 75 ὠρείων 76] post 78 77 ξιφηστής 83 περιζώνιον 84 ξιφίδρια; cf. σκιφύδρια 90 Ξουθειδαιοί, 101 παρεστ.'ς 2 τῶ ἐν — |δρεία 3 |ορος 7 ξύμβενοι, σύμφωνοι 10 ξύμβλητον 11 συμβόλαια 12 ἢ 13 ὡς Φ. — Σοφοκλῆ — σύλλογον

HES. Ad 75 Ὠρίων (Eur. Ion. 1152) 94 ξύλαχος· σύνδενδρος τόπος 100 ξυλιβόρος· ξυλοφάγος 4 ξυλόχοιο (Λ 415)· ὑλώδους τόπου 18 ξυναίρεται· συνάπτεται ⟨ξυνεί—⟩ 21 ξυναθρόν (Eur. Or. 654)· τῶν συμβιοῦσαν γυναῖκα, γαμετήν

ξυνάωρ· εὐναία, δάμαρ, γυνή, ἄλοχος ⟨onomast.?⟩ [28]
ξυνέηκε (Α 8)· συνέβαλεν
ξυνεμπόρους· κοινωνούς
†ξυνερεῖται· συνέπεται ⟨118⟩
ξυνερέται· συνερέται
(ξυνέται)· συνέται. συμπολῖται [33—37]
ξύνεσι(ν)· συνάφεσι(ν). συμβ(ο)λήν (κ 515)
ξύνεσις (κ 515)· ἡ εἰς τὸ αὐτὸ συμφωνία
ξυνέχεται· συμφέρεται
ξυνεχῶς· συνεχῶς, διαπαντός [42]
ξύνηβος· συμπότης. συνῆλιξ [44]
ξυνῆκα· συνῆκα. ἔγνων
ξυνήλυσις· σύνοδος
ξυνήονες (Hesiod. Th. 601)· κοινωνοί
ξυνήορον· κοινωνόν
ξυνηρετήσεις· συνήσεις. συζυγήσεις
ξύνθακος (Eur. Or. 1637)· συγκάθεδρος
ξυνθήματα· σημεῖα
Ξυνιάς· ὄνομα λίμνης
ξυνιέναι (Eur. fr. 642)· νοῆσαι. συνιέναι
ξύνιεν· ἤκουεν
ξυνιέντες· συνιέντες
ξυνίημι· πέπεισμαι [57—59]
ξυνίστορας· συμπράκτορας
†ξύνιστρον· νόμισμα [62]
ξυννενοφυῖαν (Aristoph. p. 1110)· σκυθρωπήν
ξύνοδος· σύνοδος. σύμπτωσις
ξυνοί· κοινοί. καὶ ὅροι
ξυνομαρτεῖ· ἀκολουθεῖ. συνομαρτεῖ [67]
ξυνουσία (e. c. Aristoph. p. 1073)· συνήθεια. συνουσία
ξυνοχή· συνοχή [70]
ξυνπονῆσαι· συνάρασθαι. ἀντιλαβέσθαι

ξυνστένομαι· συνσπῶμαι. ξύομαι [73. 74]
ξυντάσσεται· συνσκευάζεται
ξυντυχεῖν· συντυχεῖν
ξυνῳδά (Ar. Av. 635)· συνῳδά
ξυνών· συνών
ξυνωρίδα· ζυγήν ⟨rec.⟩ .... ἐπὶ τῶν ἡμιόνων. Ὀρεύς γὰρ ὁ ἡμίονος
ξυνωρίς· ἅρμα ... ἵππων ἐζευγμένον
ξύομαι· δέφομαι
ξυόεσσαν· εὖ ἐξεσμένην
Ξυπετέα· δῆμος τῆς Κεκροπηΐδος φυλῆς
ξυρεῖ· ἀκονᾷ [85]
ξυρμεύεσθαι· ἀδιακρίτως λαλεῖν. καὶ καυχᾶσθαι. Ἀττικοί
ξυρόν· τομόν. ἰσχνόν. ὀξύ
ξῦσαι· χαράξαι, ἐπιγράψαι [89. 90]
ξῦσμα· κνηφή. λέπρα
ξυσμός (Hippocr.)· κνησμός
ξυστάδες· αἱ πυκναὶ ἄμπελοι. ἄμεινον δὲ τὰς εἰκῆ καὶ μὴ κατὰ στοῖχον πεφυτευμένας ἀκούειν ⟨cf. ὑστάς⟩
ξυστίδα (Aristoph. p. 1079 al.)· τὸ λεπτὸν ὕφασμα. ἢ εἶδος ἐνδύματος
ξυστίδες (Theopomp. ap. Longin. XLIII 2)· ποδήρη ἐνδύματα. ἢ χλανίδας κωμικάς
ξυστίς· τραγικὸν ἔνδυμα. τινὲς δὲ χιτῶνα ποδήρη γυναικεῖον. ἄλλοι τὸ λεπτόν, παρὰ τὸ ξύεσθαι [97]
ξυστὸν, (Herod. II 71) ἀκόντιον, δόρυ κατεσκευασμένον. καὶ τόπος, ἔνθα οἱ ἀθληταὶ γυμνάζονται
ξυστός· ὁμοίως, ἀνειμένος ἀθληταῖς τόπος
ξυστρολήκυθον· κάδον καὶ βησία ἐλαίου λουτρικά [201—3]
ξώστρα (Archipp. fr. VI p. 728)· ψηκτρίς, ψήκτρια

COD. 27 εὐέα 28 ξυναωρῶν 32 συνεταί, cf. ἔται 43 ξυνήβιος 50 cf. συνθάκων 52 ξυνία . 57 συνῆσαν 60 cf. συνίστωρ 71 ξυμπονῆσαι — ἀντὶ τοῦ λ| 72 Sic. 77 ξύνοδα· σύνοδα 82 εὐεξ| 96 ἀποδήρη 99 ἀθλητής 200 κάδη. καὶ βίσσα 4 ψηκτρία

HES. 28 ξυναόρων (Eur. Or. 1136)· ἀνδρῶν (cf. ὀλολυγμός) 33 ξυνάοροι· ἀδελφοί 34 ξυνέβλητο (Ξ 39)· συνέβλητο. συέτυχεν 35 ξυνελαύνεις (Φ 394)· συμβαλεῖς 36 ξύνες· σύνες. ἄκουσον (Β 26) 37 ξυνέ(σε)σθαι (η 270)· συνεῖναι. συμβαλεῖν 42 ξυνή (Ο 193)· κοινή 44 ξυνήϊα (Α 124)· κοινὰ καὶ ἀδιαίρετα χρήματα 57 ξύνιον (Λ 273)· ἤκουον. συνῆκαν 58 ξυνιόντας (Φ 390)· συμπορευομένους 59 ξύνισαν (Ξ 393)· συνήρχοντο 62 ξυνοθόπος· ξενοδόχος 67 ξυνόν (Π 262)· κοινόν 70 ξυνοχῆσι (Ψ 330)· τῷ συνέχοντι τόπῳ τοῦ καμπτῆρος, καὶ στενοῦντι ἀμφοτέρων τοὺς δρόμους ⟨cf. ἐν ξυνοχῇσιν⟩ 73 ξυνθήματος· συνθήματος. ἔστι δὲ σημεῖον, ἢ πρόσφθεγμα, διδόμενον ἐπὶ γνωρίσμα(τι) τῶν οἰκείων ἐν πολέμῳ, ἢ ἑτέρᾳ τινὶ ἐπιβουλῇ (schol. Eur. Phoen. 1147) 74 ξυνέχοιτο· συνέχοιτο. συνείη 85 ξύει· τρίβει 89 ξυνεχῶς· συνεχῶς, διαπαντός 90 ξύμβεναι· σύμφωνοι ⟨107⟩ 97 ξυστοῖς (Λ 564)· ἀκοντίοις 201 ξυστῷ (Δ 469)· τῷ δόρατι 2 ’ξῶθεν (Eur. El. 74)· ἔξωθεν 3 Ξώλων· ἔθνος βαρβάρων ⟨cf. Ὠξώλων⟩

Ο

Ο· ἄρθρον προτακτικὸν ἀρσενικὸν ἑνικόν. καὶ ἀντὶ ἀρσενικοῦ ὑποτακτικοῦ πτώσεως ὀρθῆς τοῦ ὅς. καὶ ὑποτακτικὸν ἄρθρον οὐδετέρου ὀνόματος. καὶ ἀντὶ ἀναφορικοῦ τοῦ οὗτος (Α 9). καὶ ἀντὶ τοῦ διό (δ 206). καὶ ἀντὶ τοῦ ὅτι (Α 120)

ὄα (Plat. Conv. p. 190 D)· δένδρον κάρπιμον· καὶ ὁ καρπὸς αὐτοῦ οὕτω καλεῖται. Ὄα καὶ μηλωτή (ὄϊς δὲ τὸ πρόβατον) καὶ ἡ σὺν τοῖς ἐρίοις δορά. ἡ δὲ ἐν τοῖς ἱματίοις ᾤα

ὁ ἀγελαῖος· ὁ ἐν ἀγέλῃ διάγων [4]

Ὀαεῖς· δῆμος τῆς Πανδιονίδος φυλῆς [6. 7]

ὄαρας· γάμους. οἱ δὲ γυναῖκας

ὀαρίζειν· ἄνδρας καὶ γυναῖκας ὁμιλεῖν (Χ 128)·

παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισι

ὀαρίζουσιν· εἰρηνεύουσιν

ὀαρισμοί· διάλογοι. ἡ ἀνδρὸς καὶ γυναικὸς ὁμιλίαι (Callim. fr. CXVIII)· ὄαροι γὰρ αἱ γυναῖκες [12]

ὀαριστύν (Ν 291)· μάχην

ὀαριστύς (Ξ 216 Ρ 228)· ὁμιλία. ἡ παραλογιστικὴ διήγησις. ἡ ἀδολεσχία [15]

ὄαροι· αἱ γυναῖκες, ἀπὸ τοῦ συνηρμόσθαι· ὀάρων ἕνεκα σφετεράων (Ι 327)

μῦθοι, λόγοι. βουλεύματα. τινὲς δὲ θιάσους. καὶ παιδιὰν περὶ τὰ ἀφροδίσια

ὁ Βάκχιος (Eur. Cyclop. 521)· ὁ Διόνυσος [18]

ὀβελίσκοι· ὀβελοί [20]

ὀβολοί· [ad 21] καὶ τόκοι. καὶ εἴδη νομισμάτων. καὶ ἐν ἄστει δικαστικοὶ μισθοί

ὀβολοστάτης (Antiphan. fr. I 4 p. 92)· ὀβολοστάτας τοὺς δανειστὰς ἔλεγον. ἐδίδουν δὲ σταθμῷ οἱ δανείζοντες· διὼ βολοστάται (Ar. Nubb. 1155) προσηγορεύθησαν. τινὲς δὲ τὸ δανείζειν ἱστάνειν (q. v.) φασίν

ὀβολοστατεῖν· δανείζειν

ὀβρικάλοις (Aesch. Ag. 147 fr. 47)· τοῖς τῶν θηρίων ἐκγόνοις

ὀβριμοεργός (Ε 403)· ἰσχυρὰ ἢ μεγάλα ἐργαζόμενος ἔργα, μεγαλοπράγμων

ὄβριμον· βαρύ [ad 26]

ὀβριμοπάτρη (Ε 747)· ἰσχυρὸν πατέρα ἔχουσα

ὄβριμος· [ad 28] γενναῖος. [ad 28] [29. 30]

ὀγάστωρ· ὁμογάστωρ (Tzetz. Lycoph. 452)

Ὄγγα Ἀθηνᾶ (Aesch. Sept. 487)· ἐν Θήβαις ἐπιχώριος, ἐπώνυμον ἔχουσα .....

ὀγδόα· ἡμιχοίνικον (cf. ἡμιόγδοον)

ὀγδόδιον· θυσία παρὰ Ἀθηναίοις τελουμένη Θησεῖ [35]

Ὄγκας Ἀθηνᾶς (Aesch. Sept. 487)· τὰς Ὠγυγίας πύλας λέγει [37]

ὀγκηθμός· κραυγὴ ὄνου [39]

† ὀγκίαι· θημῶνες. χώματα

ὀγκίον (φ 61)· ἀγγεῖον, ἐν ᾧ αἱ ἀκίδες. ἢ πλέγμα κιστοειδές, ἐν ᾧ ἀπέκειντο οἱ π(ε)λέκε(ι)ς. εἴρηται δὲ ἀπὸ τοῦ ὄγκου. (σιδηροθήκη) [42]

ὀγκολογῆσαι· γογγύσαι

† ὀγκοπελεθίαν· πέλεθον οὖσαν

ὄγκος· φύσημα. ὑπερηφανία. ἔπαρσις. μέγεθος

ὄγκους· τοὺς πώγωνας τῶν ἀκίδων

(......·) ἰσχυρῶς γενναίως

ὀγκοῦται· [ad 47]

ὀγκύλλεσθαι (cf. Ar. Pac. 265)· ὑφαυχενεῖν. καὶ ἐπαίρεσθαι. καὶ ὄγκον περιβεβλῆσθαι

ὀγκύλον· σεμνόν. γαῦρον

ὄγμος (Σ 546 Δ 68)· ἡ ἐφεξῆς φυτεία. μεταφορικῶς δὲ καί, ὅταν πορεύωνται ἐφ' ἕνα τεταγμένοι κατὰ στίχον, ὄγμον λέγουσιν.

COD. Ο 2 ἱματίοις ὄα 3 ἀγελέος 5 ὀάσεις 13 ὀαρίστην 27 |τηρ — ἔχων ⟨—τωρ?⟩ 32 Ἀθήναις — ἐπιχώριον ⟨cf. Γυγᾶ⟩ 34 θησσεῖ 36 ὀγυγίας ὀγκᾶται, βοᾷ, πύλας λέγει Post 40] σιδηροθήκη 42 πόγωνες 50 φυγία ⟨cf. ὀχμοί⟩

HES. Ο 4 † ὀάννες· ἔνεδραι ⟨ΘΡΑΝΥΕϹ: ἕδραι?⟩ 6 ὄαοι· μόνοι ⟨οἶοι? an ὀά· οἴμοι?⟩ 7 ὀάριζε (Ζ 516)· ὁμίλει 12 ὀαριστής (τ 179)· ὁμιλητής. συσχολαστής ⟨cf. ἀριστεύς, ἀόρκτους⟩ 15 ὀάρων (Ι 327)· γυναικῶν 18 ὀβελίας (Arist. fr. X p. 989)· ἄρτος ὁ ἐπὶ ὀβελίσκου ὀπτώμενος ⟨Moer. 287⟩ 20 ὀβελοῖς (μ 395)· ὀβελίσκοις Ad 21 νουμία (gl. bibl.) Ad 26 ἰσχυρόν (Ε 790) Ad 28 ἰσχυρός (Ε 845) δυνατός (Ξ 44). καὶ ὀβριμόπατρις λέγεται ὁ ἰσχυρὸς πατήρ 29 ὀβρισαύχην (Greg. Naz. C. XIII 101)· ὁ τὴν αὐχένα βαρῶν 30 ὁ γάρ (Α 9)· οὗτός γε 35 ὅ γε (Α 93)· οὗτός γε 37 ὀγκᾶται· βοᾷ 39 ὄγκη· γωνία. μέγεθος ⟨ὄγκος⟩ 42 ὄγκοι (Δ 214)· αἱ ἐξοχαί, καὶ γωνίαι τῶν ἀκίδων. καὶ πώγωνες τοξικῶν βελῶν Ad 47 φυσιοῦται ⟨rec.⟩

ὁ δὲ τῶν θεριζόντων στίχος ὀγμεύειν (Soph. Phil. 163) λέγεται [51. 52]

ὄγχναι (Call. Cer. 28)· αἱ ἄπιοι

†ὄγχνια· ἄπιον [55]

†ὄγυρον· ἱμάτιον. οἱ δὲ μάταιον

ὄδαγμα· βρῶμα, ἀντὶ τοῦ εἰς τὴν ὁδόν. ἐνεκάθητο γάρ φησι ἐν τοῖς ὁδοῖς

ὀδαγός· ὁδηγός

ὄδαια· φορτία. ἢ ὤνια. οἱ δὲ †ὀδάβα

ὀδαῖον· πράσιμον. καὶ εἰς ἐκδημίαν ἐφόδιον 73⟩

ὀδαίων (θ 163)· ὠνίων. ὀδῆσαι γὰρ τὸ ὠνήσασθαι

ὀδακτάσαι· δακεῖν τὴν καρδίαν. ἢ ἀκύρως τὸ τοὺς ὀφθαλμοὺς παρορύξαι (non Call. Del. 322)

ὀδάξ (B 418 al.)· τοῖς ὀδοῦσι ἐμπεφυκότες ἐνδακόντες. ὅμοιον δὲ τὸ ἀπρίξ

ὀδάξει· τοῖς ὀδοῦσι δάκνει

ὀδαξησμός (Hippocr. III p. 725)· τρισμὸς ὀδόντων. ὀδηγμός. κνησμός

†ὀδαρός· ὀκνηρός

ὀδασμένος· ὠνεῖσθαι ἐπειγόμενος

ὀδάχα· καταπύγων. Ταραντῖνοι [69. 70]

[71] οἱ αὐτοί

ὀδεῖν· πωλεῖν. (ὁ δεῖνα Sophro fr. 24) [73]

ὄδερος· γαστήρ ⟨uterus⟩ [75]

ὀδεύει (Call. Del. 18)· περιπατεῖ. ἀπέρχεται

† ὁ δή· εἰς ⟨ὅς?⟩ δή, τοῦτο δή. ἢ στρώματα ⟨cf. μόδα⟩

ὀδήσεις· ὠνήσεις

ὀδῆσαι (Eur. Cycl. 96 fr. 113)· πρίασθαι. ἀποδόσθαι. ὠνήσασθαι

ὄδησον (Eur. Cycl. 131)· πώλησον

ὀδηθείης (Eur. Cycl. 12)· ληφθείης. πραθείης

Ὀδία· ἡ Κόρη θεός [83. 84]

ὁ δίοπος· κυβερνήτης [86. 87]

ὅδιος· οἰωνός (Aesch. Ag. 157. 104) αἴσιος. καὶ ἐπίθετον Ἑρμοῦ ⟨cf. ἐνόδιος⟩

ὀδμή (e. c. δ 442)· ὀσμή. ὄσφρησις. ἀποφορά

ὀδμηνός· πολύοσμος. εὔοσμος

ὀδοιδοκεῖ· ὁδοσκοπεῖ

ὀδοιδόκος (Soph. OT.)· κλώψ. ἐνεδρευτής. κακοῦργος ἐν ὁδοῖς, λῃστής ⟨103⟩ [93]

(ὀδοιπορεῖ [Soph. fr. 785]· ὁδεύει)

ὀδολκαί· ὀβολοί. Κρῆτες

ὀδόλυνθοι· ἐρέβινθοι

ὀδοντίδας· πολυφάγος [97]

ὀδοντισμός· εἶδος αὐλήσεως· ὅτε ἡ γλῶττα προσβάλλεται πρὸς τὸν ὀδόντα [99. 100]

†ὀδούρης· ὁ τῆς ὁδοῦ ἄρχων, ἢ κατάρχων

ὀδουρός· ἐνεδρευτὴς καθ' ὁδόν. ὁδοῦ κατάρχων. προοδοιπόρος. κακοῦργος

ὀδοῦται (Herod. IV 139)· καθ' ὁδὸν πορεύεται [104]

ὀδυνᾷ (Eur. Hipp. 247)· λυπεῖ. καταπονεῖ

ὀδύνη· λύπη. πόνος. ταπείνωσις παρὰ ἀλλοτρίων. ἢ ἀλγηδών [7]

ὀδυνηρόν (Mimnerm. fr. I 5)· λυπηρόν. ἐπίπονον

ὀδυνήφατα (E 401)· τὴν ὀδύνην παύοντα, ἀφανίζοντα τὰς ὀδύνας, ἢ παυσίπονα [10]

ὀδυρμός· κλαυθμός [12]

ὀδυσθῆναι· ὀδύσασθαι. χολωθῆναι, θυμωθῆναι, ὀργισθῆναι [14. 15]

ὄδωδεν (ε 60 ι 210)· ὄζει, πονηρὰν καὶ βαρυτάτην ἀποφορὰν πνεῖ, ἢ εὐῶδές ἐστιν

ὀδωδή· ὀσμή

ὀδωδός· ὄζον [19. 20]

Ὀδωνίς· ἡ Θάσος τὸ πάλαι ⟨Ὠδονίς⟩

COD. 51 ὀγμοὺς — ὑγμοὺς ⟨cf. ἀν' ὄγμους, μετ' ὄγμους⟩ 56 ὄγυρὸν Cyrill. 58 post 62] ὀδανός 59 post 56] ὀδαφορτία, ἰωνία ⟨cf. ὠιδίον⟩ 61 ὀδακτάσσαι ⟨cf. ὠδάκταξον⟩ 65 ὀδαξισμός 66 cf. ἀδάϊον 71 ὁ δὲ ἢ αὐτοί 77 ὁδή 83 ὀδιμάλεος ⟨ὁ δει—⟩ ⟨87 Leg. φορτίον — ὠνητός⟩ 90 ὄδμηνος 92 ἔνοδος 102 ὀδοῦρος 5 καταπίνει 18 ὄζων

HES. 51 ὄγμους (Σ 546)· τοὺς αὔλακας· διὰ τὸ ὄγμους εἶναι (δοκεῖν) 52 Ὀγχιστός (B 506)· πόλις Βοιωτίας 55 ὀγύγια (H 6)· μέλη 69 ὁ δέ (Α 47)· οὗτος δέ. [αὐτὸς ἐγώ] 70 ὁ δέγμην (I 513)· προσεδόκων 71 ὅδ' ἐγώ (π 205)· αὐτὸς ἐγώ 73 ὀδέον· πράσιμον. ἢ εἰς ἐκδημίαν ἐφόδιον ⟨60⟩ 75 ὅ δέ τοι (λ 147)· οὗτός σοι 83 ὁ δι μαλέος· (ὁ) εὐλαβής 84 ὁδοιπόρος (Ω 375)· ὁδίτης 86 ὀδίνουσα ⟨ὠδίνουσα⟩· ἀποφορά. ὀσμή ⟨ad ὀδμά⟩ 87 ὀδμαῖος· ὀλίγος ⟨ad ὀλίος⟩. ἀτερπής. πονηρός ⟨ad ἀδαῖος⟩. φορτηγός ⟨ad ὑδαῖον⟩. πράσιμος. ὠνήτης ⟨ad ὀδαῖος⟩ 93 ὁδοιπόριον (ο 505)· ἡ ἐπὶ τὸ ⟨τῷ⟩ συνοδεῦσαι ἢ συμπλεῦσαι εὐωχία 97 ὁδὸν εἰρήνης (Rom. III 17)· τὴν κατὰ θεὸν πολιτείαν 99 ὁδουρεῖς· (προπορεύῃ) ⟨ex attic.⟩ 100 (ὁδουροὺς Eur. fr. 262)· τοὺς ἐν ταῖς ὁδοῖς κακουργοῦντας ⟨ex atticistis⟩ 4 ὁδοιδοκῶς· ἐν ταῖς ὁδοῖς πανοῦργος, κλώψ ⟨92⟩ 7 ὀδυνάων (Δ 117)· ὁμοίως· ἢ θλίψεων 10 ὁδοιπορεῖ· ὁδεύει 12 ὀδύσασθαι· χολωθῆναι 14 ὀδυσαμένοιο (Θ 37. 468)· ὀργισθέντος 15 ὀδυσσάμενος (τ 407)· ὀργισθείς 19 ὀδοδυσταί (ε 423)· ὀργισταί ⟨v. ὠδυσται⟩ 20 ὁδῷ ἔπι (Z 15)· παρ' ὁδῷ. ἐπὶ ὁδῷ

ὀδών (Herod. VI 107)· ὀδούς [28]
ὁ δ' ὠμάρτησε· συνηκολούθησεν οὗτος
ὀέα· μηλωτή
†ὄες· κώδια
†ὀέσχαι· μηλωταί. βαῖται, ἤγουν δερματίναι [28]
ὀζεία· θεραπεία
ὀζήκεις· οἱ σφριγῶντες
ὄζος· κλάδος. καὶ ὁ ἀπὸ τοῦ στελέχου(ς) σχιζόμενος ἀκρεμών·
ὄζῳ ἐπ' ἀκροτάτῳ (B 312) [32]
ὄζος Ἄρηος (B 540. 704)· ὁ κλάδος τοῦ πολέμου. ὁ πολεμικός [34—37]
ὄζυγες· ὁμόζυγες
Ὀη· δένδρον. καὶ δῆμος τῆς Ἀττικῆς [40. 41]
ὄθεσαν· ἐπεστράφησαν
ὄθεσθαι (cf. Call. fr. CCCXVI)· φροντίζειν. ἐντρέπεσθαι. †μέμφεσθαι. δεδοικέναι [44]
†ὀθέτη· ἅμαξα ἡμιονική ⟨151⟩
ὀθεύει· ἄγει ⟨161⟩. φροντίζει
ὀθέων· φροντίζων
ὄθη· φροντίς. ὥρα. φόβος. λόγος
ὁ θηλυδρίας· ὁ γυναικεῖος [50]
ὄθιζα (Thessali?)· ἅμαξα ἡμιονική ⟨145⟩
ὄθματα· ὄμματα. Αἰολεῖς
ὀθνεῖα· μάταια. ἀλλότρια, ἀλλοεθνῆ, ξένα, ἀλλογενῆ
†Ὀθοῖ· ὄνομα κύριον [155]
ὀθόναι· τὰ περιβόλαια πάντα· παρὰ τὸ ἕσασθαι. τινὲς δὲ ζώνας ἀποδεδώκασιν
ὀθόνη· σινδών. ζώνη. τελαμών. γυναικεῖον ὀθόνιον λεπτόν. καὶ πᾶν τὸ ἰσχνόν, κἂν μὴ λινοῦν ᾖ [58]
ὀθόνια (Ar. Ach. 1176)· λινᾶ ἱμάτια [60]
ὀθρεῖν· ἄγειν ⟨146⟩
ὄθροον· ὁμόφωνον, σύμφωνον

ὀθρυόεν· τραχύ. ὑλῶδες. δασύ. κρημνῶδες
ὄθρυν· Κρῆτες τὸ ὄρος
Ὀθρωνός (Lycoph. 1027)· ἡ πρὸς Κερκύρᾳ νῆσος [66—71]
οἷα· ὥσπερ, καθάπερ
οἷα δή (Herod. II 28)· ἅτε δή, ὥσπερ δή [ad 73]
οἶαι· διφθέραι, μηλωταί ⟨125⟩
ὀπταλέον· ὀπτόν

ὀπτ(αν)εῖον (Com. V p. 707)· μαγειρεῖον [63. 64]

ὀπτήρ (Soph. Ai. 29)· ὁρατήρ. ἐφόπτης

ὀπτῆρες (Aesch. Suppl. 182)· κατάσκοποι. καὶ τὰ ὅμοια

ὀπτήρια (Callim. D. 74)· τὰ ἐν τοῖς ἀνακαλυπτηρίοις διδόμενα δῶρα τῇ νύμφῃ

ὀπτίλοι· ὀφθαλμοί

ὀπτιλίασις· ὀφθαλμίασις

ὀπτή· ὀπτική. Ὀπτικὸν καὶ ὀπτὸν ταὐτὰ σημαίνει· ὁρατά, φανερά, προορατικά

ὀπτός· φαινόμενος. ἢ ἑψημένος πυρί

ὀπυίειν (Hesiod. Th. 819)· γαμεῖν [73]

ὀπυιομέναι· γεγαμημέναι

ὀπυιομένη (Θ 204)· γεγαμένη [76]

ὀπυ(ι)όλαι· γεγαμηκότες [78]

ε

COD. 6 ὄπισθεν 10 πσκοπ῀ 13 ὀπίπερα 15 ἄλλα — οὐραί 16 τόποι 17 πρὸς τὰ 22 |τωνος 26 ὄπισσος 34 οἱ π| 49 ὁποίποτε 50 πυτίων 68 ὀπτοιαλοί ὀπτοιαλίασις 70 ὀπτ῀ 78 ὄπωτα — ἴδον

HES. 7 ὄπιθεν δὲ δράκων (Ζ 181)· τὴν δ' οὐρὰν δράκων 8 ὄπιν· περιστροφή (φ 28). φωνή (Δ 604) 15 ὀπίσθια 22 ὀπισθότονος (Deuter. XXXII 24)· ἐναντίον κύρτωμα 23 ὀπισθοφανές (Genes. IX 23)· εἰς τοὐπίσω προσέχων 25 ὀπίσεται· ὄψεται 29 ὀπίσσωτρον· ἡ ἀψὶς τοῦ τροχοῦ ⟨ἐπί—⟩ 30 ὀπισθότατον (Greg. Naz. C. XIV 55 p. 83)· τελευταῖον, ἔσχατον 34 ὁπλὰς (Psalm. LXVIII 31) 35 ὅπλεσθαι (Τ 172)· ὁπλίζεσθαι 39 ὁπλίσαι (Ω 190)· παρασκευά[ζε]σ[θ]αι 41 ὅπλισμα· βῆμα ⟨τὸ πλίγμα⟩. καὶ τὸ τοῦ πλοίου σχοινίον 42 ὁπλοτεράων (Ξ 267)· νεωτέρων 44 Ὀπόεις (Β 531)· πόλις Λοκρίδος 46 ὀποιϊομένη (Θ 304)· μισγομένη 47 ὅποι· ὅπου 48 ὀρέγει· παρέχει Ad 50 πυτία ⟨Moeris⟩ 51 ὁπόσον (Ω 792)· ὁποῖον Ad 53 ἡνίκα (Π 62) 55 ὅππη (Ν 784)· ὅπου 56 ὁπότευ· ὅτι μέν, ὅτι δέ 57 ὁ(π)πόθι (Ι 577)· ὅπου 58 ὁππότεροι (Γ 299)· ὁποῖοι 59 ὁππότερος (Γ 71)· ὅστις 63 ὀπτανόμενος (Act. Ap. I 3)· ὁρώμενος. ἐμφανιζόμενος 64 ὀπτασία (Luc. I 22)· θεωρία, φαντασία, θέαμα 73 ὀπυίει (β 336)· γαμεῖ 76 ὀπυιέμεναι (Ξ 268)· γαμῆσαι 78 ὄπωπα· ἑώρακα (Β 799), εἶδον (Ζ 124), ἐθεασάμην (Ω 392)

ὀπωπαῖς· ὄψεσιν, ὀφθαλμοῖς [80]

ὀπώρα· τὸ θέρος. καὶ τὸ μετόπωρον. κυρίως δὲ ἡ σταφυλή. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀκροδρύων [82]

ὀπωρινόν· θερινόν

ὀπωρινὸν δέος· τὰ ἐν ταῖς ὀπώραις φόβητρα, ἢ κεράμβηλα [85. 86]

ὀπωρῶνας (Demosth. 314, 13)· τοὺς εἰς πρᾶσιν ὠνουμένους [88]

ὅπως· ἵνα [ad 89] [90]

†ὀπωφᾶται· πέπρηται, οἰδεῖ

ὁπωσοῦν· ὁπωσδήποτε. οἱῳδήποτε τρόπῳ [93—1100]

ὅραμα (Dem. 1460, 26)· θέαμα, ὀπτασία, ὅρασις. εἶδος. φαντασία, θέα [2—5]

ὀργᾷ· ἐπιτεταμένως ἐπιθυμεῖ. δηλοῖ δὲ καὶ τὸ ἀκμάζειν: μανίαι. θυμοί. ἐπιθυμίαι. καὶ ἦθος ⟨ὀργαί⟩

ὀργάδα (Demosth. 175, 15)· ὄρειον. ἡ γαλακτώδη· παρὰ τὸν ὀρόν

†ὀργάδ' Ἀθηνᾶν· ὀργᾶν λέγουσι τὸ ἐπί τι παρασκευάζεσθαι καὶ ὁρμᾶν

ὀργάδες (Eur. Rhes. 282)· γεγεωργημένοι τόποι

Ὀργάνη· ἡ Ἀθηνᾶ, ἣν καὶ Ἐργάνην ἀπὸ τῶν ἔργων λέγουσιν

ὄργανον· τὸ εἰργασμένον. καὶ ἐργαλεῖον

ὀργάς· λοχμῶδες καὶ ὀρει(νὸν) χωρίον, καὶ ἀνέργαστον. καὶ πᾶν τὸ ὀργιζόμενον, ἢ ἐντρεπόμενον. ἢ ἐπιθυμοῦν. ἢ ἀκμάζον

ὀργάσαι (Soph. fr. 714)· ἑτοιμάσαι. καὶ τὸν πηλὸν ὀργάσαι φασίν, ὅ ἐστιν ἑτοιμάσαι, φυρᾶσαι, βρέξαι, ἀναδεῦσαι ⟨cf. ὠργάσαι⟩

ὀργάσας (Herod. IV 64)· μαλάξας

ὀργέων (Aesch. fr. 140 an Lysias Harp. 139, 8?)· ἱερῶν, ἢ ἱερέ

ὀργεῶναι· ἱέρειαι

ὀργεῶνες (Antimach. fr. LVII)· μύσται, ἱεροφάνται, ἱερεῖς

ὀργή· τρόπος. μανία. θυμός

ὀργητύς· ὀργή [ad 19]

ὄργια· τὰ ἱερά. οἱ δὲ τὰ μυστήρια

ὀργιάζειν (Eur. Bacch. 415)· τελεῖν Διονύσῳ

ὀργιάζουσι· τελοῦσιν

ὀργιάσθης ⟨ὠργ—⟩· ἐμυήθης. ἐχόρευσας ὁσίως

ὀργίλος· θυμώδης. μανιώδης

ὀργίοις· μυστηρίοις

ὀργυιά· ἡ τῶν ἀμφοτέρων χειρῶν ἔκτασις. καὶ τὸ μέτρον, ἀπὸ τοῦ τὰ γυῖα μετρεῖν. καὶ πήχεις τρεῖς

ὀργῶν· ἐπιθυμῶν, ὀρεκτικῶς ἔχων

ὀργῶσαν· ἐπιθυμοῦσαν [29]

ὄρδικον· τὸν χιτωνίσκον. Πάριοι

ὀρδ.μα· ἡ τολύπη τῶν ἐρίων

ὀρέγει· παρέχει

ὀρέγεται· ἐπιθυμεῖ

ὄρεγμα (Aesch. Cho. 799)· βῆμα. ὅρμημα. ἅλμα [35—37]

(ὀρειλεχέες [Empedocl. 227]· ὀρεσίκοιτοι) 1209

ὀρείοις κοσί (Trag.)· κώπαις· ἐπεὶ ἡ ἐλάτη ὄρειος

ὀρειοκόμος· ὁ τὰς ἡμιόνους θεραπεύων

ὄρειον (Com. fr. CCCXC)· ἱμάτιον ἄγναφον

ὀρείονες· ἄνδρες (non Apoll. Rh. II 801)

ὀρεῖς· ἡμίονοι [43]

ὀρείτορες· ἄγριοι (κ 212?)

ὀρειχάλκων (Call. LM. 19)· τῶν εἰκῇ διαδεδομένων εἶναι τοὔνομα. οἱ δὲ πλείους ὑπάρχειν αὐτόν. ἔστι δὲ καὶ ὕλη ὁμοία χαλκῷ

COD. 84 καὶ ῥέμβοια (κρεμάμενα Cyrill.) 87 ὀπωρίονας ⟨v. ὡραιοπώλους⟩ ⟨96 cf. ἔορες⟩ 1107 ὄρον 12 ὄρει — ἐπιθυμῶν ἢ ἀκμάζων 17 ὀργέοντες 19 ὀργηγύς 23 ἐχώ-μ-ρευσας θείως 29 H. e. ὀργή 39 ἡμιόνας 41 cf. ῥέωνος et Plut. T. II p. 406 EF 45 διαδεδονημένον — αὐτῶν

HES. 80 ὀπωπή (Hom.)· πρόσοψις. ἐντροπή 82 ὀπώρῃ (μ 76)· τῷ φθινοπώρῳ 85 ὀπωρινός (Φ 346)· ἐν ἀρχῇ τῆς ὀπώρας πνέων 86 ὀπωρινῷ (Ε 5 Π 385)· τὸ κατὰ τὸν καιρὸν τῆς ὀπώρας 88 ὀπωροφυλάκιον (Ps. LXXVIII 2) δὲ ἡ σκηνὴ ἢ καλύβη τοῦ φυλάσσοντος Ad 89 ὅπως. παῖς. ὀφθαλμός 90 ὅπως, τὴν πρόσωψιν 93 ὅρια· τὰ νεώρια. ἔνιοι ἀποθήκας. καὶ Ῥωμαῖοι ὅρεα καλοῦσιν (horrea) 94 ὀράδα· οἰμὸς τὴν ὄρειον· οἱ δὲ τὴν γαλακτώδη· παρὰ τὸν ὄρον ⟨1107⟩ 95 ὅραε· ἔγειρε. ἐλθέ ⟨1175. 1329⟩ 96 ὅραες· ἀναγκαῖοι, προσήκοντες ⟨L. ὄαρες⟩ 97 ὀράδες· ὑλώδεις τόποι ⟨ὀργάδες⟩ 98 ὀράγδαιναν· ὁρμητικήν ⟨ῥαγδαίαν⟩ 99 ὀράζειν ⟨ὀργ—⟩· δεύειν. μαλάσσειν 1100 ὁρᾷ· βλέπω. ὁρᾷ 2 ὁρᾷ· βλέπει 3 ὁρᾶσθαι (Γ 306)· ὁρᾶν 4 ὁρατικόν (Prov. XXII 29)· γνωστικόν 5 ὁρατόν (Iob. XXXVII 21)· αἰσθητόν. θεωρητικὸν καὶ θεωρητόν Ad 19 κάπνη. διάδυσις ⟨ὀπή⟩ 29 ὀργμή· ῥύμη ⟨q. v.⟩. ῥώμη 35 ὀρεγνύς (Λ 351)· ἐκτείνων τὴν χεῖρα 36 ὀρέεσιν (Ε 486)· οἰκουροῖς γυναιξίν 37 ὄρει· φυλάσσει ⟨ὤρει⟩ 43 ὀρέγδην· ἐκτενῶς, καὶ προθύμως ⟨ὀρέδειν cod.⟩

ὀρεκτεῖν· ἐπιθυμεῖν [47]
ὀρεκτῇσι μελίῃσι (*B* 543)· αἷς ὀρέγδην καὶ οὐκ ἐκ διαστήματος χρῶνται, συνιστάμενοι καὶ ἐκτείνοντες τὰ δόρατα
ὀρεκτιῶν· ἐπιθυμῶν (ἐκτείνων)
ὀρεκτύς
ὀρεκτύων· ὀρέξεων
ὀρέξαι· δοῦναι. ἐκτεῖναι
ὀρεξάμενος· ἐκτείνας (*Ψ* 805)
ὀρέξας· δούς. ἐκτείνας [55. 56]
ὀρέξατο (*N* 20 non *Z* 466)· ὥρμησε. διέβη [58. 59]
ὄρεξις· ἐπιθυμία
ὄρεξον (Soph. OC. 846)· ἔκτεινον. ἐπίδος
ὀρεοκόμος (Ar. fr. inc. LXXIX)· ὁ τὰς ἡμιόνους τρέφων
ὀρέοντο (*B* 398 Alcman. fr. 53)· ὥρμων. ἐπορεύοντο
ὀρεσκῴοισιν (*Α* 268)· ὀρεσιοίκοις ἢ ὀρεσικοίτοις· κεῖαι γὰρ τὸ κοιμηθῆναι [65. 66]
Ὀρέστη· χωρίον Εὐβοίας [68. 69]
ὀρεσχάς (Ister)· τὸ σὺν τοῖς βότρυσιν ἀφαιρεθὲν κλῆμα
ὀρεύειν· φυλάσσειν (Philol. IX p. 704)
ὀρεῦσιν (Aristot. Rhet. III 2)· ἡμιόνοις
ὀρεύς (Ar. Ran. 290)· ἡμίονος ἄρσην
ὀρεῖς· ἡμίονοι ἄρσενες
†ὀρεταί· ὁρμαί. λαβεῖς. ἐγέρσεις ⟨1095⟩
ὀρέχθεον (*Ψ* 30)· ἐστέναζον. ἐμυκῶντο. ἐβρύχοντο
ὄρημι (Sapph. fr. 2, 11)· ὁρῶ
ὀρήχου· τῆς αἱμασιᾶς
ὀρθαγορίσκος (Lacon.)· χοιρίδιον μικρόν
Ὀρθάνης (Plat. com. p. 674)· τῶν ὑπὸ τὸν Πρίαπόν ἐστι θεῶν, καὶ αὐτὸς ἐντεταμένον ἔχων τὸ αἰδοῖον
ὀρθέσιον· ὄρθιον. μακρόν. ὀξύ. μέγα
ὀρθεῦ· ἀνορθοῦ (cf. Eur. Rh. 7) [83]

ὄρθια (*Δ* 11)· ἀνατεταμένα. ἐξάκουστα. μεγάλα
ὀρθήν· τὸ ὀρθὴν ἀπιέναι
Ὀρθία Ἄρτεμις· οὕτως εἴρηται ἀπὸ τοῦ ἐν Ἀρκαδίᾳ χωρίου, ἔνθα ἱερὸν Ἀρτέμιδος ἱδρῦσθαι ....
ὀρθιάζειν· μαντεύεσθαι
ὀρθίας (Epicharmus)· ἱστὸς νεώς. τίθεται καὶ ἐπὶ κακεμφάτου (pudendum)
ὀρθιόκωποι· οἱ ἐπιτόνως ἐλαύνοντες, καὶ ἀκλινῶς
ὀρθιοκώπους· ἐξορθουμένους ἐν τῷ ἐρέσσειν ἐπιτόνως
ὄρθιον· πρόσαντες. ἀνατεταμένον. ὑψηλόν
ὄρθιον νόμον (Herod. I 24, Terpander)· οὕτως ὠνομάσθαι φασὶν αὐτὸν ἀπὸ τοῦ ῥυθμοῦ, καθάπερ καὶ τὸν τροχαῖον
ὀρθογόη (Hesiod. Opp. 566)· ἡ χελιδών
ὀρθόδωρον· μέτρον τὸ ὀρθὸν τῆς χειρὸς ἀπὸ ἄκρου τοῦ καρποῦ μέχρι τοῦ δακτύλου. οἱ δὲ σπιθαμήν
ὀρθόκερως (Soph. fr. 793)· ὀρθόθριξ
ὀρθοκραιράων (*Θ* 231)· ἐπὶ μὲν τῶν νεῶν, τῶν ὀρθοπρύμνων· ἐπὶ δὲ τῶν βοῶν, τῶν ὀρθοκεράτων. εἴρηται παρὰ τὸ κάρα
ὀρθόκορυς· ὀρθὸν πῖλον ἔχων
ὀρθόν· τὸν ὄρθιον νόμον
ὀρθοπυγιᾶν· ὅταν γυνὴ ἑαυτὴν ἐπαίρῃ πρὸς τὸ μακροτέρα φαίνεσθαι
ὀρθόπτερος (Soph. fr. 30)· μεγάλους κολωνοὺς ἔχουσα· πτερὰ γὰρ τὰ εἰς ὕψος ἀνέχοντα. ἢ μεγάλας ἔχουσα περιστφόους οἰκοδομάς
ὀρθοστάδιοι χιτῶνες (Ar. Lys. 45)· οἱ δὲ συρόμενοι συρτοί
ὀρθοσταδόν· τὸ ὀρθὸν ἀφροδισιάζειν
ὀρθοστάτης (Eur. Hel. 547)· εἶδος πέμματος

COD. 48 ἐσωρέγδην 49 ἐκτείνων post 1150 51 ὀρεκτῶν 70 ὀρέσχας (cf.
το
ἀρασχάδες, ἀρέσχαι) 71 cf. ὄρει, ὠρεύειν 76 ἔμυκον 77 ὄρημαι 78 αἱμασίας (cf. ἔραχος, ῥηχός) 79. 80 = 80. 79 Ὀρηθανής 79 ὀρθαγορίκος (cf. βορθ—) ⟨81 ὀρθώσιον? ὀρθάδιον?⟩ 82 ἀνορθοῦν ⟨87 θριάζειν Albertus 88 ὀρθίαξ Poll. X 134⟩ 89 |οκῶποι 91 ἐπιπόνους 90. 91 = 91. 90 95 ὀρθοκέρως 96 ὀρθοκεράων —
ε
διὰ τὸ 97 π.̃λον 99 |πηγιᾶν 1200 μεγαλώ.ους — πσταοὺς 1 ὀρθόδιοι — συρταί
δ δ
2 ἀφρο' 3 ὀρθοστὰ

HES. 47 ὀρεκτῇσι (*B* 543)· μακραῖς 55 ὀρεξάσθω· ἐκτεινάτω (*Δ* 307). στρωσάτω. παταξάτω, πληξάτω. ὁ γὰρ τύπτων ἐκτείνει τὴν χεῖρα. ἔνιοι δὲ ἀγωνιζέσθω 56 ὀρέξατο· ἐξέτεινε (*N* 20). παρέσχεν 58 ὀρέξειν· παρασχεῖν (*O* 602). δοῦναι 59 ὀρέξει (*E* 33)· ὁμοίως 65 ὄρεσι (ο 385)· προβάτοις 66 ὀρέστερος (*X* 93)· ἄγριος 68 ὀρεστιάδες (*Z* 420)· αἱ ἐν τοῖς ὄρεσι τὴν ἑστίαν ἔχουσαι, ἤγουν οἰκίαν 69 ὄρεσφιν (*Λ* 474)· ὄρεσιν 83 Ὄρθη (*B* 739)· πόλις Θεσσαλίας

ὀρθοστατῶν· παραστατῶν

ὀρθόφρων (Soph. fr. 969)· ἀνατεταμένας φρένας ἔχων, ἢ ὀρθάς. μετέωρος

ὀρθωθείς (B 42 al.)· ἐξαναστάς

ὀρθωθῆναι· τὸ ἀπὸ τῆς ὑπτιότητος ἐξαναστῆναι

Ὀρθωσία (Herod. IV 87)· ἐπώνυμον Ἀρτέμιδος [1209]

ὀριγνᾶσθαι· ἐπιθυμεῖν. ὀρέγεσθαι

ὀριγνώμενοι· ἐπιθυμοῦντες [12]

ὁρίζει· ἵστησιν. ὅρον δίδωσι. κρίνει. θεματίζει. διαιρεῖ, ἀφορίζει [14. 15]

†ὀρινάδες· τὰ ἀνώτερα

ὄριναν· ἐτάραξαν

ὀρίνδην (Soph. fr. 565)· ἄρτον, παρὰ Αἰθίοψι. καὶ σπέρμα παραπλήσιον σησάμῳ, ὅπερ ἕψοντες σιτοῦνται. τινὲς δὲ ὄρυζαν

ὄρινε· διήγειρε τὴν ψυχήν, ἐκίνησεν. οὐ κατὰ..... ἀπειλήν (B 142)·

ὣς φάτο. τοῖσι δὲ θυμὸν ἐπὶ στήθεσσιν ὄρινεν

ὀρίνετον· ὥρμων. ἐτάρασσον, ἐκίνουν. δυϊκῶς (I 4)·

ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα

ὀρινίαι· ἀναδενδράδες

ὀρίνθη· [ad 22] ὑφώθη

ὀρινόμενοι· [ad 23] διωκόμενοι. ὑφούμενοι

ὅριον· τείχισμα. φραγμόν

ὅρισμα· στήριγμα. [ad 25] ἢ ὅρος

ὁριστάς· ὁρίζοντας

ὀρίχαλκος (C. I. 161, 1)· χαλκὸς χρυσῷ ἐοικώς. ἢ κρήνη †ἀρχίχαλκος

ὀριχᾶται· γλίχεται, ἐπιθυμεῖ

Ὄριψα· Ἐρινύς (cf. ὄρπα)

†ὅρκη· ὄψις

†ὀρκάθους· ἐφ' ὧν τὰ σῦκα ψύχουσιν

ὀρκάνη (Aesch. Sept. 346, Lycurg.)· εἱρκτή, δεσμωτήριον. ἔνιοι κρεμάστραν. ἄλλοι σαργάνην. οἱ δὲ φραγμόν ⟨1214⟩

ὅρκια· (σκῆπτρον) καθ' οὗ ὤμνυον. ἤτοι ὁρκωμόσια [34]

(ὀρκίδδει)· ὅρκον ποιεῖ ὀμνύει(ν)

ὀρκίλλ(εται· διακενῆς ὀμνύει)

ὅρκμον· φράγμα

ὅρκοι· δεσμοὶ σφραγῖδος

ὄρκυνος (Anaxandr. fr. I 61)· ἰχθῦς ποιός

ὀρκύπτειν· τὸ ὑπερκύπτειν †ἰδεῖν τι. τὸ ἐκτείνειν ἑαυτόν, καὶ ἐπ' ὀνύχων ἵστασθαι ⟨1215⟩

ὁρκωμόσια· θύματα, ἐφ' ὧν ὅρκοι γίνονται

ὁρκωτής (Cratin. fr. CXXXVII[a])· ὁ ὁρκίζων

ὁρμαθός· χορός. στίχος. φωλεός [44]

ὁρμαίνειν· ὁρμᾶν [46. 47]

†ὁρμανόν· ἀνεστηκός. χαλεπόν

ὁρμάς· κινήσεις

ὁρμάται (Herod. IV 110?)· οἱ ἀνδροκτόνοι. Σκύθαι

ὁρμει(αί)· ὁρμ(ι)αί [52]

†ὁρμεῖσθαι· ὁρμεῖν. τὸ πολεμεῖν ⟨v. ὡρμ—⟩

Ὅρμενος· [ad 54] οἱ μὲν τῆς κράμβης τὸ ἐντὸς κύημα· οἱ δὲ τὸν ἄγριον ἀσπάραγον. ἄλλοι πᾶν τὸ ἐκκεκαυλημένον [55]

ὁρμή· βουλή, ἐπιθυμία. τιμή

ὁρμητήριον· καταγώγιον

ὁρμιά (Plat. com. p. 617)· σχοινίον λεπτόν [59]

ὅρμικας· μύρμ†ηξ

ὁρμῖνοι (Theophr. VIII 1, 4)· ὄσπριόν τι

ὁρμίσκοι· περιτραχήλιοι κόσμοι γυναικεῖοι [ad 62]

ὅρμισον· δῆσον. ἀνάπαυσον. εἰς ὅρμον κάτελθε

ὁρμοί· ἱμάντες ὑποδημάτων ⟨cf. ῥομφεῖς⟩

ὅρμος· λιμήν. [ad 65] καὶ ὁ ὑπόδρομος τοῦ πλοίου καὶ ἡ στάσις [66]

COD. 4 παραπατῶν 12 cf. ὠριγνωμένον 18 σισάμη — ἑψῶντες 19 τοῖσι καὶ 20 ὠργίζετον 25 ὅριγμα 28 cf. ἀρίχεται, ὀριγνᾶσθαι 29 ἐρίνυς 32 ὁρμάνη (cf. ἐριχάνη) 33 ὀρκία — ὀμνύω — ὀρκο| cf. 1214 35. 36 ὀρκίλλ., ὁ. π. ὀ| 37 cf. ὀρχμή 39 ὅρκυνος 42 ..κωπ.ʹς 43 φολεός ⟨60 βόρμαξ, βύρμακας, μύρμοι⟩ 62 |ἔρια, ἢ κλοιά 63 ὅρμησον 65 ἱππόδρομος ⟨cf. βυρμός⟩

HES. 1209 ὀριαχές (Empedocl. 227)· ὀρίκοιτον ⟨ὀρειλεχές⟩ 12 ὀριγνώμενον· τεταραγμένον (Π 377). ὅρια λαβών ⟨ὡρισμένος⟩ 14 ὀρικάνην ⟨ὀρκ—⟩· δεσμωτήριον. οἱ δὲ φραγμόν. οἱ δὲ σαργάνην. ἢ σκῆπτρον ⟨cf. ὅρκια⟩ 15 ὀρικυπτεῖν ⟨ὀρκ—⟩· τὸ ἀνατείνεσθαι, καὶ ἐπ' ἄκρων ὀνύχων ἵστασθαι Ad 22 ἐταράχθη (E 29) Ad 23 ταραττόμενοι (Ξ 59) Ad 25 ἡμίονος ⟨ὀρεύς⟩ 34 ὅρκια πιστά (B 124)· ὅρκους ἐπὶ πίσταισι 44 ὁρμαθοῦ ἐκ πέτρης (ω 8)· τόπου ἐπαλλήλου πετρώδους ... συνθέσεως. ἢ τοῦ τῶν νυκτερίδων ἀθροίσματος 46 ὁρμαίνοντα (K 4 δ 732)· διανοούμενον 47 ὁρμαίνων (ο 299)· φροντίζων. ἐν διανοίᾳ ἔχων 52 ὅρμενα (Λ 572)· ὁρμῶντα. κεκολλημένα (Soph. OT. 176) Ad 54 ὄνομα κύριον (B 734). καὶ πόλις Θεσσαλίας (Θ 274). καὶ 55 ὁρμήματα· μέριμναι (B 356. 590) 59 ὁρμιευτής· ἁλιεύς ⟨Moer. p. 42⟩ Ad 62 ἢ μανιάκης. ἢ περιδέραια. ἢ κλοιά. ἢ δακτύλιοι (cf. Genes. XXXVIII 18. 25) Ad 65 ἡ περιτραχήλιος κόσμος (Aristoph. p. 1079 e Moer.) 66 ὅρμου μέτρον (ν 101)· τὸν ὅρμον. καὶ τὸν λιμένα

ὁρμώμενος· προθυμούμενος. ἢ φερόμενος [68]

ὄρνεα· ὀρνεοπώλια. καὶ πετεινά. καὶ τόπος (Ar. Avv. 13)

ὀρνιθευτής (Plat. com. p. 667)· ὀρνιθοθήρας

ὄρνιθι (Soph. OT. 52)· οἰωνῷ [ad 71]

ὀρνιθοκάπηλοι (Critias Poll. VII 197)· ὀρνιθοπῶλαι [73]

†ὀροβάδων· νεβρῶν ⟨1285⟩

ὀροβάκχη· βοτάνη τις (Theophr. VIII 8, 4). οἱ δὲ τῆς ῥοιᾶς τοὺς καρπούς, οὓς ἔνιοι κυτίνους (Nic. Th. 869)

ὀρόβιον· χρυσοκόλλης εἶδος

ὄρογκοι (Nic. Al. 41)· τῶν ὀρῶν τὰ ὀγκώδη, ἃ καὶ ὀρόχθους καλοῦσιν. ἢ ὀρῶν λόφους. τινὲς δὲ καὶ τὰ ἐργάσιμα ξύλα

ὀρόδαμνοι (Nic. Th. 863)· κλῶνες. κλάδοι. βλαστήματα. ὅρπηκες

ὀρόδαμνος (Call. fr. CXXXIX 1)· τὰ αὐτά [ad 79]

ὀροδεμνιάδες· νύμφαι, [καὶ] αἱ Μέλιτται. ἀπὸ τοῦ ὄρος καὶ τῶν δεμνίων· ἐπεὶ ἐκεῖ κοιτάζονται. οἱ δὲ ἀπὸ τῶν ὀροδάμνων, οἵ εἰσι κλάδοι [81. 82]

ὀροθέσια· τὰ χωρίζοντα τὴν γῆν

ὀροθύνειν· ἐρεθίζειν. ταράσσειν [ad 84]

ὀροιβάδες· αἱ αἶγες ⟨1274⟩

ὀροικλάνοι· ὀξύσχοινοι ⟨ε 7147⟩ [88]

ὀροιτύπος (Nic. Th. 5. 377)· ὑλοτόμος

ὀρόμενος (Trag.)· ὁρμώμενος

ὄρονται (ξ 104?)· ἐφορμῶσιν. ἐπακολουθοῦσιν

ὅρος· νόμος, θεσμός. ἢ στήλη, ἡ καταπεπηγυῖα ἐπὶ χωρίῳ ἢ οἰκίᾳ

ὀρός (ρ 225)· τὸ ὑδατῶδες καὶ ὑφιστάμενον τοῦ γάλακτος· ἀπὸ τοῦ ὀρούειν ἀπ' αὐτοῦ

ὀρὸς γάλακτος· γάλακτος τὸ ἀφύλισμα

ὄρος Κοτύλαιον (Archemachus)· τῆς Εὐβοίας

ὀρούα· χορδή. καὶ σύντριμμα ⟨σύστρεμμα⟩ πολιτικόν, εἰς ὃ Ἐπιχάρμου δρᾶμα

(ὀρούει· ὁρμᾷ, πηδᾷ) cf. 1322

ὀρούειν (Apoll. lex.)· ὁρμᾶν

ὀροῦσαι· ὁρμῶσαι ⟨—ῆσαι?⟩. λέγει δὲ αὐτὸ ὀρούειν καὶ ὁρμαίνειν [98]

ὀρούματα· ὁρμήματα. πηδήματα

ὀροτύπου δίκην (Aesch. Sept. 85) (ὀροτύπους)· ὅτι οἱ γίγαντες ἀποσπῶντες ἀπὸ τῶν ὀρῶν κορυφὰς καὶ πέτρας ἔβαλλον

ὀροφή· στέγη

ὀροφηφόρον· ζῷον πᾶν ὀστρακόδερμον

ὀροφίας (Ar. Vesp. 205)· ὄφις τῶν κατ' οἰκίαν

ὄροφος· κάλαμος, ᾧ στεγάζουσιν. ἤδη δὲ καὶ ἡ ὀροφή [1306]

ὄροχθον· ὄρειον ὄχθον ⟨1277⟩

Ὄρπα (Aeoles)· Ἐρινύς ⟨1229⟩ [9]

ὄρπαξ (Aeoles)· θρασὺς ἄνεμος

ὅρπας· τῆς ἀκρίδος ὁ γόνος. ἔνθεν γάρον ποιοῦσιν

ὅρπη· σίδηρος, ἐν ᾧ τὸν ἐλέφαντα τύπτουσιν

ὅρπηκες (cf. Φ 38)· κλάδοι, ὄζοι

ὅρπηξ (Call. Ap. 1)· κλάδος ἐκπεφυκώς, κάτωθεν ἀναβλαστήσας, ἢ ἀπὸ τῆς ῥίζης τοῦ δένδρου, ὀρθὸς κλάδος

ὅρρα (Nic. Th. 685)· ὃς ἄρα

ὀρρέξας (Aeol.)· θραύσας. ἀνελόμενος

†ὀρριδιᾶν· τὸ ἐπὶ τὰ ἰσχία καὶ τοὺς γλουτοὺς πεσεῖν

ὄρριον· ὀρίγανον

ὀρρόβηλος· ὁδός. Ἰταλιῶται [20]

ὄρρος (Ar. Ran. 213)· ἡ τράμις· οὐχ, ὥς τινες, τὸ ἰσχίον. ἕτεροι δὲ ἐτυμολογοῦσι καὶ τὸ ὀρρωδεῖν· οἱ γὰρ δεδοικότες ἰδίουσι τὸν ὄρρον, ὅ ἐστιν ἱδροῦσιν, ἢ τὸ ὀστοῦν τὸ ὑπὸ τὴν ῥάχιν [22. 23]

ὀρρωδεῖ· φοβεῖται, ἀπορεῖ. (μαίνεται. φρίττει. εὐλαβεῖται. δειλιᾷ cf. 1388)

ὀρρωδία (Eur. Med. 318)· φόβος, ἀπορία ⟨1389⟩

ὀρρωδίᾳ (Eur. Ion. 403)· τῷ φόβῳ

?ὀρρωδέως· ἐμφόβως ⟨1390⟩

(ὀρρωδοῦν· ἐκφοβοῦν) cf. 1391

COD. 67 ὁρμούμενος 77 ὀρώγκη — ὀρόγχθους 80 κοπάζονται 84 cf. γρόσυνον 85 ὀρυβάδες, αἶγαι 90 ὀρῶνται 92 ὀρρός — ἀφιστ| 93 ἀφύλιστα 94 |λέον 95 ὀροῦα ⟨1348⟩ ⟨1303 H. e. φερέοικον⟩ 6 ὀροφοτόντα ⟨10 Ὕρπαξ Boreae filius Plut. Fluv. 5, 3⟩ 11 γὰρ ὁποιοῦσιν 12 ὀρπησίδηρος (cf. ἀγγόρπης, μαχκούρᾳ) 15 ὅρια, ὡς ἄρα 19 Cf. βηλός· ὁδός 21 τινὲς στοιχεῖον, ἕτερον — ὀρροδεῖν — ἰδοῦσι τὸν ὄρον 24. 25 ὀρροδ— 26 ὀρροδίας 27 ὀρροδωδέως

HES. 68 Ὀρνεία (Β 571)· πόλις Ad 71 ὀρνέῳ (Ξ 290) 73 ὀρνυμένου (Δ 421)· ὁρμῶντος. διεγειρομένου Ad 79 καὶ ποταμός ⟨ὁ Ῥοδανός⟩ 81 ὀρόδιος· φόβος ⟨ὀρρωδία⟩ 82 ὀροδοῦντες· φοβούμενοι ⟨ὀρρωδοῦντες⟩ Ad 84 θαρρύνειν ⟨ΘΡΟCYNEIN⟩ 88 ὄροβον· εἶδος ὀσπρίου 98 ὁρμαιώρειοι· θάνατοι 1306 ὀροφοιτῶντα (Ioseph. Macc. p. 515 C)· εἰς ὄρη περιερχόμενον 9 ὀρόων (Α 350)· ὁρῶν, βλέπων 20 ὀρροπύγιον· ὀρθοπύγιον ⟨Moer.⟩ 22 ὀρρούει· ὁρμᾷ. πηδᾷ 23 ὄρρυνε (Δ 73)· παρώρμησεν

ὀρσάγγης (Herod. VIII 85 Soph. fr. 185. 572)· σωματοφύλαξ. ἢ ὁ τὴν βασιλέως οἶκόν ποτε εὐεργετήσας

ὄρσαι· ὁρμῆσαι. ἐγεῖραι. ἐρεθίσαι

ὀρσιπετής· ὑψοῦ πετόμενος

ὀρσίπους βοή (Trag. adesp. fr. 192)· ἐριστικοὺς παρασκευάζουσα πρὸς τὸν τῶν ποδῶν δρόμον

ὄρσο· ὄρσεο, ἐγείρου

ὀρσοδάκνη (Ar. HA. V 17, 11)· ζωύφιόν τι ἐν τῇ κράμβῃ γινόμενον

ὀρσοθύρα (X 126)· θύρα μεγάλη καὶ ὑψηλή, δι' ἧς ἐστιν ὀροῦσαι καταβαίνοντα. ἄλλοι πᾶσα θύρα μὴ ἔχουσα τὸν βαθμὸν πρὸς τῇ γῇ, ἀλλ' ἀπέχουσα τοῦ ἐδάφους, οἷον θυρίς. ἢ θύρα εἰς ὑπερῷον ἀνάγουσα

ὀρσοί· τῶν ἀρνῶν οἱ ἔσχατοι γενόμενοι ⟨ἔρσαι⟩

ὀρσολοπεῖται· διαπολεμεῖται. ταράσσεται. Αἰσχύλος (Pers. 10)

†ὀρσομένη· διεγειρομένη ⟨ὀρο—⟩

†ὄρσω· τολμῶ ⟨ΘΟΡCΩ?⟩

ὀρτάλιχοι (Theocr. XIII 12)· οἱ μήπω πετόμενοι νεοσσοί. καὶ οἱ ἀλεκτρυόνες καὶ †κρεμάστραι

ὀρτή (Ion. fr. 21)· ἑορτή

ὀρτός· βωμός. Κύπριοι [43]

Ὀρτυγία (Call. ep. LXXIII 2)· ἡ νῦν Δῆλος καλουμένη νῆσος [45]

ὀρτυγομήτρα (Cratin. p. 158 Ar. HA. VIII 14, 6)· ὄρτυξ ὑπερμεγέθης

ὄρτυξ (Theophr. VII 10)· ἡ πόα τις .....

ὀρύα (Epicharmus)· χορδὴ ἑφθή ⟨1295⟩ [49—52]

ὀρυμαγδός· ταραχή, ψόφος, θόρυβος (Hom.), κτύπος

†ὄρυμος· βωμός. οἱ δὲ ὄρυμβος

ὀρυνθεῖ· γρυλίζει

ὄρυξ· λαοξοϊκὸν σκεῦος. ἢ σκαφίου εἶδος. καὶ ἰχθῦς. καὶ ζῶόν τι τετράπουν (Herod. IV 192), δόρκονι κατὰ τὴν χροιὰν παραπλήσιον [57]

ὀρφακίνης (Dorio)· ἰχθῦς ποιός [59]

ὀρφανή· ἐπὶ γονέων

ὀρφανός (Eur. Phoen. 988)· ὁ γονέων ἐστερημένος καὶ ⟨ἢ⟩ τέκνων

ὀρφίνη· καλάμη μελίνης

ὀρφναία (Eur. fr. 596, 3)· σκοτεινή. μελανή. (νυκτερινή)

ὄρφνα (Eur. I. T. 151) καὶ ὄρφνη· σκοτία. νὺξ μέλαινα

ὀρφνῆεν· μέλαν, σκοτεινόν. καὶ ὀρφνόν

ὄρφνινον (Xen. *KΠ* VIII 3, 3)· τὸ μέλαν ἱμάτιον. καὶ ὀρφνῶδες

ὀρφοβόται· ἐπίτροποι ὀρφανῶν

ὀρφοβοτία· ἐπιτροπή

ὀρφώς (Ar. Vesp. 493)· ἰχθῦς ποιός [70]

ὄρχαμος (B 837)· βασιλεύς. ἡγεμών

ὀρχάς (Soph. fr. 743)· περίβολος, αἱμασιά. καὶ εἶδος ἐλαίας (Nic. Al. 87) [73]

ὀρχέα (Elei)· ἡ τοῦ ταύρου ὀσχέα

ὀρχεῖται· διασείεται. βαχχεύει [76]

ὀρχήστρια· †αἶρα

†ὄρχια· ζῶον τῶν τετραπόδων. καὶ πόα

ὀρχηδόν (Herod. VII 144· ὡς) ἡβηδόν

ὀρχίλον (Ar. HA. IX 2, 3 Ar. Av. 569)· ὀρνιθάριον τῶν εὐωνητῶν. λέγεται δὲ ὑπό τινων σαλπι(γ)κτής

ὀρχιπεδίζειν (Ar. Av. 142)· τὸ κακοσχολεύεσθαι παρὰ τοῖς παισί

?ὀριχηθμοῖς (Aesch. Eum. 375)· ὀρχήσεσιν [83]

ὀρχμαί· φραγμοί. καλαμῶνες. φάραγγες. †σπῆλυγξ

ὄρχοι· στίχοι ἀμπέλων [86]

ὄρχος (η 127)· κῆπος. καὶ φυτῶν στίχος [88—92]

ὀρώρ(ει)· ὤρμητο [ad 93]

COD. 30 πετώμενος 40. 41 = 41. 40 40 πετώμενοι — ἀλεκτρυώνες 42 cf. ὠρτός 47 ὀρτυξίς 53 ὀρυγμαδός 56 ὄρυγξ — εὐσκαφίου — δορκόνι 65 ὀρφανόν 66 ὀρφνίον — ὀρφνιδές 74 ὀχέα 75 χωρικὸς 77 ὀρχίστρια 79 ὀρχιδόν, ἡβινδόν 81 ὀρχιπαιδ| 84 cf. ὅρκμον

HES. 48 ὀρυγάνει· ἐρεύγεται ⟨ἐρυγγάνει⟩ 45 Ὀρτυγίη, ἠελίοιο (ο 403)· τοῦτο δὲ ἐστὶν, ὅπαι δύσεις ἄρχονται. ἔγραψαν δέ τινες καὶ τροφαὶ καὶ στροφαί 49 ὀρυγμάδες· θόρυβοι ⟨ὀρυμαγδός⟩ 50 ὄρυγμος· βρυχόμενος ⟨ὠρυόμενος⟩ 51 ὀρύεται· ὑλακτεῖ ⟨ὠρύεται⟩ 52 ὀρυκτήν (Θ 179)· σκάπτειν 57 ὀρύξομεν (H 341)· σκάψομεν 59 ὀρφαναία· νυκτερινή, σκοτεινή. ὅθεν καὶ ὀρφανὸν εἰρῆσθαι τὸν ἐν σκότει ὄντα 70 ὄρχαμε λαῶν (Ξ 102)· βασιλεὺς ἄγων λαόν 73 ὀρχαστοί· αἱ ἐπὶ στοιχείοις φυτίαι, ἢ αἱ κήπων. ἀπὸ τῆς ὀρχήσεως 76 ὀρχηστής (Ω 261)· ποτὲ μὲν ὁ χορικός· ποτὲ δὲ ὁ ἐν πολέμῳ εὐκίνητος (Π 617) cf. 1383 83 ὀρχιστής· συγκεκροτημένος περὶ τὰ πολεμικά 86 Ὀρχομενός (λ 283)· πόλις Βοιωτίας, ἣν Μινύειον καλοῦσιν 88 ὀρωδεῖ· μαίνεται. φοβεῖται. φρίττει. εὐλαβεῖται. δειλιᾷ 89 ὀρωδία· φόβος. καὶ τὰ ὅμοια 90 ὀρωδεῶς· ἐμφόβως 91 ὀροδοῦν· ἐκφοβοῦν 92 ὀρῶν (E 872)· ἰδών, θεωρῶν Ad 93 διεγήγερτο (B 810)

ὄρωρεν· [ad 94] ἀνῆλθεν [95]

ὀρωρέχατο (Δ 26)· ὡρμημένοι ἦσαν, ἢ ἐκτεταμένοι

?ὀρροχμόν· ἔσχατον. ἄκρον (η 127?) [98]

ὅς (Hom.)· ἄρθρον ἀρσενικόν, ὅστις, οὗτος (α 286)

ὅς αἰσυμνᾷ (Eur. Med. 19)· βασιλεύει

ὁσάκις· ποσάκις [1402—5]

ὁσημέραι (Ar. Vesp. 478)· πάντοτε καθ' ἡμέραν

ὅσια· ἄλφιτα δεδευμένα ἐλαίῳ καὶ οἴνῳ. καὶ ἡ καρδία

ὁσία (Eur. I. T. 945)· γνώμη γνησία [9]

ὅσιος· καθαρός. δίκαιος. εὐσεβής. εἰρηνικός. ἁγνός

ὁσιουργῆσαι· ἀποκαρδιουργῆσαι. καὶ τὸ ἐπιλέγειν ἐν ταῖς θυσίαις, ὅταν ἀπάρχωνται τῶν θεῶν αὐτῶν

ὁσίους θαλάμους· τοὺς μὴ θείους, ἀλλ' ἀνθρωπείους. ἔστι δὲ ἀπὸ τῆς ἕσεως τὸ ἐφιέμενον καὶ μὴ ἀπηγορευμένον· ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (§ 120)

ὁσίως· πρεπόντως. δικαίως

Ὄσιρις· αἱ ἐν Αἰγύπτῳ †ὑπηνεμίους τίκτουσι τὸν λεγόμενον Ὄσιριν γυναῖκες

ὀσκάπτω (Aeoles)· ἀνασκάπτω

ὀσμύλια (Aristoph. p. 1050)· τῶν πολυπόδων αἱ ὄζαιναι. καὶ ἰχθύδια ποῖ' ἄττα εὐτελῆ

ὀσμύλαι (Ath. 318 E)· βολβιτῖναι θαλάσσιοι [18—20]

ὅσον· ὀλίγον. ὅσον ὅσον (Ar. Vesp. 213) δὲ ὀλίγον ὀλίγον

ὅσον οὔπω (Thuc. VI 34)· ταχύ [23. 24]

(ὁ) σπονδοφόρος (Ar. Ach. 215. 6)· ὁ φιλοποιός [26]

ὄσπρα· ποικίλα

ὄσπρια (Theophr. VIII 1) καὶ γενικῶς καὶ ἰδικῶς λέγεται

[ad 29] ὡς πισὸς καὶ ἐρέβινθος [30]

ὄσ(σ)α· ὁπόσα, ὅσα, τόσα. κληδών, καὶ φήμη [32—34]

ὄσσε (Δ 104)· ὀφθαλμοί. δυϊκῶς [36. 37]

ὄσσει· βλέψει. ἴδοι

ὄσσεις· βλέπεις, ὁρᾷς

ὄσσεν· ὅρα, βλέπε [41]

ὀσσέων· ὀφθαλμῶν

ὀσσητῆρα· βοηθόν (Ο 254 Call. Ap. 104)

†ὀσσῆξαι· ἐπιδεῖξαι

ὀσσίχον (Theocr. IV 55)· ὅσον. ἡλίκον

ὄσσομαι· περιβλέψομαι, ὁρῶ

ὀσσόμενος (Α 105)· τοῖς ὀφθαλμοῖς ὑποβλέπων, ἢ κατὰ ψυχὴν προσδεχόμενος. ἢ προσδοκῶν

ὅσσον· ὁπόσον. πηλίκον [49—53]

ὀσσῶσθαι· κληδονίσασθαι

ὄσσων (Hesiod. Th. 826)· βλεφάρων. ὀφθαλμῶν

ὁ(σ)ταθείς (Aeol.)· ἐξαγκωνισθείς ⟨982⟩

ὀστακός (Attici)· εἶδος καράβου. οἱ δὲ ἀστακὸν λέγουσιν

ὀσταλιόχος· τόξευμα ⟨ἀστίοχος?⟩

ὄστασαν (Aeoles)· ἀνέστησαν

ὀσταφίς (Cratin. p. 92 Nicopho p. 854)· οὕτω διὰ τοῦ ō ἔλεγον τὰς ἀσταφίδας [61. 62]

ὄστλιγξ· πλόκαμος. ἕλιξ (Nic. Al. 470?) βόστρυχος (Callim. fr. XII). ἢ τὸ ἐν βότρυσι γινόμενον (Theophr. III s. f.) [64]

ὀστρακίνδα (Ar. Eqq. 851)· παιδιὰ ἣν ἐπὶ τῷ ὀστράκῳ

ὀστρακίς· ἀγαλμάτιόν τι Ἀφροδίτης

COD. 96 |αυτο — εἰσίν 1400 .σσαι σύμμ.ι 16 ποιά, ἀλλ' 17 ὀσμύναι 25 σπενδοφόρος 32 δισκούουρα — δισκουούρια 36 ὅσσαι — χαμύσουσι 43 βοηθῶν cf. ἐυσσητήρ 54 κληδω| Post 57] 63 ὀσταλαιξ — ἕλιξαι

HES. Ad 94 ἐγήγερται (Β 797), διηγέρθη (Ν 122) 95 ὀρώρεται (τ 377)· τετάρακται. τεθύμωται 98 ὄρῳτο (Τ 132)· βλέποιτο (Eur. Io. 50) 1402 ὀσάτιον (Ε 758)· ὅσον 3 ὃς ἀπὸ χθονὸς ὑψόοσ ἔργον (Ξ 349) 4 ὅς δέ κεν· ὃς δ' ἄν 5 ὃς ἤδη (Α 70)· ὅστις ἤδη 9 ὁσίη (π 423)· θέμις 18 ὅς κεν (Τ 228)· ὅστις δέ 19 ὅς μέγα (Α 78)· ὅστις μεγάλως 20 ὅς οἱ (Β 184)· ὅστις αὐτῷ 23 ὅσος (Β 528)· ὁπόσος 24 ὅς οὐδὲν τοῖος ἔην (δ 248)· ὃς οὐκ ἦν τοιοῦτος, ἀλλὰ τοὐναντίον λαμπρός 26 ὅσπερ ἔφηνεν (Β 318)· ὅσπερ καὶ φανερὰ ἐποίησεν Ad 29 [ὄσπρος· ἰδίως τις λέγεται] 30 ὅς ῥα (Γ 61)· ὅστις δή 32 ὅσσα δίσκου οὖρα (Ψ 431)· ὅσα δίσκου οὔρια 33 ὀσσάτιον (Ε 758)· ὅσον 34 ὅσσα ἔοργας (Γ 75)· ὅσα εἰργάσω 36 ὄσσε καθαιρήσουσι (Λ 453)· καμμύσουσι τοὺς ὀφθαλμούς, καὶ συγκλείσουσιν· ὅπερ τοῖς νεκροῖς γίνεται ὑπὸ τῶν οἰκείων περὶ τὸν τοῦ θανάτου καιρόν 37 ὄσσε δέ οἱ (Α 104)· ὀφθαλμοὶ δὲ αὐτοῦ 41 ὅς σευ (Β 27)· ὅστις σοῦ 49 ὅσσον τὲ γέγονε βοήσας (ε 400)· ὅσσον δ' ἐβόησε κραυγάσας ἀνήρ 50 ὄσσοντο (Σ 224)· διενοῦντο. προεώρων 51 ὄσσοντο δ' ὄλεθρον (β 152)· πρὸ ὀφθαλμῶν εἶχον, τουτέστι προσεδόκουν, καὶ προεσήμαινον, καὶ ἔμφασιν ἐποιοῦντο 52 ὀσσυπηρόν· ῥυπαρόν ⟨425⟩ 53 ὅς σφιν (Α 73)· ὃς αὐτοῖς 61 ὀστέον εἴσω (Δ 460)· ἕως τοῦ ὀστοῦ 62 ὅσσ' εἰσιν (Γ 61)· ὅστις διέρχεται 64 ὅς τοι· ὅστις σοι

ὀστρακισμός· οἱ κακονούστατοι τῷ δήμῳ ἐξωστρακίζοντο, καὶ κατεδικάζοντο, ὀστράκοις ἐγγραφόντων τὸ ὄνομα τοῦ φευξομένου

ὀστρακισμός· εἶδος φυγῆς ἐν ὀστράκοις γραφάντων. ἀπὸ τῶν ὀστράκων ὀστρακισμός

ὄστρακον· ὁπότε τις ἀποθάνοι, γάστραν πρὸ τῶν θυρῶν ἐτίθεσαν, ἐξ ἄλλης οἰκίας λαμβάνοντες καὶ πληροῦντες ὕδατος

ὀστράκων (Aeschylus fr. 328)·
ἀπτῆνα, τυτθόν, ἄρτι γυμνὸν ὀστράκων
ἀντὶ τοῦ φῶν. τινὲς δὲ κελύφων

ὄστρεα (Aesch. fr. 32, 10)· τὰ κογχύλια. Λάκωνες ἄνθος [72]

ὄστριμον (Antimach. fr. XXXII)· ἐν ᾧ αἱ θεριναὶ μοναὶ τόπος. οἱ δὲ ἔπαυλις

ὀσφραίνεται· ὀσμᾶται

ὀσφρέσθαι· τὸ ὀσφρανθῆναι

ὀσφύος (Ar. Pac. 1053)· ψόας. ῥάχις. καὶ τὸ πλησίον τῶν γλουτῶν

ὀσφῦς (Ar. Lys. 964)· ὁ παρὰ πλευρὸν διάκενος τόπος [78]

ὄσχαι· κλήματα βοτρύων γέμοντα

ὄσχεα (Hippocr. 671, 50)· βαλλάντια, μαρσύππια. ἢ τὸ τῶν διδύμων ἀγγεῖον [ad 80]

ὀσχεός· τὰ αὐτά [82—91]

ὅτι μάλιστα· λίαν, πάνυ, πλέον, σφόδρα, ἄγαν

ὅτι μή· ὅτι οὐχί [94. 95]

ὀτίοισιν· οἷστισιν

ὁτιοῦν· τὸ τυχόν [98—1501]

ὀτλεύει· πονεῖ. κακοπαθεῖ

ὀτλημάτων· κακοπαθημάτων

ὁ τλήμων (e. c. Soph. OT. 963)· ὁ ἄθλιος

ὄτλος (Soph. Tr. 7)· μόχθος

ὀτλῶ· πονῶ. κακοπαθῶ (Call. fr. CCLXXIV)

ὀτοβεῖ (Aesch. fr. 56, 6)· θορυβεῖ

ὄτοβος ἅλιμος (Trag. inc. fr. 193)· θάλασσα θορυβώδης

ὀτοτύζειν (Ar. Pac. 1011)· λέγειν. θρηνεῖν

ὅτου δὲ δή· οὕτινος δὲ δή

ὅτου δή· τίνος δή

ὅτου ἕνεκα· τίνος ἕνεκα (Herod. II 63?)

ὁτουοῦν· οὕτινος οὖν

ὅτου χάριν· τίνος χάριν [15]

ὀτραλέως (Γ 260)· ταχέως. ὀξέως. δραστικῶς. ἐνεργῶς ⟨v. αἶψα⟩ [17—20]

ὀτρηροί (α 109)· ἀνδρεῖοι. ταχεῖς. ὀξεῖς. ἐνεργεῖς. δραστικοί. ὑπήκοοι. πιστοί. σπουδαῖοι

ὀτρηρόν· τὰ αὐτά

ὄτριχας (Β 765)· ὁμοιότριχας

ὀτρύγη· χόρτος. καλάμη

ὀτρυγηφάγου (Archil. fr. 95)· περιττὸν τὸ ὅ. Τρύγη γὰρ ὁ σῖτος καὶ ὁ χόρτος [26]

(ὀτρυνέμεν·) κελεύειν. σπεύδειν. παρορμᾶν

ὀτρυντήρ· κῆρυξ. κελευστής. σαλπι(γ)κτήρ

ὀτρυντύς (Τ 235)· παρακέλευσις. προτροπή [29]

ὀττεσθαι· κληδονίζεσθαι [31]

†ὄττις· ὄψεις [33]

ὀττοτοῖ· θρηνῶδες ἐπίφθεγμα

οὐ· οὕτινος σημαίνει δὲ καὶ ὅπου καὶ ἔνθα τὸ οὗ

οὐ· ἐπίρρημα ἀρνητικὸν κατὰ στέρησιν, ἤτοι οὐχί. εἴωθεν δὲ αὐτὸ ὁ ποιητὴς παραλαμβάνειν καὶ μετὰ τῆς μά φωνῆς. συμπλέκει δὲ αὐτῷ καὶ τὸ πω

οὗ· δασυνόμενον μὲν δηλοῖ ἄρθρον ἀρσενικὸν καὶ οὐδέτερον ὑποτακτικόν, καὶ σύναρθρον ἀντωνυμίαν τρίτου προσώπου. ἐμοῦ, σοῦ, οὗ

COD. 69 cf. ἀρδανίαι, πηγαῖον 70 ἀπτὴν ἄτυτθον 75 ὀσφρεσθαι, εὐφ| 76 φιώας 77 ὀσφύς 80 βαλάντια μαρσίππια 81 ὄσχεος 96 ὅτι οἶσιν 1510 cf. ἀνθ' ὅτου δὲ δή 16 ὀτραλαίως 24 ὀτρύχη 25 cf. ἀτρ— 28 ὀτρύντης 30 κλυδω| 35 σημαίνει — οὐ post 1536

HES. 72 ὄστρεον· μυάκιον θαλάσσιον (gl. in S. Athanas.) 78 ὅς σφω (Α 336)· ὅς ὑμᾶς Ad 80 καὶ κλήματα βοτρύων πλήρη 82 ὄσχεσφιν (Δ 297)· ὀχήμασιν 83 ὅς χ' ἕτερον (Ι 313)· ὅς ἂν ἄλλο 84 ὅταν παίω (Exod. XII 13)· ὅταν παιδεύω, ἢ τύπτω 85 ὅτε· ὅταν. ἐπειδή (μ 22)· δυσθανέες, ὅτε τ' ἄλλοι ἅπαξ θνήσκουσ' ἄνθρωπος 86 ὅτε ἔφησθα (Α 397)· ὅτε ἔλεγες 87 ὅτε κέν σε· ὅτε ἂν σε 88 ὅτε μ' ὤνατο (Ρ 25)· ὅτε κατεμέμψατο καὶ ἐξεφαύλισεν 89 ὀτέῳ (Ο 664)· ὅτῳ. ᾧτινι 90 ὅτε· ὅτε πατήρ 91 ὅτι ἄριστον (Α 244)· ὅτι τὸν κράτιστον 94 ὅτινας (Ο 492)· οὕστινας 95 ὅτι οἶσθα (Α 85)· ὅπερ οἶδας 98 ὁτιποῦ· οὐδαμῶς ⟨οὔτι που⟩ 99 ὅτι ῥά (Α 56)· ὅτι δή 1500 ὅτις (α 47)· ὅστις 1 ὅτι τόσ(σ)ον (Α 64)· διότι τοσοῦτον 15 ὄτρα· ἡ τοῦ ἀλέκτορος οὐρά 17 ὄτρεα· ἡμίονος ⟨οὐρέα⟩ 18 Ὀτρεὺς καὶ Μύγδων (Γ 186)· βασιλεῖς Φρυγίας 19 ὀτρηρή· ἐνεργός. σπουδαία 20 ὀτρηρὴ ταμίη (Ζ 381)· ἡ τηροῦσα τὸν οἶκον 26 ὀτρῦναι (Θ 219)· παροξῦναι 29 ὅττεο (α 124)· οὕτινος 31 ὀττεύεσθαι (cf. Ar. Lys. 597)· ὁμοίως ⟨Moer. 279⟩ 33 ὅττι κεν ἄρχῃ (Ι 102)· ὅτι ἂν κρατῇ, καὶ σύμφορον εἶναι δοκεῖ

οὐ διωσόμεθα· οὐκ ἀποβαλούμεθα, οὐκ ἀπορρίψομεν [95. 96]

οὐ δοκέουσιν· οὐ προσδοκοῦσιν ⟨—ῶσιν?⟩. οὐ νομίζουσιν

οὐδ' ὅλως· οὐδὲ τοῦ τυχόντος [99]

οὐδός (Θ 15)· βαθμός, βατὴρ ὁ πρὸ τῆς θύρας, [ad 1600] καὶ ὁδός

οὐδ' οἴοιτο· οὐδ' ἂν ἐνοήθη

οὐδ' ὁτιοῦν (Ar. Plut. 385)· οὐδὲ τὸ σύνολον

οὐδραία· ὑδρία. μέτρον τι, Ἀττικοῦ μετρητοῦ ἥμισυ

οὐδραίνει· περικαθαίρει. Λάκωνες

οὐδύεται (Cyprii?)· ἐρίζει

οὐ εἵνεκεν· διότι, ἕνεκεν [7. 8]

†οὖθα· σποδός. ὁδός

οὖθαρ (I 141 Herod. IV 2)· τὸ πιότατον τῆς γῆς, ἤτοι τῆς χώρας. καὶ τῶν ζώων τὸ κατὰ τοὺς μαστούς

†οὔθαρα· ἐπὶ ἀσκοῦ ὁ κατὰ τὸ οὖθαρ τόπος. οἱ δέ, περὶ ὃν στρέφεται ὁ χορός, ἢ ὁ τροχός

οὔθατα (ι 440)· μαστοί

οὔθατα βόσκει (inc. epic.)· αἶγας βόσκει

οὐθείς· οὐδὲ εἷς [15]

οὐθέν· οὐδέν

οὐθένεια· μηδαμινή. εὐτελής

οὐθεν(ε)ίας· ἀσθενείας

οὐθ' ἕτερον· οὔτε ἓν τῶν δύο [20]

οὐϊτόν (Theophr. I 1, 17. 6, 9. 11)· τὸ ὑπ' ἐνίων οἰτόν [22]

οὐκ ἀγεννῆ (schol. Aesch. Sept. 589)· οὐκ ἀνίσχυρα. ἀταλαίπωρα [24—31]

οὐκ ἄλκαρ· οὐ βοήθεια (Λ 822?)

οὐκ ἀλώσιμα· οὐκ εὔληπτα

οὐκ ἄμοιρος ἦν (Trag. inc. fr. 194)· οὐκ ἐκτὸς μοίρας ἦν

οὐκ ἀμώμητος· οὐκ ἄψεκτος. οὐχ ὑγιής [36]

οὐκ ἀναλίσκεται· οὐκ ἐκλείπει

οὐκ ἀνεύθυνον· εὐκατάκριτον [39—41]

οὐκ ἄν τι· οὐδαμῶς ἄν

οὐκ ἀξιόχρεως (Eur. Or. 597)· οὐχ ἱκανός

οὐκ ἀπᾴδοντα· οὐκ ἀλλότριον

οὐκ ἀπᾳδόντως· ὅμοιον

οὐκ ἀπαναίνεται· οὐκ ἀποστρέφεται. [οὐκ ἀπόχρη]. οὐ παραιτεῖται

οὐκ ἀπεικός· οὐκ ἄτοπον. ἄξιον. ὀφειλόμενον. πρέπον. ὅμοιον. Εἰκὸς δέ ἐστι παρὰ τὸ ἐοικός. εἶτα ἀπεικὸς τὸ ἀπρεπές, τὸ ἀνόμοιον· καὶ τὸ οὐκ ἀπεικὸς διὰ δύο ἀρνήσεων μία συγκατάθεσις· ὡς τὸ ἥκιστα οὐδαμῶς, οὐχ ἥκιστα τὸ μάλιστα

οὐκ ἀπεοικός· οὐκ ἀπρεπές

οὐκ ἀπέχρη (Aristoph. p. 1136)· οὐκ ἤρκει ⟨1659⟩ [50. 51]

οὐκ ἀπηξίωσεν· ἠξίωσεν

οὐκ ἀπίθανος· πιθανός [54]

οὐκ ἀπορεῖ· [οὐκ] ἀρκεῖ. εὐπορεῖ [56—58]

οὐκ ἀπόχρη· οὐκ ἀρκεῖ

οὐκ ἀπρακτήσεις· οὐκ ἀποτεύξῃ

οὐκ ἀπώναντο· οὐκ ὠφελήθησαν

†οὐκαρός· οὐ νεικός (Eur. Heracl. 986)

οὐ καρτερεῖ· ἀηδεῖ. †οὐ φρόνιμος εἶ

οὐκ ἄσημοι· ἐπιφανεῖς. οὐκ ἀφανεῖς. οὐκ ἄδοξοι

οὐκ ἀσκίῳ (Cratet. fr. I p. 235)·

οὐκ ἀσκίῳ μεντἄρ' ἐμορμολύττετο
αὐτούς, .. ει τάδ' ἔστ' ἀληθῆ ...

COD. 94 ἀποβαλλόμεθα 1601 |θην 3 ὑδρεία 4 παρακ| 19 οὐδὲ 34 cf. Eriph. com. III p. 559 43 ἀξιοχρέους· οὐκ ἱκανῶς 50 οὐκαταστενεῖς 51 |αδοῦμεν 59 ἀποχρεῖ 60 ἀποτάξεις 63 καρτερία ἢ δ' εἰ 64 ἄσιμοι 65 ἐμορμολύττετ' αὐτοὺς εἶταδ' (cf. App. Prov. p. 444)

HES. 95 οὐδ' ὅγε πρίν (Α 97)· οὐδὲ οὗτος καὶ πρίν 96 οὐδ' ὄθομαι (Α 181)· οὐδὲ ἐπιστρέφομαι 99 οὐδ' ὀνομήνω (Β 488)· οὐδ' ὀνομάσω Ad 1600 [βαθμός,] 7 οὐ ἕθεν (Α 114)· οὐδαμῶς αὐτῆς 8 οὐεριδάριος· βεριδάριος 15 οὐ θέμις (Ξ 386)· οὐ δίκαιον 20 οὐ θήν (Ξ 480)· οὐ μήν. οὐ διὰ παντός 22 οὐ δειελίζω ⟨οὐκ ἀλεγίζω⟩· οὐ φροντίζω 24 οὐκ αἰδεσθείς (II Macc. IV 34)· οὐκ αἰσχυνθείς 25 οὐκ ἀθε(ε)ί (σ 353)· οὐκ ἄνευ θεοῦ. ἢ οὐ χωρὶς θαύματος 26 οὐκ ἀΐεις (Ο 248)· οὐκ ἀκούεις 27 οὐκ ἀΐοντι ἐοικώς (Ψ 430)· οὐκ ἀκούσας τὸ πρέπον 28 οὐκ ἄκοντε[ς· οὐχ] ἑκόντες (γ 484) 29 οὐκ ἀλαπαδνόν (Ε 783)· οὐκ ἀσθενές 30 οὐκ ἀλεγίζω (Δ 180)· οὐ λόγον ἔχω 31 οὐκ ἀλέγοντες (Π 388)· οὐ φροντίζοντες 36 οὐκ ἂν δή (ζ 57)· οὐδαμῶς ἄν 39 οὐκ ἀνέχομαι (Iesai. I 13 non Philonid. com. p. 422)· οὐ καταδέχομαι 40 οὐκ ἀνήει· οὐκ ἀφήει, †οὐ πρέπει 41 οὐκ ἀνήσει (Deuter. XXXI 8)· τὰ αὐτά 50 οὐ κατακτενεῖς (cf. Aesch. Cho. 923)· οὐ καταβιάσῃ. οὐ καταβαρήσει 51 οὐκ ἀπᾴδομεν· οὐκ ἀπαρνούμεθα 54 οὐκ ἀπολείπεται (Exod. V 19)· οὐκ ἀ(πο)στερεῖται 56 οὐκ ἀπορηθήσεται (Iesai. VIII 22)· οὐ χρήζει ⟨—σει⟩ 57 οὐκ ἀπορρυήσεται (Ps. I 3)· οὐ καταταχήσεται 58 οὐκ ἀποφώλια (ε 182)· οὐκ ἀδίδακτα. οὐ μάταια

παροιμία ἐπὶ τῶν καὶ τὰ κενὰ δεδοικότων· ἐπεὶ κενὸς ὁ ἀσκός

οὐκ ἄστεκτος· φορητός. οὐκ ἀβάσταχτος

οὐκ ἀσυντελές· οὐκ ἀχρήσιμον [68. 69]

οὐ κατ' ἀσυμφανές· δῆλον [71]

[ad 72] οὐκ ἀτραχής· τραχύς

οὐκ ἄωρον· κατὰ καιρόν. οὐ παρὰ καιρόν

οὐκ ἔασαν· οὐκ ἀφῆκαν

οὐκ ἔασκεν· οὐκ εἴα (cf. Ε 802) [76]

οὐκ ἐδέξατο· οὐ προσήκ(α)το [78]

οὐκ ἔην· οὐ δυνατὸν ἦν ⟨1694⟩

οὐκ εἴχουσαν· οὐχ ὑποχωροῦσαν

οὐκ εἰσῇα· (......

.......) οὐκ εἰσήρχον [83. 84]

οὐκ ἑκών (Herod. VIII 116)· οὐ βουλόμενος

οὐκ ἐλελήθεις· οὐκ ἔλαθες [87]

οὐκ Ἔμβαρος εἶ· οὐ φρονεῖς. ἀπὸ τῆς Ἐμβάρου φρονήσεως

οὐκ ἐμφορούμενοι· οὐ πληρούμενοι

οὐκ ἐναίσιμος· οὐ δίκαιος

οὐκ ἐνασπιδώσομαι (Ar. Ach. 367)· οὐ καθοπλισθήσομαι [92. 93]

οὐκ ἐνῆν· οὐκ ἠδύναντο ⟨1679⟩ [95]

οὐκ ἐνόν· οὐ δυνατόν

οὐκ ἔξωροι· οὐκ ἄκαιροι [ad 97] [98]

οὐκ ἕπεται (Iones)· οὐκ ἀκολουθεῖ [1700—2]

οὐκ ἐπιγλωττήσομαι (Ar. Lys. 37)· οὐ βλασφημήσω [4. 5]

οὐκ ἐρηρ(ε)ισμένος· οὐκ ἐστηριγμένος

οὐκ ἔσθενον· οὐκ ἴσχυον [8]

οὐκ ἔστεργεν· οὐχ ὑπέμεινεν [10]

οὐκ ἐτός (Aristoph. p. 948)· οὐ ματαίως. οὐκ ἀληθῶς

οὐκέτι· οὐχί, ἢ οὐ [13]

οὐκ εὐδιάθετος (Menand. fr. VI p. 76)· οὐ δυναμένη εὐχερῶς γήμασθαι [ad 14]

οὐκ εὐθυσκόπου (Trag. adesp. fr. 195)· οὐκ ἀκριβῶς ἢ ὀρθῶς βλέποντος

οὐκ ἐφέπετο (Eur. Hipp. 1307)· οὐκ ἠκολούθει ⟨1701⟩

οὐκ ἐφίενται· οὐκ ἐπιθυμοῦσι

οὐκ ἐφικνεῖται· οὐ φθάνει [19]

οὐκ ἥκιστα (Herod. II 10)· μάλιστα

οὐκ ἤμειψεν· οὐκ ἤλλαξεν (Eur. Bacch. 438) [22. 23]

οὐ κιχάνει· οὐχ εὑρίσκει [25. 26]

οὐκ οἷόν τέ ἐστιν· οὐ δυνατόν ἐστιν

οὐκ οἰστά· οὐ φορητά

οὐκ ὀλεῖσθαι· οὐ φθαρήσεσθαι [30]

οὐκ ὀνησιφόρον· οὐκ ὠφέλιμον

οὐκοῦν· ἐπειδή. ἢ λοιπόν

οὐκ ᾤετο δεῖν· οὐκ ἐνόμιζε συμφέρειν

οὐκ ὤν· οὐχ ὑπάρχων

οὐκ ὦπται· οὐκ ἐφάνη. οὐκ ἐγένετο

οὐ κωφεῖ (Soph. fr. 214)· οὐ βλάπτει, οὐ πηροῖ

οὐλάδες· πῆραι, θύλακοι

†οὐ λαίνει· οὐ σχολάζει

οὐλαμός (Δ 251)· τάξις στρατιωτική. θόρυβος. ἢ ἄθροισμα ⟨cf. γόλαμος⟩

οὐλάς· κριθάς (γ 441). ἐνίοτε δὲ καὶ τὸ μαλακόν, ὅ ἐστι τὸ ἁπαλόν· ὅθεν καὶ τὰ ἐπάνω τῶν ὀδόντων πάνυ μαλακὰ ὄντα οὖλα (Plat. Phaedr. 241 C) καλεῖται. καὶ ἡ γαστήρ

οὖλε (ω 402)· ὑγίαινε. ἀφ' οὗ καὶ τὸ ὑγιὲς γενόμενον ἕλκος οὐλὴν λέγουσι

οὖλα· τὰ τῶν ὀδόντων

COD. 66 οὐ φορητός 72 ἀτραχύς 73 οὐ κατὰ κ| 81 οὐκεἴσεια 88 ἐμβαρεῖ — φρονεῖ 90 ἔναιμος (Aesch. fr. 173) 1706 ἐριρισμένος 9 οὐκ 11 οὐκέτας 13 ἐπαισχύνθη cf. Suid. τυλοῦται 17 ἐπιθυμοῦνται 19 ἔχαδὲ 27 οὐκολύν 35 ὤπται 41 λέγω

HES. 68 οὐ κατὰ κόσμον (Β 214)· οὐ κατὰ τρόπον 69 οὐ καταναρκήσω (II Cor. XII 14)· οὐ κατοκνήσω 71 οὐ κατενάρκησα (II Cor. XI 8. XII 13)· οὐ κατεβάρησα Ad 72 οὐκ ἀτραχύ 76 οὐκ ἔγρυξεν (Iosu. X 21)· οὐκ ἐφθέγξατο 78 οὐκεὐείασχεν (Υ 408)· οὐκ ἤφιεν. ἐκώλυσεν 83 οὐκ εἰσμένησαν (I Regg. VI 19)· οὐκ ἐχάρησαν ⟨1722⟩ 84 οὐκ εἰῶ (Δ 55)· οὐκ ἐῶ 87 οὐκ ἐκάθισεν (Ps. I 1)· οὐκ ἐνέμεινεν 92 οὐκ ἐνδέχεται (Luc. XIII 33)· οὐ δυνατόν ἐστιν 93 οὐκ ἐνδώσει (Prov. X 31)· οὐ χαυνώσει (cf. ἐνεδίδου) 95 οὐκ ἐνήνοχά σοι (Genes. XXXI 39)· οὐκ ἀγήοχα. οὐκ ἤνεγκά σοι Ad 97 οὐκ ἄκληροι 98 οὐκ ἐπέοικεν (Δ 126)· οὐ πρέπον ἐστί 1700 οὐκ ἐπέπυστο (Ν 674)· οὐκ ἀκηκόει 1 οὐκ ἐπέφετο (Eur. Hipp. 1307)· οὐκ ἠκολούθει 2 οὐκ ἐπιεικτόν (Ε 892)· οὐ μέτριον 4 οὐκ ἐπιλήσομαι (Χ 387 Ps. CXVIII 16)· οὐκ ἐπιλαθήσομαι 5 οὐκ ἐπιτεύξεται (Prov. XII 27)· οὐκ ἐπιτύχ .. 8 οὐκ ἐστάλασεν (Agath. AP. IX 152, 2)· οὐκ ἐτόλμησεν 10 οὐκ ἔσφαλεν (Iob. XXI 10)· οὐκ ἐκινδύνευσεν 13 οὐκ ἐτυρώθη (Deut. VIII 4)· οὐκ ἐπαχύνθη ⟨1730⟩ Ad 14 ἢ εὐμαρῶς γίνεσθαι 19 οὐκ ἔχαδεν (Δ 24)· οὐκ ἐχώρησεν 22 οὐκ ἠσμένησαν (I Regg. VI 19)· οὐκ ἐχάρησαν ⟨1683⟩ 23 οὐχί (Β 238)· οὐχί 25 οὐκ ὄθεται (Ο 166)· οὐκ ἐπιστρέφεται 26 οὐκ ἐφάτην (Eur. Hec. 130)· οὐκ εἶπον. δυϊκῶς 30 οὐκ ἐτυλώθη ⟨1713⟩· οὐκ ἐπαχύνθη. οὐκ ἐτραυματίσθη ⟨ἐτρώθη?⟩

†οὐλαφηφορεῖ· νεκροφορεῖ
†οὖλαφος· νεκρός
οὐλείοιεν· ἐν ὑγείᾳ φυλάσσοιεν ⟨700⟩
οὐλή· ἐπιπόλαιον ἕλκος εἰς ὑγείαν ἧκον. ἢ χλανὶς μαλακή. ἢ σῆψις ὀστέου
οὐ λήγουσαν· οὐ παυομένην
οὔλη λευκή· θρὶξ λευκή
οὔλια· ὀλέθρια [50]
οὔλιμος· ὀλέθριος
οὐλίμων· ὀλεθρίων
?οὔλιμα· μάχη ὅταν μεμιγμένος ⟨cf. ὑλίμη⟩
οὔλιος ἀστήρ (Λ 62)· ὀλέθριος καὶ χαλεπός. λέγει δὲ τὸν κύνα
†οὐλοβάται· οἱ χολοβοί
οὐλόθυμος· σχέτλιος. δεινόθυμος [57—59]
οὐλοθυσία· τελεία θυσία
οὖλοι· [ad 61] δράγματα
οὐλομελές· [ad 62] ὑγιές, ὁλόκληρον
οὐλομελίῃ (Hippocr. 270, 30 al.)· καθόλου. συλλήβδην. ἄλλοι ἐπὶ τῆς ἀθρόας [τῆς] τῶν ὅλων φύσεως· τὸ γὰρ ὅλον οὖλον λέγει ⟨cf. κελλίων⟩
οὖλον· ποτὲ μὲν τὸ μαλακὸν (Π 224) καὶ ἁπαλόν. ποτὲ δὲ τὸ ὑγιὲς καὶ ὁλόκληρον (ρ 343). καὶ τὸ ὀλέθριον (Ε 461). κυρίως δὲ τὸ συνεστραμμένον καὶ ταραχῶδες οὖλον (ς 231)
οὖλος Ἄρης (Ε 461)· ἀντὶ τοῦ ὀλετὴρ δεινός
οὐλοχόϊον· ἀγγεῖον, εἰς ὃ αἱ ὀλαὶ ἐμβάλλονται πρὸς ἀπαρχὰς τῶν θυσιῶν
οὐλόχυτα· τὰ κατάργματα
οὐλοχύτας (Α 449)· ὁτὲ μὲν τὰ κανᾶ, ἐν οἷς τὰς οὐλάς, αἵ εἰσι κριθαί, τῶν ἱερείων κατέχεον. φαίνεται δὲ ἀγγεῖα δηλοῦσθαι· ἢ κριθὰς πεφρυγμένας [69]
οὐμαί (Lacon.)· ὑμέτεραι

οὐ μάλα κικκάς· παροιμία τὸ μηδὲν σημαίνουσα·

ἀνήτης δὲ κικκὰς οὐ μάλα φαίνεται

καὶ Στράττις ἐν Ζωπύρῳ περικαιομένῳ (p. 767)·

τῶν οὐ μάλα τέθηκα κεκυκκᾶν ἐπικρατῆ [71. 72]

οὐ μάτην· οὐχ † ἀληθῶς. Μένανδρος ἐν Ὀργῇ (p. 180)
οὐ μεθείς· οὐκ ἐῶν
?οὐ με γάμος δέ· οὐδαμῶς δὲ γάμος με (Greg. Naz.?)
οὐ μὲν οὖν (Ar. Ran. 556)· οὐδαμῶς [78. 79]
οὐ μεταψέφεις· οὐ μεταμελῇ, οὐ μετανοεῖς
οὐ μετρίως (Menand. p. 215)· μεγάλως
οὐ μήν (Soph. Phil. 811)· ἀλλὰ μήν. οὐδαμῶς
οὐ μὴν ἀλλά (Xen. ΚΠ. I 4, 8)· ἔτι γε μήν [84—87]
οὐ μόνον· οὐχ ἕως τούτου [89—91]
†οὖνει· δεῦρο. δράμε. Ἀρκάδες ⟨θῦνε⟩
οὕνεκα (Α 11)· διότι
οὕνεκα· οὐ χάριν
οὐ νέμεσις (Γ 156 Call. ep. XXII 5)· οὐ μέμψις
οὔνεσθε (Ω 241)· ὄνησίν τινα ἔχετε ⟨1750. 1802⟩ [97]
οὔνης· κλέπτης. κλεπτῶν †συνηφαρεία [99]
οὖνον· ὑγιές ⟨οὖλον⟩. Κύπριοι δρόμον ⟨θῦνον q. v.⟩
?οὔνιος· εὖνις. δρομεύς. κλέπτης ⟨1792. 98⟩ [1802—5]
οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθον ἔσθ' ὁ πλοῦς· Ἀριστοφάνης (Plut. 149). ἐπεὶ δοκεῖ τοῖς ἐς Κόρινθον εἰσπλέουσι ξένοις χαλεπή τις ἡ πόλις εἶναι, διὰ τὴν τῶν ἑταιρῶν γοητείαν. ἐσπούδαζον γὰρ ἐπὶ

COD. 46 ἐπιπόλεον — χλάνισμα λάκη 62 οὐλομενὲς 66 αἱ.λαὶ 67 οὐλοχύται? 70 οὔμαι 71 οὐμαλακικκὰς — κοκκὰς — περικαιομένω., τῶν 74 ἠλιθίως? 75 ἐῶν 76 οὐδαμὸς 77 οὔμενουν 80 μεταψεφεῖς (q. v.) 94 οὐχάριν 95 νέμησις 96 οὔνεσθαι — ἔχεται ⟨98 χλούνης?⟩ ⟨1803 ποῦ νύ τοι· ποῦ σου ἢ σοι⟩ 6 ἑτέρων

HES. 50 οὐλιᾶσθε· ὄνησίν τινα ἔχετε ⟨οὔνασθε⟩ 57 οὐλόμεναι (Eur. Phoen. 1529)· ὀλέθριαι πληγαί 58 οὐλομένην (Α 2)· ὀλεθρίαν. ἐξώλη 59 οὐλόμενος· ὀλέθριος ⟨cf. γυλός, μένος⟩ Ad 61 [οὖλα.] Ad 62 [οὐλοσελές.] 69 οὐ μά (Α 86)· μὰ τόν 71 οὐ μάν (Μ 318)· οὐ μήν 72 οὐ μ' ..ας (Ε 819)· οὐ συνεχώρεις με ⟨cod. οὐμάς⟩ 78 οὐ μέμ ⟨sic⟩ πως νῦν ἐστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης (Χ 126)· ὑπόληψιν εἶχον οἱ παλαιοί, ὡς ἐκ δρυῶν καὶ πετρῶν τῶν ἀνθρώπων γεγονότων 79 οὐ μετὰ δήν (Greg. Naz. C. XIV 1)· οὐ μετὰ πολὺν χρόνον 84 οὐ μὴν δέ (recens)· οὐδαμῶς δέ 85 οὐ μὴ πρόωμαι (Iob. XXVII 6)· οὐ παραχωρήσω 86 οὐ μήν· οὐ μόνον 87 οὐ μή σε ἀνῶ (Hebr. XIII 5)· οὐκ ἄν σε ἐάσω. οὐκ ἄν σε ἐῶ. οὐ μή σε ἐάσω 89 οὐμός (Θ 360· δ) ἐμός 90 οὐ μὴν δέ ⟨recens⟩· οὐδαμῶς δέ 91 οὐ μιᾶς (Ε 819)· οὐ συγχωρῇ 97 οὐ νέομαι (Σ 101)· οὐ πορεύ(σ)ομαι 99 οὔνομα (ς 194)· ὄνομα 1802 οὔνοσθε (Ω 241)· ὄνησίν τινα ἔχετε. κατ' εἰρωνείαν ⟨1796⟩ 3 οὔ νύ τοι· τοῦ σοῦ, ἢ σοῦ. ἢ οὐδαμῶς (Η 352) 4 οὔ οἱ· οὐδαμῶς αὐτῷ 5 †οὔου· σχεδόν (Ν 268?)

τοῦτο οἱ Κορίνθιοι, καὶ ῥαθύμως διὰ τοῦτο διῆγον [7]

οὐ παρεξήνεγκεν· οὐ παρῆλθεν

οὐ παρομαρτεῖ· οὐ παρακολουθεῖ

οὐ πεπλασμένον· ἄπλαστον (Aesch. Prom. 1030)

(οὐ πέρα λόγου [Cratin. fr. VI p. 60]· οὐχ ὑπὲρ λόγον) 1942 [11]

οὐ περιέσται· οὐ περιγενήσεται [13]

οὐ πολιᾷ· οὐ γηράσκει [15—18]

οὐ προσήκαντο· οὐ προσεποιήσαντο

οὐ προσίεντο· οὐ προσεδέχοντο. οὐκ ἠρέσκοντο

οὐ προσίεταί μοι (Ar. Eqq.)· οὐκ ἀρέσκει μοι [22]

οὐ πρὸς σέ· οὐ κατὰ σέ. οὐκ ἄξιόν σου

οὐ προτιμᾷ[ν]· οὐκ ἔχει λόγον [25. 26]

οὐρά (Soph. fr. 970)· ἡ κέρκος. καὶ τὸ αἰδοῖον (Eupol. fr. LXXXVI) [28]

οὐρά· ὅρια. τὸ τῆς στρατιᾶς τέλος [30]

οὐραγία· στρατηγίας οὐρά, τουτέστι τὸ τέλος τῆς στρατιᾶς καὶ τῆς τάξεως

οὐράγιον· ἔσχατον

οὐραγός (Xen. ΚΠ II 3, 22)· τῆς οὐρᾶς ὁ ἔσχατος ἡγεμών. καὶ τοῦ εὐωνύμου κέρατος φύλαξ· ὁ δὲ τοῦ δεξιοῦ δεξιοφύλαξ

οὐ ῥᾴδιον (Eur. Hec. 664)· οὐκ εὐχερές [35]

οὐ ῥᾳδίως· κακῶς. Θουκυδίδης (VI 57)

οὐρανίαν· ὅταν τὴν σφαῖραν ἀναβάλωσιν. καὶ τὴν τοιαύτην δὲ καθόλου παιδιὰν οὐρανίαν καλοῦσι καὶ οὐρανίζειν. παρὰ τοῦτο οὖν ἔπαιξεν Ἀριστοφάνης (Vesp. 1492. 1530) [38]

οὐρανίδην· ἀπὸ τοῦ [ad 39] οὐρανοῦ

οὐρανία αἴξ (Cratin. fr. XXI p. 160)· ὡσεὶ λέγοι τις τὸ τῆς Ἀμαλθείας κέρας. ὅ τι γάρ τις εὔξαιτο, ἐλάμβανεν ὁ ἔχων τοῦτο. ἐπήκοος δέ ἐστιν αὐτή. ἴσως, ὅτι κατ' ἐνίους ἡ Σελήνη τῇ αἰγὶ ἐποχεῖται. ταύτῃ δὲ τὰ γύναια ηὔχετο διὰ τὸ καὶ αὐτὴν ἐπὶ τῷ Ἐνδυμίωνι τὰ αὐτὰ παθεῖν, ὅθεν καὶ εὐκταίαν φασὶν αὐτὴν ἔνιοι

οὐρανίζετο (Aesch. fr. 427)· πρὸς τὸν οὐρανὸν διϊχνεῖτο

οὐράνιον ἄχος (Soph. Ant. 418)· τὸν κονιορτόν. δηλοῖ δὲ καὶ τὸ μέγα, καὶ ὑψηλόν

οὐράνιοι (Eur. Hel. 1499)· οἱ τὸν οὐρανὸν κατοικοῦντες

οὐρανίωνας (Ε 373)· τοὺς ὑπὸ τὴν Οὐρανοῦ ἀρχὴν τεταγμένους [45]

οὐρανομήκη (Poet. Plut. Mor. 455 D)· ὑψηλὸν λίαν

οὐρανός (Θ 16)· ὁ κατηστ(ε)ρισμένος τόπος. Πέρσαι δὲ τὰς βασιλείους σκηνὰς καὶ αὐλάς, ὧν τὰ καλύμ(μ)ατα κυκλοτερῆ οὐρανούς .....

οὐρανοσκόπος· ἰχθῦς ποιός

οὐρανοφοιτᾶν· ἐν οὐρανῷ διατρίβειν

οὐ ῥᾷστα· οὐκ εὐχερῆ

†οὐρδικος· ἐπιφερομένου [52. 53]

οὐρέας· ἡμιόνους

οὐρεῖς· φύλακες [56]

οὐρεσίφοιτος· ἐν τοῖς ὄρεσι πλανώμενος

οὐρῆας (Α 50)· ἡμιόνους, παρὰ τὸ ὀρούειν, ὁρμητικούς τινας ὄντας· ἢ ἐπεὶ οὐρ[ε]ῖον τὸ ζῷον, οἷον ἄγονον. οἱ δὲ οὐρήων (Κ 84) τῶν φυλάκων

οὔρια· †νενιμένα ⟨ἀνεμιαῖα?⟩. ἢ ὀξέως πνέοντα: ἢ ἄγρια ⟨οὔρεια⟩

οὐρίαχον (Ν 443)· τὸν σαυρωτῆρα. ἔστι δὲ σιδήριον ἐγκεχαμμένον εἰς τὸ ἕτερον μέρος τοῦ δόρατος

οὐρίζει· †ὑπεριφέρει. ἢ ὁρίζει

οὐρίη· ὀπισθία ⟨οὐραίη?⟩

οὐρίθρεπτα(ν Eur. Hec. 204)· ἐν ὄρεσι τραφέντα

οὐριομβῖχον (Antisthenes)· τὴν ἀμίδα. ἢ οὐροδόχην

οὔριον (Eur. Hel. 1663)· σωτήριον. ἢ ὄπισθεν πνέον

COD. 8 παρεξένεγκεν 14 cf. πολιά 29 ὅρια ἀπὸ 37 σαίραν — παιδείαν — οὐρανιάζειν 40 οὐρανίδαιξ — ἐπίκοος — τὸ ἐνδύμιον 43 τῶν οὐρανῶν 45 οὐρανό^σ^ι (49. 57 Greg. Naz.?) 60 σαυρο| 64 οὐριομβιχόν 65 σωρίον cf. πνεῦμα οὔριον

HES. 7 οὐ παρελεύσεται (Prov. VIII 29)· οὐ παρέλθῃ. οὐ παραλείψει (Α 132) 11 οὐ περανοῦσιν (I Reg. XII 31)· οὐ τελειοῦσιν 13 οὔπιθη (Ν 309)· οὐδαμοῦ 15 οὔποτε (Α 234)· οὐκ ἄν ποτε, οὐδέ ποτε 16 οὐ προσαμύνει (Ε 139)· οὐ βοηθεῖ 17 οὐ προσείλοντο (Prov. I 29)· οὐκ ἠθέλησεν 18 οὐ προσεποιήσαντο (Iob. XIX 14)· οὐκ ἠγάπησαν 22 οὐ προσώχθησαν (Ps. XXI 25 Levit. XXVI 43)· οὐκ ἀπεστράφησαν 25 οὔπω (Α 224)· οὐδέπω 26 οὔπω ποτέ (Α 106)· οὐδέ ποτε 28 οὖρα (Ψ 431)· ὁρμήματα 30 οὐραγεῖν (Sirac. XXXV[II] 11)· ὑστερίζει 35 οὐραγίαν (Deuter. XXV 18)· τὴν ὄπισθεν ἀκολουθοῦσαν στρατιάν 38 οὐραί ⟨1827⟩· ἡ κέρκος. καὶ τὸ αἰδοῖον Ad 39 οὐνοῦ ἢ 45 οὐρανόθι (πρὸ Γ 3)· πρὸ τοῦ οὐρανοῦ 52 οὔρεα (Ν 18)· 53 οὐρέα (Υ 101)· 56 οὔρεος, ἐμβήσησις (Λ 87)· ἐν τοῖς βασίμοις τόποις τοῦ ὄρους: ἐπιτήδειος ἄνεμος ⟨οὔριος⟩

?οὐράνιον νέφος (Cratin. p. 94)· κατ' οὐρὰν ὄπισθεν ἐρχόμενον. ἢ ὑπὸ οὔρων ἐλαυνόμενον

οὔριος· ἐπιτήδειος, ἐπιδέξιος ἄνεμος (Thuc. VII 53) [68]

οὐρίσαι· ὁρίσαι. παρασκευάσαι

οὐροδόχην (Xenoph.)· τὴν ἀμίδα

οὖρος (γ 176)· ἄνεμος [72. 73]

οὖρος· βασιλεύς. φύλαξ. σωτήρ [75]

οὔρους· φύλακας: ἢ τὰ ν(ε)ώρια. τὰ περιτειχίσματα. ἢ τὰ προορίσματα τῶν πλοίων, ἢ τὰ ὁρμητήρια, δι' ὧν καθέλκονται (Β 153) [77. 78]

οὖσα (Lycoph. 20)· σχοινία, νεὼς ὅπλα

οὖς Ἀφροδίτης (Antig. Caryst.)· οἱ ἁλιεῖς ⟨Αἰολεῖς⟩ ὄστρεόν τι οὕτω καλοῦσιν [81]

†οὐ σθενῶς (Eur. Alc. 267?)· οὐκ ἰσχυράν

οὐσία· ἐξουσία. οὐσιότης. πλοῦτος. ὕπαρξις. εἶδος ὑφεστός, βίος. κτῆσις

οὐσιώδης· ὢν ἀεὶ ἐν αὐτῷ κατ' οὐσίαν [85. 86]

οὐ συγγινωσκόμενοι (Herod. VI 140)· οὐ συγκατατιθέμενοι

οὐ σύ (Ar. Lys. 749)· μὴ σύ [89]

οὐ συνέστορα ⟨συνιστορῶ?⟩· οὐκ οἶδα [91]

οὐ σὺν ἱδρῶτι· οὐ σὺν καμάτῳ

οὐ σχολαίτερον (Thucyd. II 75)· ταχέως [94—1900]

οὔτε τῳ (Trag. alt.)· οὔτε τινί [2]

οὔτι· οὐδέν [4—9]

οὔτινος οὖν· οἵου δήποτε

οὔτι που (Soph. Phil. 1233)· οὐδαμῶς

οὔτις· οὐδείς (Eur. Cycl. 672): ἢ εἶδος ὀρνέου ⟨οὐτίς⟩ [ad 12] [13—18]

οὕτως· τοιούτως, ὁμοίως

οὑτωσί· οὕτως. Οὕτω δὲ χωρὶς τοῦ σ̄, ὅτε σύμφωνον ἐπιφέρηται [ad 20]

οὐ τῷ τυχόντι· οὐ τῷ μικρῷ. οὐ τῷ οἵῳ δήποτε

οὐ φατῷ σ'· ἀφάτῳ σε

†οὐ φαικά· οὐκ ἀρεστῶς. οὐ κούφως

οὐφέλλαν· γῆν τὴν εἰς τὰ ἱμάτια

οὐφίδρωμα· τοῦ σάγματος ἡ πρὸς τῇ πλευρᾷ διφθέρα [26. 27]

οὐ φροντὶς Ἱπποκλείδῃ· παροιμία, ἧς μέμνηται καὶ Ἕρμιππος Δημόταις (fr. VI). †μὴ πρὸς ὀργὴν ὁμιλεῖν. καὶ ἀντὶ τοῦ ἐμοί

οὔχ· οὐχί. οὐχ οὕτως

οὐχ ἅζομαι (Eur. Alc. 338 al.)· οὐ σέβομαι. οὐκ ἐντρέπομαι

οὐχ ἅλις· οὐχ ἱκανῶς [32. 33]

........· οὐ καθέδρας φροντίς (Bacchyl. fr. 23) [35. 36]

οὐχί (Call. ep. XXXI 3)· οὐδαμῶς. οὐ δῆτα

οὐχ ἑκών (Eur. Bacch. 441)· οὐ βουλόμενος, οὐ θέλων [39]

οὐχ ἕπ(ε)ται (Theognid. 164)· οὐκ ἀκολουθεῖ ⟨1699⟩

COD. 66 cf. Phot. 361, 14 et edit. mai. 83 ὁσιότης 87 οὐσυγγινοσκόμενοι 92 cf. σὺν ἱδρῶτι 22 φατῶς, ἀφάτως 23 οὔφεκα; cf. φαικά, φαικῷ 25 Θὐφίδρωμα (δ) an τοὐφίδρωμα? 28 ἱπποκλή 30 οὐχάζομαι 34 καθέδρα οὐ

HES. 68 Οὐρίας· φωτισμὸς θεοῦ 72 ὄριον· φυλακή. σημεῖον 73 οὖρον ἀρούρης (Φ 405)· ὅρον τῆς χώρας 75 οὖρος Ἀχαιῶν (Θ 80)· τὰ αὐτά 77 οὕς· ἄρθρον ἀρσενικὸν πληθυντικόν, πτώσεως αἰτιατικῆς, οὓς ἑτέρους στέλλοντα (Δ 294) οὕστινας. καὶ ἀντωνυμία τρίτου προσώπου 78 οὖς· ὠτίον ⟨Moer. 288⟩ 81 οὖσσε (π 202)· οὐ δή σε 85 οὕς ῥα (Ω 574)· οὓς δή 86 οὐσιώσαντος (Greg. Naz.)· τὸ ἡνωμένον ἄκρως ⟨ad οὐσιώμενον⟩ 89 οὐ συμβαίνει (Luc. V 36)· οὐ συμφωνεῖ 91 οὐ συνέσχεν ὀργήν (Soph. El. 1282 Bgk.)· οὐ κατεκράτησεν ὀργήν 94 οὖτα (Ν 192 al.)· ἔτρωσεν. ἔπληξεν. ἐκέντησεν 95 οὐτάζοντο (Η 273)· ἐτιτρώσκοντο 96 οὐτάμεναι (Φ 68)· τρῶσαι 97 οὔτ' ἄρ (Α 93)· οὐ δή 98 οὔτ' ἄρ φρένας (Α 115)· οὔτε κατὰ σύνεσιν 99 οὐτάσαι (Ξ 424)· τρῶσαι, ἐκ χειρὸς νύξαι 1900 οὔτασεν (Ε 56 al.)· ἔβαλε καὶ τὰ ὅμοια 2 οὐτιθείς (Θ 537)· τρωθείς 4 οὔτι (Α 153)· οὐδαμῶς 5 οὐτιδανός (Α 293 al.)· οὐδαμινός. ἀσθενής. ἄψυχος. οὐδενὸς ἄξιος οὐδὲ λόγου 6 οὔτι κρατεῖ γε (Η 142)· οὐ τῇ δυνάμει 7 οὔτι μάλα δήν (Α 416)· καὶ οὐκ ἐπὶ πολύ 8 οὔτι μέλ[λ]ει (Β 338)· οὐ μέλ[λ]ει 9 οὔτι μοι ὔμμες (Α 335)· οὐκ ἐστέ μοι ὑμεῖς Ad 12 καὶ οὐρανός ⟨οὖλιξ⟩ 13 οὔτοι ἀπόβλητον (Β 361)· οὐκ ἀποβληθῆναι ἄξιον 14 οὐτόν (Γ 417)· κακὸν μόρον, θάνατον 15 οὗτος· τοῦτος ⟨L. οὑτοσί· οὗτος⟩ 16 οὑτοσί· διὰ τοῦ ῑ, καὶ ὁδί 17 οὖταρ (Α 115)· οὔτε δή 18 οὐτρηρῶ (Δ 321)· δραστικοί. σπουδαῖοι Ad 20 Τέσσαρα σημαίνει τὸ ὁμοῦ· χρόνον· τόπον· ἐγγύτερον· ἀριθμόν 26 οὐ φοιβήσεται (Deuter. XIV 1)· φοίβοι ἐστι τὸ ἐπὶ νεκρῷ ἢ δαιμονικῷ μαντεύεσθαι 27 οὐ φορητόν (Greg. Naz. vol. II p. 29 A)· μέγα. βαρύ. οὐκ ἐλαφρόν. οὐ βασταχτόν 32 οὐχάζεις· οὐ πιέζεις συνεχῶς 33 οὐχ ἕδος (Ψ 205)· οὐ καιρὸς τοῦ καθέζεσθαι 35 οὐχ εἶκων· οὐχ ὑποχωρῶν 36 οὐχ ἥκιστα· μάλιστα ⟨Moer. 281⟩ 39 οὐχιαί· φωλεοί

οὐχ οἷόν τέ ἐστιν (Ar. Nub. 198)· οὐ δυνατόν ἐστι [42]

οὐχ οἷοί τε (cf. Herod. VIII 68, 2)· οὐ δυνατοί

οὐχ οἷός τε εἰπεῖν· μὴ δυνάμενος εἰπεῖν

οὐχ ὁρέοντα· οὐ ζῶντα [46—49]

οὐχ ὑφίεται· οὐκ ἐνδίδωσιν [51]

ὄφατα· δεσμοὶ ἀρότρων. Ἀχαρνᾶνες

ὀφείλει· δεῖ γενέσθαι κατὰ ἀνάγκην

ὀφειλή· χρέος, δάνειον. ἀνάγκη [55]

ὄφεις· τὰ δρακοντώδη γινόμενα ψέλλια. Μένανδρος Παρακαταθήκῃ (fr. VIII) τοὺς ὄφεις, λέγει, καλῶς γέ μοι ἠγόρασας [57]

ὀφέλλειν (Π 631)· αὔξειν [ad 58] [59]

ὄφελες (Δ 415)· ὤφειλες. ᾧ συζυγεῖ τὸ ὄφελον (Σ 367) καὶ ὄφελε (Call. epigr. XVIII 1). καὶ ἐπίρρημα, ὅπερ ἔχει χαρακτῆρα ὁριστικοῦ παρατατικοῦ· ὅμοιον γάρ ἐστι τῷ ἔλεγον, ἔλεγες

ὀφέλλουσα· θρασύνουσα. σώζουσα. παρασκευάζουσα (non Δ 445)

ὄφελμα· αὔξημα (Soph. fr. 971). κάλυμμα. κάλ(λ)υντρον (Hipponact. fr. 61)

ὀφέλμασι· σαρώμασιν [64]

ὄφελος· αὔξησις. ὄνησις. ἐπικούρημα. κέρδος

ὄφελτρον· κάλλυντρον (sch. Lycoph. 1165)

ὀφθαλμιᾶσαι· φθονῆσαι. ἐπιβαλεῖν ὀφθαλμόν

ὀφθῇ (cf. Eur. Bacch. 823)· εὑρεθῇ. φανῇ

ὀφθαλμὸς βασιλέως (Ar. Ach. 92)· ὁ πεμπόμενος κατάσκοπος

Ὀφικοί (Plat. Epist. XIII p. 484, 15 Bkk.)· οἱ νῦν Ὀπικοί

ὀφιδεύειν· σχολάζειν, διατρίβειν, ὀκνεῖν ⟨7489⟩ [72. 73]

ὀφιομάχος· ἰχνεύμων [ad 74]

ὀφίουρος· ὄρνις ποιὸς ἐν Αἰθιοπίᾳ

Ὀφιοῦσσα· ἡ Ῥόδος· διὰ τὸ πλῆθος τῶν ὀφέων

ὄφις· ποιὸς ἰχθῦς. καὶ τὸ χρυσοῦν περιβραχιόνιον (Menand. p. 184). καὶ ὁ δράκων ὁ φυλάσσων τὰ χρυσᾶ μῆλα, ὃν ἀπέκτεινεν Ἡρακλῆς (Soph. fr. 207) [78]

ὀφλάνειν· ὀφλισκάνειν. ὀφείλειν [80]

ὀφλεῖν· ὀφείλειν ἐκ καταδίκης

ὄφλημα (Dem. 998, 25)· χρεώστημα

ὀφλήμασι· χρεωστήμασιν [84]

ὀφλήσουσι· χρεωστήσουσιν

ὀφλισκάνοντες· χρεωστοῦντες. ὑπομένοντες

ὀφλοί· [ad 87] ὀφειλέται. ὀφειλαί

ὀφνίς (Cyprii?)· ὕννις, ἄροτρον

ὄφρα (Apoll. lex.)· ἵνα, ὅπως. ἕως, μέχρις. ἐάν [ad 89] [90—93]

†ὄφρυα· τὰ ὑψηλὰ καὶ ὑπερκείμενα χωρία. τινὲς αἱμασιάς

ὀφρυάζε (Amips. com. p. 712)· ταῖς ὀφρύσι νεύει

ὀφρυγνᾷ· ὁμοίως. Βοιωτοί [ad 96]

ὀφρύη (Eur. Heracl. 394)· χῶμα. λόφος. αἱμασιά

ὀφρύχνηστον· ἐρυθριῶντα. οἱ γὰρ ἐρυθριῶντες κνῶνται τὰς ὀφρῦς

ὀφρυόεντα (Herod. V 92, 2)· λοφώδη. ὑψηλόν

ὀφρυόεντες· ὑπερήφανοι

ὀφρυόεσσα· ὑψηλή. ἀλαζών. ἐφ' ὕψους καὶ ἄκρας κειμένη (Χ 411?)

†ὀφρύει (Eur. Heracl. 394)· μετέωρον

ὀφρῦς· τὰ κρημνώδη καὶ τραχέα τῶν ὀρῶν. καὶ ἔπαρσις, ὑπερηφανία

COD. 52 cf. ὄφνις 53 ὀφείλη, δὴ 56 πκαταθήκην (e supra) ⟨Moer. 288⟩ 57 ὀφελεῖ 60 καὶ ὄφελον — τὸ ἐλ| 61 ὀφελοῦσα (ϊ infra) 68 ὀφέλμωσι (cf. ἄφελμα) 70 ὀφιγοί — ὀπτικοί 71 οἰκεῖν 76 ὄφηους, ἡρόδοτος 81 ὄφλειν 82. 84. 85. 86 χρεοστ| 94 ὑποκείμενα — ἀμασίας 96 ὅλως 97 ὀφρυγή, χρῶμα — αἱμασιάαι

HES. 42 οὐχ ὑπὲρ ἀλόγου· οὐχ ὑπὲρ λόγον (cf. Cratin. fr. VI p. 60) 46 οὐ χραισμεῖ (Α 28)· οὐ βοηθεῖ 47 οὐ χρή (Β 24)· οὐ δεῖ 48 οὐχ ὑπέλειπω (Genes. XXVII 36)· οὐχ ὑστέρησας. οὐ κατέλειπας 49 οὐχ ὑποίσω (Iob. XXXI 23)· οὐχ ὑπενέγκω. οὐ βαστάζω 51 οὐχ ὑφίσταται (Prov. XIII 8)· οὐχ ὑπομένει, οὐχ ὑποφέρει 55 ὀφειλέτης (Matth. XVIII 24)· χρεώστης 57 ὀφέλλει (Γ 62)· ὠφελεῖ. αὔξει Ad 58 καὶ ὀφέλλειεν (Π 651) 59 ὀφέλλεται (γ 367)· αὔξεται 64 ὄφελλον (θ 312) ὤφειλον ⟨L. ὄφελον⟩. εἴθε. μακάρη ⟨rec.⟩ 72 ὀφικιάλιος (officialis) 73 ὀφειλόντως· πρεπόντως. δεόντως Ad 74 καὶ ἀκρίδων γένος, μὴ ἔχον πτερά (cf. Levit. XI 22) 78 Ὄφλα (Nehem. III 27)· ὄνομα χωρίου, ὅπου ἦν τεῖχος Ἱερουσαλήμ 80 ὀφλεῖ ⟨recens⟩· ὀφείλει 84 ὄφλησιν (Baruch. III 8)· χρεώστησιν Ad 87 ὀφειλοί Ad 89 τόφρα 90 ὄφρα εἰδῆτε (Δ 249). ὅπως εἰδῆτε, ἵνα θεάσησθε 91 ὄφρα μὲν οὖν (Ι 546)· ἕως μὲν οὖν 92 ὄφρ' εὖ ἴδω (Α 515)· ὅπως καλῶς ἴδω (cf. Σ 63) 93 ὄφρ' ἄν (ρ 10)· ἕως ἄν Ad 96 οἱ δὲ μέσον, καὶ ὑψηλόν ⟨σιμόν ad ὀφρυόεν⟩

ὄχα (Γ 110)· ἐξόχως [2005]

ὄχανον· ὁ τῆς ἀσπίδος πόρπαξ (Herod. I 171). καὶ ὁ δεσμός. καὶ ὅπου ἐμβάλλουσι τὰς τρίχας ⟨χεῖρας⟩

ὀχάνοις· δεσμοῖς· ἀπὸ τοῦ συνέχειν. ἔνθεν καὶ τὸ ὀχμάζειν [8]

ὀχᾶσθαι (Trag. inc. fr. 196)· ἀνάλλεσθαι. ὁ λόγος ἐπὶ Ἀχιλλέως· οὐ †βαρυσκέλης ποιεῖ ὁ τῶν νεβρῶν μυελός

ὄχεα (Hom.)· ἅρματα, ὀχήματα [11. 12]

ὀχεία (Ar. HA. VI 20)· ἡ μίξις, καὶ ἡ συνουσία

ὀχεῖα πόντια (Trag.)· ἡ ἄγκυρα. παρὰ τὸ ὀχεῖν ἐν τῷ πόντῳ τὰς ναῦς

ὀχεῖον· ἅρμα. καὶ τὸν εἰς ὀχείαν ἀνειμένον, Ἀττικοί

ὀχεῖς· κλεῖθρα. Κερκυραῖοι

ὀχεῖται· μετέωρος φαίνεται ⟨φέρ—⟩ [18]

ὀχέοντες· ἐν αὐτοῖς ἔχοντες [20. 21]

ὀχετεύει· ἐπιχέει. †σαλεύει. μεταφέρει [23]

ὄχετλα· τὰ ὀχήματα. οἱ δὲ τὰ συντεθραυσμένα

ὀχετός· σωλήν, ἀγωγός, ῥύαξ. ὕδωρ. ὑδραγωγεῖον. οὐ χείμαρρος, ἤγουν αὖλαξ, ἀλλ' ἀεὶ ῥέων [26]

Ὀχή· (τρ)ώγλη (cf. Arat. 956). τροφή. καὶ ὄρος Εὐβοίας. καὶ τροχός ⟨cf. ὀχῶν⟩ [28]

ὀχῆες· οἱ συνέχοντες τὴν θωρακοζώνην κρίκοι (Δ 132). καὶ οἱ μοχλοί (Μ 455)· ἀπὸ τοῦ συνέχειν

ὄχημα (Eur. Rhes. 621)· ἅμαξα, ἅρμα, δίφρος

ὀχῆς (Attici)· οἱ μοχλοί

ὄχησις (Plat. Civ. V p. 452 C)· ἱππασία. φόρησις [ad 32]

ὀχήσομαι· βασταχθήσομαι

ὄχθα· χεῖλος ποταμοῦ. ἢ ὄχθαι (Hom.)

ὀχθᾶσθαι· ἀπὸ τοῦ ὄχθη. οἱ γὰρ στένοντες ἑαυτοὺς μετεωρίζουσιν

ὀχθεῖ· στένει, στενάζει

ὄχθη (Φ 17)· χεῖλος ποταμοῦ [38]

ὀχθήσας (Α 517)· στενάξας. βαρυνθείς· ἄχθος γὰρ βάρος. ἢ μετεωρισθεὶς τὴν ψυχήν, ἀπὸ τῶν ὄχθων, ὅ ἐστι τοῦ ἀναστήματος

ὄχθησις· θόρυβος, τάραχος

ὄχθοι· αἱ τραχεῖαι ....... καὶ δύσβατοι τόποι. καὶ αἱ ἐξοχαὶ τῶν πετρῶν

ὄχθοιβοι (Aristoph. p. 1078 Pherecr. p. 296)· περιάπτειν τινὰ εἰώθασι περὶ τοὺς χιτῶνας, ἃ καλοῦσιν ὀχθοίβους· εἰσὶ δὲ τὰ λεγόμενα λώματα

ὄχθος· κρημνός. πέτρα. τὸ ὑψηλὸν τοῦ ποταμοῦ ἢ τῆς γῆς. ἢ τὸ ἀπόκρημνον στόμα τῆς θαλάσσης. κυρίως δὲ ποταμῶν καὶ †κροχρημένων

ὀχλαγωγῆσαι· θορυβῆσαι, ἢ συναγαγεῖν ὄχλον, ἢ ταράξαι

ὀχλεῖ· στένει. λυπεῖ. κωλύει μετὰ ὄχλου

ὀχλεῦνται· [ad 45] κυλινδοῦνται

ὀχλεύονται· ὁμοίως

ὀχλεύς· μοχλός. στρόφιγξ. δεσμός. †ἅρμα. †πομπή

†ὄχλησις· σχολή

†ὀχλημῶν· μοχλῶν [50]

ὀχλίζειν· κινεῖν· μοχλεύειν

ὀχλιζομένων· συναγομένων [53. 54]

ὀχλόλογος· κατάλογος λαοῦ

ὄχμα· πόρπημα

ὀχμάζει (Eur. El. 817)· [ad 57] βαστάζει. ἐρείδει. θάλπει. συνέχει, κατέχει, πιέζει

ὀχμοί· σταχύων φυτεῖαι [59. 60]

ὀχοί (ε 404)· οἱ συνέχοντες τὰς ναῦς

πάσατο· ἐγεύσατο. ἐκτήσατο [57. 58]

πᾶσις· κτῆσις

πάσκος· πηλός

πάσμα· ᾧ συνήρτηται πρὸς τὸ φυτὸν τὸ φύλλον. ἔνιοι μαλλὸν ἐρίου ⟨πέσμα⟩

πάσορ· πάθος. Λάκωνες

πασπάλη (Ar. Vesp. 91)· τὸ τυχόν. οἱ δὲ κέγχρον· ἢ ἄλευρα κρίθινα

Πασπάριος· ὁ Ἀπόλλων· παρὰ Παρίοις καὶ Περγαμηνοῖς

πασσακίζουσα· πασσαλεύουσα

πασσακίῳ (Ar. Ach. 763)· πασσάλῳ

πάσσακον· πάσσαλον

πάσσαλερ (Lacones)· σφῆνες

πασσάλιον· τοῦ ζυγοῦ τῆς κιθάρας τὸ μέσον

πασσαλόφιν (Hermipp. com. p. 402)· τοῦ πασσάλου. ὁ δὲ σχηματισμὸς Βοιώτιος

†πασσάριος· σταυρός

πάσσε (Ι 214)· συνήθως ἡμῖν·

πάσσε δ' ἁλὸς θείοιο κρατευτάων

καὶ ἐνεποίκιλλε (Γ 126)·

πολέας δ' ἐνέπασσεν ἀέθλους

ἔνθεν καὶ παστὸς τὸ γαμικὸν ποίκιλμα

πάσσεται· ἐσθίει

Πάσσιρος· ὁ τὴν Εἰρήνην κτίσας Ὑπερβόρειος. ἐκαλεῖτο δὲ Εἰρήνη καὶ Πελαγοῦ(σ)σα

πάσσονα (ζ 230 θ 20)· παχύτερον, ἢ πλατύτερον. καὶ πάσσους † εἶναι [76]

πασσυδίᾳ (Eur. Tro. 792 Xen. Hell. IV 4, 9)· ὁμοῦ πάσῃ σπουδῇ, ἢ ὁρμῇ. τινὲς δὲ πανδημ(ε)ί

πασσυδίῃ (Β 12)· ὁμοίως

†πασσύριον· ἀντὶ τοῦ πασσυδίην. Αἰολεῖς. τὸ πασσύριον ἡμῶν ἁπάντων γένος (Bergk. Lyr. p. 1055, 64)

πασσύρως· ἄρδην. πανοικί [81]

COD. 19 ὕμνιδι 23 *Ranulae*, partes in media ungula tenerrimae 27 παρφδοῦντες 38 παρεωρῶτο 40 παρὰ καιρὸν 41 ἀποθήσας 44 παροσμένων, δεδιωμένων 51 πασσάμενος 54 πάσσανος — ἀρτώπτης 61 cf. μίσχη τὸ τοῦ φυτοῦ φύλλον 62 πάσον 68 σφῆκας 72 ἄλλος θεῖοι κρατευτῶν 74 κτήσας ὑπερβύριος

HES. 21 παρφάμενος (Μ 249)· παραπείσας. εἰπών. παρηγορήσας Ad 35 παρώπαλα· τὰ περὶ τοῖς ὀφθαλμοῖς 36 παρόπανος· ἐμβρόντητος Ad 37 παρὰ τοῖς ὀφθαλμοῖς 43 παρώσατο (II Macc. IV 11)· ὤσατο. καὶ ὤθησεν 45 παρώτρυναν (Act. Ap. XIII 50)· παρώξυναν 46 παρῴχετο (Δ 272)· παρῆλθεν. ἐπορεύετο 49 πᾶς (Ο 537)· ὅλος. ἕκαστος Ad 51 γευσάμενος (α 124) 53 πᾶσαν ἐπ' αἶαν (Θ 1)· πᾶσαν τὴν γῆν 55 πάσσασθαι (π 384 non Soph. A. 202)· γεύσασθαι 57 πασάτω (Exod. IX 8)· ῥανάτω 58 πασιδέκεν (Δ 95)· περὶ πάντων δέ 76 πάσσοντος (Ps. CXLVII 16)· εἰς ἀέρα χέοντος, ἢ σκορπίζοντος, ἢ ῥίπτοντος ⟨1081⟩ 81 πάσσων· ῥίπτων. χέων. σκορπίζων ⟨1076⟩. ἐμπάσσων (Ε 401. 900)

πάστα (Aristoph. p. 1184 Eupol. fr. CVIII*)· βρῶμα ἐκ τυροῦ ἁπάλου μετὰ σεμιδάλεως καὶ σησαμίου σκευαζόμενον. οἱ δὲ ἔτνος ἀλφίτοις μεμιγμένον

παστάδες· παστοί, στοαί. καὶ τῶν ἀμπέλων αἱ συστάδες. καὶ τόποι, ἔνθα ἐδείπνουν, ἀπὸ τοῦ πάσ[σ]ασθαι. ἴσως δὲ καὶ οἱ διαγεγραμμένοι οἶκοι· πάσαι γὰρ τὸ ποικῖλαι. καὶ ἔτνος ὅμοιον

†παστάξ· πάσσαλος

παστάς· στοά. προστάς. παστάδας (Herod. II 148 Xen. Mem. III 8, 9)· νυμφῶνας

παστήρια· σπλάγχνα. τὰ ἐντοσθίδια. κοιλία [87]

†πασχαλκεύς· πολύτεχνος

πασχητιᾷ· πάσχειν θέλει[ν]. ἢ ἀκόλαστος ...., ἢ αἰσχρᾶς ἡδονῆς ἡττᾶται

παταγεῖ (Ar. Nub. 389)· ψοφεῖ. κτυπεῖ ⟨cf. λαταγεῖ⟩ [91]

Πάταικοι (Herod. III 37)· θεοὶ Φοίνικες, οὓς ἱστᾶσι κατὰ τὰς πρύμνας τῶν νεῶν

παττάλους (Ar. Vesp. 129)· πασσάλους

πάτανα (Sophro fr. 31?)· τρύβλια ⟨391⟩

πατάνια (Eubul. p. 223 Antiph. p. 39)· τὰ ἐκπέταλα λοπάδια, καὶ τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια, ἃ πέδαχνα καλοῦσι. τινὲς δὲ διὰ τοῦ β̄ βατάνια λέγουσιν

†παταπῶ· πάλαι ποτέ

Παταρ(η)ίς· πόλις, καὶ ὄρος Λυκίας

πάτασσε (Ψ 370)· ὑπὸ ἀγωνίας ἐπλήσσετο, ἐταράττετο

πατάσσει (e. c. Ν 282)· πλήσσει, κρούει. τρέμει. πηδᾷ. φοβεῖται. ἅλλεται [ad 99]

πατάσσω· ἠχῶ ⟨1090⟩. δέρω, πλήσσω

πάταχνον· σκεῦος λοπαδίῳ ἐμφερές

πατεῖσθε· ἐσθίετε

πατεῖν· πορεύ[σ]εσθαι

πατέοντο· ἐγεύοντο

πατέουσι· καταπατοῦσι [1106—9]

πατηνόν· πεπατημένον. κοινόν [11. 12]

πατηταί· οἱ τραπηταί [14. 15]

πατνή· καλὴ ὑπὸ Πάρθων

πατνώματα· στεγάσματα οἴκου ⟨φατ—⟩ [18]

πάτορες· πλούσιοι

πάτος· ἡ πεπατημένη καὶ λεωφόρος ὁδός (ι 119). καὶ ἔνδυμα τῆς Ἥρας (Callim. ap. Melet. de hom. p. 83). καὶ κόπρος

πατράδελφος· θεῖος πρὸς πατρός [21]

πατραλοίας (Philonid. com. p. 421)· ὁ τὸν πατέρα ἀτιμάζων, πατροτύπτης. καὶ τὸ μητραλοίας (οὕτω) συντίθεται

Πάτραι· πόλις τῆς Ἑλλάδος (Philemon. p. 31) [24]

πάτρην· πόλιν ἐπαρχίας. φυλήν. πατρίδα [26]

πατριαί (Herod. I 200)· φυλαί ⟨1114⟩

πατρίδι (Dem. 296, 15)· πατρῴᾳ [29—32]

πατριώτης (Nico com. p. 578)· παρὰ Ἀθηναίοις, ὁ βάρβαρος. καὶ ο(ὑ) πολίτης

πατρόθεν πορδακίδαι· ὅτι πατέρων εἰσὶν ὄνων ἡμίονοι [35]

πατρόπολις (Antiph. com. p. 129)· ἡ πατρῴα οἰκία

πατρῴζουσαι· τὰ τοῦ πατρὸς φρονοῦσαι [38—41]

πατρῷος Ζεύς (Ar. Nub. 1470)·
ναὶ ναὶ καταιδέσθη(τι) πατρῷον Δία
καὶ ἄλλοι πολλοί

†πατώσας· διατριβούσας

COD. 82 πάστα (Dor.) et παστά 83 παστάδαι 85 πρὸστὰς παστάδας νυμφῶν 86 ἐντοσθήδια (cf. ἐμπαστήρια περιστατήρια πλαστήρια πατήρια) 89 αἰσχρᾶ ἡδονῇ 92 παταϊκοί 94 τρυβλίον 95 παιδάχαια 98 ἀγῶνος 1102 πάτειθε· ἐσθίεται 4 ἐγένοντο 22 μητρο— 28 πατρῴα· πατρίδι 33 πατριότης 34 πορδικάδαι — πρων 37 πατρόζουσαι 38 πατρόϊον 40 κτένων 43 πατώμας (cf. ματᾷ)

HES. 87 παστοφόριον (Ierem. XXXV 4)· τὸ τὸν παστὸν φέρον. ἡ οἰκονομία. ἡ συναγωγή. ἡ ναὸς εὐανθής 91 πάταγος (Ν 283 Π 769)· ψόφος, κτύπος Ad 99 ἢ πατάξαι 1106 πατεύσουσι· καταφρονήσουσιν ⟨πατη—⟩ 7 πατερῆται· ἐσθίουσι ⟨πατέονται⟩ 8 πατέρες· πλούσιοι ⟨πάτορες⟩. ἡ πρόγονοι 9 πατευτικόν· θηρευτικόν ⟨παλ—⟩ 11 πατήρ· ὁ φύσας 12 πατήρια· ἐγκοί[κ]λια ⟨1086⟩. καὶ τῆς λη[μ]νοῦ μέρη τινά ⟨πατητήρια⟩ 14 πατίαι· χῶραι ⟨πατριαί⟩ 15 πάτησαν (Δ 157)· κατεπάτησαν 18 πάτον (Ζ 282)· ὁδὸν πεπατημένην 21 Παῦλος (Iesai. IX 6)· θαυμαστὸς ἢ ἐκλεκτὸς σύμβουλος 24 πατρέμβατοι· ὑψηλοί (Aesch. Suppl. 350) 26 πάτρης (Δ 30)· πατρίδος. σημαίνει δὲ καὶ τὴν ἐκ τοῦ αὐτοῦ πατρὸς γένεσιν (Ν 354) 29 πατρίδα γαῖαν (Ν 645)· πατρῴαν γῆν 30 πατρίδος αἴης· πατρῴας γῆς 31 πάτριον· τὴν [illegible] ⟨πατριώτην· οὐ πολίτην⟩ 32 πατρίς· φυλίς. πατρίδος 35 πατροκασιγνήτῳ (υ 342)· τῷ τοῦ πατρὸς ἀδελφῷ 38 πατρώϊον (e. c. Β 46)· τὸ τοῦ πατρός. καὶ ἀπὸ προγόνων 39 πατρώϊος (e. c. Ζ 215)· πατρικός 40 πατρωλοίας· ὁ τὸν πατέρα τύπτων, ἢ κτε(ί)νων 41 πάτρωνες· οἱ πρῶτοι τῶν ἀξιωθέντων τῆς Ῥωμαίων πολιτείας ὑπὸ Ῥωμύλου ἑκατὸν ὄντες, ὥσπερ δευτέρων πατέρων τάξιν ἐχόντων· καὶ ἐκ τούτου οἱ κρινόμενοι(ς) βοηθοὶ παραγινόμενοι

παύεται (Arist. fr. XC)· ἥσυχος γίνεται

παῦλα (Soph. Tr. 1257)· ἄνεσις, ἀνάπαυσις

παυνί· μικρόν. οἱ δὲ μέγα. ἢ ἀγαθόν

παῦνις· ἀπόχρεως

παῦνον· μέγα

παῦρα (Γ 214?)· ὀλίγα, εὐαρίθμητα

παυράκις (Theognid. 859)· ὀλιγάκις, ἢ οὐδὲν ὅλως

παυρακίς· τὴν πέμπτην Σαμοθρᾶκες καλοῦσιν

παῦροι· ὀλίγοι [ad 52]

παυσιβάκτρων· ἰσχυρῶν βακτηρίων χρωμένων [54]

παυσικάπη (Aristoph. p. 1072)· μηχάνημα τροχῷ ἐοικός, δι' οὗ τὸν τράχηλον εἶρον, ὡς μὴ δύνασθαι προσενεγκεῖν τὴν χεῖρα (τῷ στόματι)

Παυστήρια· ὄρη τῆς Ἀχαίας, ἐν οἷς ὁ Ὠρίων ἀπέθανε. καὶ προβλήματα, ἢ φράγματα [57. 58]

παφλάζει (Cratin. p. 136)· βράζει, ἀναζεῖ

παφλάζοντα· [ad 60]. καχλάζοντα. ἀναβράζοντα, θερμαίνοντα

π[ά]φων· κτείνας

παχείᾳ δραχμῇ· τὸ δίδραχμον. Ἀχαῖος [63. 64]

πάχητες (Hippocr.)· πλούσιοι. παχεῖς

πάχνη· ἡ ψυχρότης· ἀπὸ τοῦ πήσσειν. ἢ λεπτὴ χιών. ἢ παχεῖα δρόσος. ἢ τὸ πηγνύμενον ὕδωρ ὑπὸ ψύχους

παχνουμένης (cf. Aesch. Cho. 81)· ἀνιωμένης

παχνοῦται (P 112)· θυμοῦται. πήσσεται· παρὰ τὴν πάχνην. φρίσσει. λυπεῖται, ἀνιᾶται ⟨Greg. Naz. C. XXVIII 14?⟩

†παχή· μύρον τὸ Μενδήσιον λεγόμενον

παχυμερῶς· ἁδρῶς, παχέως

παχύνοοι· παχὺν νοῦν ἔχοντες, ἀνόητοι

παχύποδα· τὸν ὑπὸ λιμοῦ καὶ φιλαργυρίας οἰδήσαντα

παχύτερον· ἁδρότερον. οὐκ ἀκριβῶς

(παώτα· συγγενοῦς)

παῶται· συγγενεῖς. οἰκεῖοι. Λάκωνες

(παώταρ· συγγενής) cf. 40

πέαρ· Γλαυκίας λιπαρόν

πεδά (Alcae. fr. 48)· μετά. ἢ γῆ ⟨πέδον⟩

πεδάγρετον· μεταμέλητον. μεταληπτόν. ποικίλον. μεταδίωκτον

πέδαι· δεσμά. περισχελίδες. καὶ κρίκοι ἐσχυτωμένοι τῆς νεὼς τοῖς πηδαλίοις καὶ τῷ ἱστῷ

†πέδαλα· ποικίλα

†πεδαλευόμενος· μεταμελόμενος. μεταδιωκόμενος

πεδανῷ ὕπνῳ ἢ ἠπεδανῷ· κούφῳ. Ἴων Ἀγαμέμνονι (fr. 4). τινὲς δὲ οὐ βεβαίῳ

πεδανός· ταπεινός, πεδεινός. ἢ ὁ τῷ μάντει διδόμενος μισθός

πεδαοριστής· ἵππος φρυ(α)γματίας. καὶ μετεωριστής

πεδάρσιον· μετέωρον. ὑψοῦ

πέδαχνα (Alexid. p. 408)· τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια ⟨1298⟩

πεδαχνοῦται (Aristoph. p. 1063)· ἐξυπτιοῦται. καὶ τρυφᾷ

(πεδάορον· μετέωρον) 1356. 1204

πέδειλα· ὑποδήματα (Eustath. 179, 24)

πέδελθε· ἱκέτευσον. μέτελθε

πεδέλθῃ· ἱκετεύῃ. μετέρχηται

πέδευρα· ὕστερα. Λάκωνες

πέδευρον· ὕστερον. πάλιν. ὀπίσω

πέδη (Xen. Eq. VII 13. 14)· εἶδος ἱππασίας. καὶ περισκελίς. δεσμός

πέδησεν· ὑποχείριον ἐποίησεν [94]

πεδιάδα γῆν· τὴν Φωκίδα

πεδιᾶλαι· μεταπέμψασθαι. μεταβαλεῖν

πεδιακὰ πρόβατα (Lysias)· πρόβατα ἀπὸ πεδίου, καὶ οὐ λειμῶνος

πεδιάτιδες πύλαι· τὰς πλησίον τοῦ Θυμβραίου ἐν Ἰλίῳ φησί, ἅς τινες Ἐπιχηλὰς καλοῦσι

πέδιλα (α 96)· ὑποδήματα. καὶ ἔστιν οἷον ποδόειλα [1200]

πεδοίκους (Dor.)· μετοίκους

COD. 44 ἡσύχως 49 εὐρύθμητα 52 ἔλαττοι 55 ἥρωνος μὴ 56 παυστίρεια (Χίου?) 57 .κατέληξις 61 πάφων 62. 63 = 63. 62 62 |η δραχμῇ — Ἀχαιοί 63 |α χειρὶ — ἰσχύϊ 66 πεσσεῖν 69 παχήμερον 71 παχυννοὶ 74 πραῶται ⟨75 = πῖαρ⟩ 76 πέδα 80 μεταμελώμενος 81 ἢ πεδανῷ 83 πεδάρσειον, μεταίωρον 83] post 86 πεδαωριστής 84 πεδαυνά 87 πέδηλα 89 πεδελύει· ἱκετεύει, μετέρχεται 96 πεδιάλαι — μεταλαβεῖν 97 ἀποδεδία 98 πεδιά τινες, πύλαι — ἡλίῳ 99 ποδόειδα

HES. Ad 52 (παυρότεροι·) ἐλάττους. ὀλιγώτεροι (Θ 56) 54 παύσειεν (Λ 192)· καταπαύσειεν 57 παυσωλή· ἀνάπαυσις (Β 386). τελευτή. κατάληξις 58 Παφλαγόνες (Ν 656)· ἔθνος Ad 60 ἠχοῦντα (Ν 798) 63 παχείῃ χειρί (Γ 376)· τῇ ἰσχυρᾷ 64 πάχετον (θ 187)· παχύτ(ε)ρον 94 πεδῆται (Sap. Sal. XVII 2)· πεπεδημένοι 1200 πεδόθεν (ν 295)· ἀρχῆθεν, ἐκ ῥίζης, ἀπὸ γενέσεως, ἐκ παίδων

πεδοίκου χελιδόνος· συνοίκου. Αἰσχύλος Τροφοῖς (fr. 52)

πέδον· γῆ, ἔδαφος [4]

πέδορτος (Aeoles)· ἡμέρα, ἐν ᾗ οὐ γίνεται ἑορτή

Πεδῶ· ἡ νῦν καλουμένη Κλεψύδρα ⟨q. v.⟩, κρήνη ἐν ἄστει

πέζα· ἡ ἀρχὴ τοῦ ῥυμοῦ· διὰ τὸ πρὸς τῷ πέδῳ ...., ὅθεν καὶ πέζα ἱματίου λέγεται ἡ ὤα, ἢ πρὸς τῷ πέδῳ τὰ κατώτατα μέρη (Ω 272)

πεζὰς μόσχους (Eupol. fr. VI p. 489)· οὕτως ἐκάλουν τὰς μισθαρνούσας ἑταίρας χωρὶς ὀργάνου ⟨1215⟩

πεζεταίροις (Demosth. 23, 2)· τοῖς περὶ τὸν βασιλέα δορυφόροις

πεζὴ λέξις· κοινὴ λέξις

πεζήν· τὴν συνήθη, ἢ κοινήν

πεζός· κοινός. ταπεινός. Πεζοῖς δὲ τοῖς ἐκ ποδῶν πεζεύουσιν

πεζοφόροις ζώμασιν· Αἰσχύλος Τοξότισιν (fr. 242). ὥσπερ πέζαν ἐχόντων τῶν χιτώνων· τινὲς δὲ ποδήρεσι. Ζῶμα δὲ τὸ ἔνδυμα [14]

πεζῷ γόῳ (Scenic.)· τῷ ψιλῷ. καὶ πεζὰς ἑταίρας ἔλεγον τὰς μισθαρνούσας χωρὶς ὀργάνου ⟨1208⟩ [16]

πειθαρχήσαντες· πεισθέντες [18. 19]

πειθήνιοι· ὑπήκοοι, πειθόμενοι [21. 22]

πείθονται· πειθήνιοί εἰσιν (Α 79)

πειθώ· ἡ ὀγδοάς

πεικαλίμαις· ὀξείαις, καὶ λεπταῖς

πείκειν· ξαίνειν ⟨2276⟩

πεῖκος· ἔριον. ξάμμα [28. 29]

πεινέων· πεινῶν [31]

πεινῆν· πεινᾶν [33]

πειράζων· ἐνεδρεύων. ληστεύων (non ι 281) [35]

πείρᾳ δοῦσα (Menand. p. 104)

πεῖραι· πειρατ(ε)ῖαι. δόλοι

Πειραιῆς· νῆσος (h. e. δῆμος)

πειρᾶν (Menand. p. 225)· πειράζειν ......

πεῖραν ποιούμενος· πειράζων

πείραντες· ἐκκεντήσαντες

(Πειρασία [Thuc. II 22])· Ἀστέριον

πείρατα (Η 102)· πέρατα. τέλος

πειραταί· κακοῦργοι, λῃσταί. θηρευταὶ ἐν ὕδασι

πειρᾶται· [ad 44] πειράζει. ἐπὶ δὲ λῃστῶν, πειρατεύεται ⟨εὐεῖ?⟩ [45]

†πειρεᾶσθε· πειράσθητε (Aesch. Ag. 1401?) [47. 48]

πειρῆσθαι· ἔσθ' ὅτε ληστεῦσαι [50]

πειρήσοντα (Μ 301)· διάπειραν ληψόμενον [52]

πειρητίζειν· πειρᾶσθαι. †πεφυσῆσθαι. πεφοβῆσθαι [54]

Πείρηθοι· νύμφαι ἐν Κύπρῳ ⟨—ιθοι⟩

πείρινθος· πλέγμα, τὸ ἐπὶ τῆς ἁμάξης· τὸ πλινθίον, τὸ ἐπιτιθέμενον τῇ ἁμάξῃ τετράγωνον

πειρῶ (Soph. Phil. 149)· σπεῦδε. πείραζε [58. 59]

πείσαντες· ποτίσαντες, ὑγράναντες

πείσεα (ζ 124)· λειμῶνες. ἕλη. [ad 61] ποτάμιοι, π(ο)ιώδεις, ὑδατώδεις τόποι [62]

πείσει (Eupol. fr. XXIV p. 471)

πεῖσεν· ἔπεισεν [64—66]

πείσματα· σχοινία ἀπόγεια, πρυμνήσια (e. c. ζ 269). περιβόλαια

πεισόμενον (Herod. IX 37)· παθεῖν μέλλοντα

COD. 1202 αἰσχυλοτρόφοις 5 πέδοτα 8 πέζας, μόσχους 9 πεζετέροις 15 πεζολόγῳ 25 πεικαμμαῖς 26 πεικεῖν 27 πεικός 29 πεπη| 36 πειδαίρουσα, δέρουσα 37 πειρατίαι, δόλος 38. 38a post 1253 Πειριεῖς κτλ. ⟨44 cf. 1914⟩ 51 |ται — λήψονται 56 πλήνθιον (schol. Ω 190) 60 ὑγραί— 61 πείσσεα 63. 63a πεῖσεν· πείσει, ἐπ|

HES. 4 πέδουρος· μετέωρος 14 πεζῶν (Δ 274)· τῶν ὁδευόντων 16 πιθανότης· πιστότης 18 πείθεο (Α 214)· πείθου 19 πείθεσθε (ω 455)· πείσθητε 21 πειθήσας· πεισθείς 22 πειθή· πεισμονή, πίστις 28 πεικόν· πικρόν, πευκεδανόν ⟨2016. 2278⟩ 29 πειλός· πᾶν τὸ πεπιλωμένον 31 πειναρόν· ῥυπαρόν ⟨2317⟩ 33 πείρω (Ω 390)· πέρας 35 Πειραΐδαο (Δ 228)· Πειραίου παῖδα Ad 44 πεῖραν λαμβάνει (Β 193) 45 πειρατήριον (Iob. VII 1)· τόπος λῃστῶν 47 πείρησαι (Α 302)· πείρασον 48 πειρήθηξαι (Τ 384)· πεῖραν λαμβάνει 50 πειρήσομαι (Β 73)· πειράσομαι 52 πειρήτιζε (Η 235)· πείραζε 54 Πειριεῖς· νῆσος. καὶ Ἀστερία ⟨1238⟩ 58 πειρώμενος (Ε 129)· πειράζων 59 πειρῶν τὴν παῖδα (Moer. 310)· πειράζων. διαφθείρων Ad 61 [πέδη.] 62 πείσσεασποιήεντα (Υ 9)· τοὺς διύγρους τόπους καὶ βοτανώδεις 64 πείσεσθαι (Δ 289)· παθεῖν 65 πείσεται (Λ 788 Υ 127)· ὑπομενεῖ 66 πείσῃ· πεισματικὴ χώρᾳ (υ 23)· τῷ δὲ μάλ' ἐν πείσῃ κραδιήμεναι

πείσονται· πάθωσι (non Hom.)

†πείχισον· δοκίμασον [71]

πεκτεῖ (Ar. Av. 714)· κτενίζει. τίλλει. κείρει. ξαίνει

πεκτοῦμαι· †τρίχομαι. τίλλομαι

πεκτούμενον (Ar. Lys. 684)· τιλλόμενον. τίλλοντα. Πεκτεῖν γὰρ τὸ κείρειν

πελάγια· τὰ κρόταλα. †ἡ δὲ ῥίνος πελαγία

πελαγίζειν (Hyperides)· τοὺς ὀδόντας συγκρούειν. καὶ πλεῖν πέλαγος ἄβατον. καὶ ἀλαζονεύεσθαι, καὶ ψεύδεσθαι μεγάλα

πέλαγος· μέγεθος, πλῆθος, βυθός, πλάτος θαλάσσης [78]

πελαζόμενοι· ἐγγιζόμενοι

†πέλαιτον· τὸ ἐφικτόν. μέγιστον

πέλαινα (Alcm. fr. 69 Bgk.)· πόπανα, μειλίγματα

Πελάνα· ἡ Σαλαμίς. ἐν τοῖς Εὐκλου χρησμοῖς: ἢ τὰ ἀπὸ τῆς ἅλω ἀπάργματα. καὶ θυσίαι, καὶ πέμματα

πέλανοι (Eur. Hel. 1334)· πέμματα εἰς θυσίας ἐπιτήδεια

πέλανον· ἀφρόν, τὸν περὶ τὴν γῆν ἀφρόν (Aesch. Pers. 816). ἢ πέμμα τι πλακουντῶδες

πέλανος· πέψιν ἔχων ῥυπαράν. ἢ τὸ ἐκ τῆς (παι)πάλης πέμμα. οἱ δὲ ἐπὶ τοῦ κηρίου τιθέασι. καὶ τὸν περιπεπηγότα τῷ στόματι ἀφρόν (Eur. Or. 220)

πέλανορ· τὸ τετράχαλκον. Λάκωνες

πελαργικοὶ νόμοι· τὸ ἀντιτρέφειν τοὺς γονεῖς

Πελαργικὸν (Ar. Av. 832)· ἀντὶ τοῦ Πελασγικόν. Πελαργοὺς γάρ φασι τὴν Ἀττικὴν οἰκῆσαι· ἀπὸ τῶν †Πελασγῶν μεταφέροντες ἐπὶ †τὰ πτηνά

πελαργός· ἄγγος τι κεράμεον

πέλας· γείτων, ἐγγύς, πλησίον [91]

πελάσαιμι· προσεγγίσω

Πελασγοί (Κ 429)· οἱ Θεσσαλοί. καὶ Πελασγικὸν Ἄργος (Β 681) ἡ Θεσσαλία νῦν. καὶ ἔνιοι τῶν βαρβάρων. καὶ γένος ἀπὸ Πελασγοῦ τοῦ Ἀρκάδος γενόμενον πολυπλάνητον (Cratin. fr. XXII p. 182) [94. 95]

Πελαστικόν (Herod. V 64)· τειχίον οὕτω ἐν Ἀθήναις καλούμενον Τυρρηνῶν κτισάντων

πελάται (cf. Plat. Euthyph. p. 4 C)· οἱ διὰ τὴν ἀναγκαίαν τροφὴν μισθῷ δουλεύοντες, †τρεῖς μίσθαρνοι· ἀπὸ τοῦ πέλας. ἢ θρέμματα

πελάχνιν· τρύβλιον ἐκπέταλον ⟨1185⟩

πελδασταί· οἱ τὰ ἀσπιδίσκια ἔχοντες

πελεθοβάψ· Θεόδ(ω)ρος ὁ τραγικὸς ὑποκριτὴς οὕτως ἐπεκαλεῖτο. τινὲς δὲ ποιητὴν αὐτόν φασι γεγονέναι

πελεθρίσματα· δρομήματα ⟨cf. πλ—⟩

πέλεθρον (Φ 407)· μέτρον γῆς, ὅ φασι μυρίους πόδας ἔχειν· τινὲς δὲ σταδίου ἕκτον

Πελεθρόνιον· πολυφάρμακον

Πελεθρόνιος· ὁ Χείρων, ἀπὸ τοῦ Πελεθρονίου, ἐν ᾧ ἐτράφη· οἱ δὲ πολυφάρμακος

πέλει· ὑπάρχει (Ι 134), ἐστί. (δίδωσι. γίεται [Γ 3])

πέλειαι (μ 62)· περιστεραί. καὶ αἱ ἐν Δωδώνῃ θεσπίζουσαι μάντεις. Ἀριστοτέλης (ΗΑ. V 13) φησὶ διαφέρειν περιστερὰς καὶ πελειάς

πελειοθρέμμονα νῆσον (Aesch. Pers. 309· Σαλαμῖνα)

πελείους· Κῷοι καὶ οἱ Ἠπειρῶται τοὺς γέροντας, καὶ τὰς πρεσβύτιδας ......

πελεκάν (Ar. HA. VIII 12)· ὄρνεον τὸ κολάπτον καὶ τρυποῦν τὰ δένδρα

πελέκεα πέλεκυν δίστομον (Eur. fr. 534, 5. 6)

πέλεκκος· στελεός, ὅ ἐστι ξύλον εἰς τὴν ὀπὴν τῶν πελέκεων βαλλόμενον (Ν 612)

πέλεκρα· ἀξίνη

πέλεκυς (Γ 60)· ἀξίνη δίστομος. ἢ σταθμίον ἑξαμιαῖον· οἱ δὲ [δω]δεκαμναῖον (Cretes)

†πελεκύστερον· τὸ στελεόν

πελεμίζειν· σείειν, κραδαίνειν [1316]

πέλεν· ἦν, ὑπῆρχεν (Ε 729)

COD. 69 πάθουσι ⟨70 πύρωσον· δοκίμασον gl. Psalm.⟩ 72 πέκτει, κτείνει ⟨75 ἡ δὲ ῥίνη πελαγία] squatus, cellis⟩ 82 εὔκε — πράγματα 85 πέμψιν — πώλης — περιπεπηκότα 87 |στρέφειν ⟨89 πέλλα· ἄγγος?⟩ 96 cf. schol. Il. Π 233 98 τρυβλίον ⟨cf. βίλλιν, ἠθμάριν⟩ 1300 |όβαψ — κωμικὸς ὁ ὑ| 1 πελέθρησμα, τὰ δρόμηκα 2 |ίους ἑκατόν 3 ποιησιφάρμακον 4 πελεθροίνου Post 4] δίδωσι γίνεται cf. 1305 5 cf. πέλω 7 πέλειον, θρέμμονα ⟨cf. 1282. 1320⟩ 8 cf. πέλησς, πελλᾶς 11 πελεκκός

HES. 71 πεκούλιον· (βαλάντιον peculium) 78 πελάζειν (Ε 766)· ἐγγίζειν, πλησιάζειν 91 πελάσαι (χ 176)· ἐγγίσαι, πλησιάσαι 94 πέλασε (Θ 277)· προσήγγισεν 95 πέλασσεν (Β 744)· ἐγγίσαι ἐποίησεν,πλησίασεν 1316 πελεμίχθη (Δ 535)· διεσείσθη

πελένα· ζεῦγος βοῶν
Πελεός· Ἀχαιὸς Φρίξῳ (fr. 36). καὶ μήποτε τὴν παρ' Ὁμήρῳ (Β 594) Πτελεόν. δύναται δὲ καὶ τὰ Πέλη τὰ ἐν Θεσσαλίᾳ λεγόμενα δηλοῦν [20]
†πελεσσύδραι· συ[ν]στρέμματα ὑδάτων [22]
πελήαρ· περιστερὰς καὶ †περσικῆς τὸ ἥμισυ. Λάκωνες [24]
πέληος (Dor.)· γέρων [26]
πελιαί· μέλαιναι [ad 27] [28]
πελιγᾶνες· οἱ ἔνδοξοι· παρὰ δὲ Σύροις οἱ βουλευταί
†πελίγξαι· ἐπιδραμεῖν
πελιδνόν (Thuc. II 49)· μέλαν ὡς μόλυβδος. ἢ ὕφαιμον
πελίκαν (Cratin. p. 64)· εἶδος ποτηρίου ξυλίνου. διὰ τὸ πεπελεκῆσθαι. ἄλλοι ξυλίνη λεκάνη
πελιοί· μέλανες, ὡς ὠχροί, ἢ χλωροί
Πελινναῖος· ὁ Ζεὺς ἐν Χίῳ
⟨πελιόν· φαιόν [cf. 1338]. μεμελανωμένον [1401]⟩
πελιτνόν (Thuc. II 49 Alexid. p. 429)· πελιόν
πέλλα· λίθος
πέλλαι (Plut. Mor. 409 B)· ἀγγεῖά τινα, εἰς ἃ ἀμέλγεται τὸ γάλα, οἷον πύελ[λ]οί τινες οὖσαι, ἐν αἷς τὸ πῦος, τουτέστι τὸ γάλα, εἰλεῖται
Πελλαῖον (Call. epigr. XIV 6)· Μακεδονικόν
πελλάνιος· Ποσειδῶν ἐν Κυρήνῃ
πελλαντῆρα· ἀμολγέα ⟨1350⟩
πελλᾶς· πέληος. πρεσβύτης ⟨onom.⟩
πέλλας (Π 462) καὶ πέλλαι· ποιμενικὰ ἀγγεῖα [43]
?πελλαιχρὸν ἢ πελλαιχνόν· πυρρόν
πελλήν (Macedones)· †κούφην, καὶ φαιὰν τῷ χρώματι [46]
Πελλ(ην)ικαὶ χλαῖναι· ἐπεὶ διαφέρειν ἐδόκουν αἱ ἐν Πελλήνῃ γινόμεναι, ὡς καὶ ἆθλα τοῖς νικῶσι δίδοσθαι
†πέλληον· στέφον
πελλητήρ (Ath. 495 E)· πολυφάγος. ἀμολγός
πελλητῆρες (Thessali, Aeoles)· ὁμοίως
πελλία· σπέλεθοι
πέλλιξ· κράνος
πελλίς (Hipponact. fr. 37)· λεκάνη
πελλόν· φαιὸν χρῶμα, ἐμφερὲς τῷ πελιδνῷ
πελλοπ†λαύραστον· ὀξύθυμον. ἢ ἔκλιμον ⟨πέλλοπα⟩ [56]
πέλλυτρα (Aesch. fr. 260)· οἱ δεσμοί, οἱ περὶ τὰ σφυρὰ καὶ τοὺς ἀστραγάλους τῶν δρομέων περιελισσόμενοι, εἰς τὸ μὴ ἐκ(σ)τραφῆναι ⟨1343⟩ [58]
πέλμα (Eratosth.)· τὸ κάτω τοῦ ποδός
ν
Πελοπίδαι· Ἀγαμέμνων γε
Πελοπόννησος· πόλις τοῦ Ἄργους
†πέλος· μέγα. τεράστιον
πέλτη (Eur. Rh. 305)· εἶδος ὅπλου. δόρυ. ἢ μικρὰ ὅπλα
πέλτη· ἀσπὶς ἴτυν οὐκ ἔχουσα. ἢ ὅπλου σκέπασμα. ἀκόντιον
πέλτης (Eur. fr. 370)· Θράκιον ὅπλον. καὶ εἶδος ταρίχου
πέλω (Soph. OT. 245)· εἰμί, δίδωμι, γένομαι
πέλωρ (Σ 410)· μέγα. ὑπερφυές
πέλωρα (Β 321. κ 219)· θηρία. δείματα. τέρατα. σημεῖα μεγάλα
πελωρεύει· φανερῶς ποιεῖ (τέρατα)
†πελώρης· τινὲς εἱμαρμένης [71]
πελώριος (Γ 167)· μέγας, δεινός [73]
πέμμα· εἶδος πλακοῦντος. καὶ πᾶν πεπτόμενον
πέμματα· ποικίλα ἐδέσματα πλακουντικά
πεμπάδος· πεντάδος
πεμπαζόμενοι· ἐπιστρεφόμενοι. ἐκπληττόμενοι. μεριμνῶντες
πεμπάς (Xen. Hell. VII 2, 6)· τριακάς

COD. 19 πτελέον (G. F. Unger Philol. Suppl. II 6 p. 737) 23 πέληρ, περιστερᾶς 25 πολητός 29 πελιγάνες 30 cf. σωλίγξαι 31 μελανός 32 πελικάν — |ισθαι 33. 34 = 34. 33 34 πέλιοι 35 πελιδνόν, πελειόν 37 τὸ μέγα — πυελλοί 38 πελλαιόν φαιόν, καὶ 41 πέλλας, πέλλητος 44 πελιόχρων? 45 cf. πιλνόν 49 πελλήρ 51 ἐπέλεθοι 53 ἢ πελλὰς λ| 57 πελλυταί — περὶ τὰς 62 τεραστικόν 71 τέρατα 75 πληθυντικά 76 πεμπάνδος

HES. 20 Πελεστόθρην (Aesch. Pers. 309)· νῆσον τὴν Σαλαμινίαν 22 πέλεται· ὑπάρχει (Α 284), γίνεται (Δ 392) 24 πέληται (Γ 287)· γένηται 26 πελειάδες (Δ 633)· περιστεραί Ad 27 περιστεραί. φράσθαι (Boeoticum foret πέλιη) 28 πελιανόν· μολύβδῳ ἐοικὸς κατὰ τὴν χρόαν ⟨1331⟩ 43 πελλασταί· ὑποδήματα, ἃ περιετίθεσαν οἱ δρομεῖς περὶ τὰ σφυρά, ἵνα μὴ ἔξω στρέφηται ⟨1357⟩ 46 Πελλήνη (Β 574)· πόλις ἐν Ἄργει 56 πελλύρον· μετέωρον ⟨πεδάορον⟩ 58 πελλύτα καὶ πελλύτεμα. δεσμός 71 πελώρια· μεγάλα (Κ 439)· τεράστια 73 πελώρου (Ε 741)· θηρίου

πεμπάσασα· ἐξαριθμήσασα

πε(μ)πάσσεται (δ 412)· κατὰ πέντε ἀριθμήσει· τὸ γὰρ πέντε Αἰολεῖς πέμπε λέγουσι. καταχρηστικῶς δὲ καὶ ψιλῶς ἀριθμήσει [80a]

πέμπελον (Lycophr. 826)· στωμύλον, λάλον. οἱ δὲ λίαν γηραλέον

πέμποι (Soph. Phil. 1160)· ἀναπέμποι [88]

πεμπωβόλους (Α 463)· πέντε ὀβελίσκους, ἐκ μιᾶς λαβῆς συνεχομένους τριαινοειδῶς

πέμφελα ⟨δυσπ—⟩· δύσκολα. τραχέα. βαθέα

πεμφίδες (cf. Lycophr. 1106)· πομφόλυγες. καὶ πτηνῶν ψυχαί

πεμφιδώδεες πυρετοί (Hippocr. III p. 687 K)· φλυκταινώδεις. πνευματίαι

πέμφιξ (Soph. fr. 326 Aesch. fr. 164)· πνοή. ψυχή. καὶ αἱ τοῦ ἡλίου ἀκτῖνες

πέμψις· ἐνεχυρασμός

πενεῖν· πενητεύειν (cf. Aesch. Suppl. 362) [91. 92]

πενέσται (Theocr. XVI 35)· οἱ μὴ γόνῳ δοῦλοι, οἵτινες εἰργάζοντο τὴν γῆν. τινὲς δὲ οἱ εἵλωτες. τινὲς δὲ λάτρεις. ἢ ἐργάται πένητες ἢ ὑπήκοοι

?πενειαδεῖν· κατεπιστατεῖν

πένης· ὁ αὐτοδιάκονος

πένησσα· πτωχή

πενθέριον· τὴν προῖκα. Θάσιοι

πενθερός (θ 582 Soph. fr. 284)· τῷ νυμφίῳ ὁ τῆς κόρης πατήρ. καὶ πενθερὰ ἡ μήτηρ. τίθεται δὲ καὶ ἐπὶ τοῦ γαμβροῦ

πένθος· συμφορά. θρῆνος, λύπη [1400]

†πενόν· μεμελανωμένον ⟨πελιόν⟩ [2. 3]

πεντάσχοινον· †στάδιον

πεντάχα ⟨1416⟩· ἡ χείρ [ad 5]

πένταχος· τὴν τάλαρον. Βοιωτοί

πεντεκτενῆ (Antiph. fr. LXXVI Menand. p. 95)· ἐνδύματα, οἷον πριόνων ὀδοῦσιν ἐμφερῆ, πεποικιλμένα

πέντε κριταί (Epicharm.)· τοσοῦτοι τοῖς κωμικοῖς ἔκρινον, οὐ μόνον Ἀθήνησιν, ἀλλὰ καὶ ἐν Σικελίᾳ

Πεντέλεια· ὄρος Ἀρκαδίας, ἐξ οὗ Λάδων ὁ ποταμὸς καταφέρεται [10]

πεντεσύριγγον ξύλον (Ar. Eqq. 1058)· πέντε ὀπὰς ἔχον κατὰ τὸ δεσμωτήριον· τέσσαρας μέν, εἰς ἃς οἱ πόδες καὶ αἱ χεῖρες διείροντο· μίαν δέ, δι' ἧς ὁ τράχηλος

πεντετηρίς (Thuc. III 104)· πενταετηρίς

πεντηκοντόγυον (Ι 579)· πεντήκοντα γύας ἔχον· οἷον πεντηκοντοπέλεθρον

πεντηκοντομέσοδμον· πολύστεγον. αἱ γὰρ μέσοδμαι στέγαι

πεντηκοντόστ†ολον· ὅπου οἱ δραπέται †ἀνάγονται

πέντοζος (Hesiod.)· χείρ ⟨1405⟩

πεντόροβον· ἡ γλυκυσίδη

πέξαι· κεῖραι, κτενίσαι

πεξαμένη (Ξ 176)· κτενισαμένη τὰς τρίχας, καὶ ξάνασα

πέξις· ψίλωσις, κουρά, ξύρησις

†πεπάγουσα· ἁπαλή

πεπαιδεῦσθαι· πεπαιδοποιῆσθαι [23]

πεπαίνεται· μελανοῦται (Ion. trag. fr. 57). ὀπτᾶται. μαλάσσεται ⟨1455⟩. πέπειρον γίνεται. πραΰνεται [25]

πεπαληκέναι· ἐκπεσεῖν

πεπαλημέναι· βεβλα(μ)μέναι

πεπαλ(η)μένος· βεβλαμ(μ)ένος, ἔξαρθρος γεγονώς [28. 29]

πεπαμένος (cf. Aesch. Cho. 191)· κεκτημένος

πέπανα (Boeoti)· πλακούντια

πεπᾶναι (Ar. Vesp. 645)· πραῦναι

πεπανός· ὁ πολὺν χρόνον ἔχων παρὰ τὸ ὀπτηθῆναι

πεπαρεύσιμον· εὔφραστον, σαφές

πεπαρεῖν (Pind. P. II 57 [105])· ἐνδεῖξαι, σημῆναι

πεπάρθαι· παρακεῖσθαι

πέπαρμαι· δι' ἥλου κατέχομαι. πεπερόνημαι. καθήλωμαι [39]

πεπαρφυηκότων· ἀτακτησάντων. ὑβρισάντων. Παροινία γὰρ ἡ ὕβρις

πεπᾶσθαι (Eur. H. f. 1426)· κεκτῆσθαι

COD. 81 |λέος 84 πεμποβόλους 86 πεμφολίγες 87 |ώδεις πύθετοι 97 θάσσιοι 1400 πτέρνα 5 cf. ἐμῇ πεντόζῳ 8 κοιταί (cf. ἐν πέντε) 9 πεντελεία 14 πεντήκοντομέσολμον — μαιοδμαί 26 ἐκμεσεῖν 33 πεπάναι 36 cf. πεπορεῖν 38 |ομαι 39 |ομένον

HES. 80a πέμπε (Alcaei fr. 26 A)· Αἰολεῖς πέντε 83 πέμπουσιν (π 228)· ἔπεμψαν, ἀνέπεμψαν, κατέπεμψαν 91 πενία· ἀχρημοσύνη, ἀπορία 92 πένεται (Levit. XXV 25)· πονεῖ, ἐνεργεῖ. ἀχρηματεῖ. κάμνει 1400 πέννα· πτερά (Ducang.) 2 πένοντο (Α 318)· ἐνείργουν 93 πενταέτηρον (Β 403)· πέντε ἐτῶν Ad 5 ἡ πέντε μέρη (Μ 87) 10 πεντεστατήριον· πενταετῆ 23 πέπαιξεν (Oseae VI 1)· ἐπάταξεν 25 πεπαλαγμένον· μεμολυσμένον ⟨1461⟩ αἵματι καὶ λύθρῳ (Ζ 268). ἢ λελευκαμένον 29 πεπαλόεντος (Ν 17)· τραχέος 30 πεπαλόεσσα (κ 97)· τραχεῖα 39 πεπαρμένον (Λ 246)· ἀνειρμένον. πεπερονημένον. καθηλωμένον. κατεσχημένον. ἐμπεπηγός. διαπεπερονημένον (onomast.)

†πεπάσωται· πιότητος γέμοι
πέπαστο· ἐγέγευστο. ἐπεπλήρωτο [44]
πεπαχυμμέναις· πεπυκνωμέναις
πεπεδημένος· δεδεμένος [47. 48]
πέπειρα (Anacreo. fr. 87)· γραῖα
πεπειρῆσθαι· γεγυμνάσθαι. (δια)πεπαρθενεῦσθαι
πέπειρον· πεπανθέν, ὥριμον, ὠπτημένον, ἀκμαῖον
πεπείρους (Eupol. p. 439)· ἑψημένους. ἐπὶ ὀπώρας [λαβεῖν] ἤτοι σταφυλῆς [53—55]
(πεπέπανται· πεπράϋνται) cf. 1444
πεπεραγκέναι· ἠνεγκέναι ......
πεπερασμένος· πεπληρωμένος [58]
†πέπευται ⟨πέπεκται?⟩· πέπεικται
πεπιεσμένος· τεθλιμμένος [61]
πεπλαδηκώς· σεσηπώς. ὑγρανθείς
πεπλασμένον· μὴ ἀληθές, ψεῦδος [64]
?πέπληγε· πέπληκται
πεπλεγμένον· (κε)κοσμημένον. ἐκτενισμένον [67—69]
πέπληται· κύει
πέπλον ἢ πέπλος (Z 90)· ἱμάτιον ἢ ἔνδυμα γυναικεῖον [72]
πεπνυμένοι· σώφρονες, συνετοί
πεπνυμένον στόμα· σεσωφρονισμένον. σιγηλόν [75. 76]
πέπνυται· συνετός ἐστι
πεποδήγημαι· δεδίδαγμαι. ὡδήγημαι [79—81]
πεποίθασιν· ἠλπίκασ[illegible]ύουσι. θαρροῦσιν
πεποιθήσεις· θαρρήσεις. πιστεύσεις. ἐλπίσεις [84]
πεποιθίαν(?)· ἐλπίδα. προσδοκίαν
†πεποιθότατε· προσφιλέστατε. φίλε ⟨1492⟩ [87]
πεποίωται· †ὅπου τις ῥέπει
πεποιωμένον· ποιότητα ἔχον, ἢ περιδραξάμενον ⟨1479⟩ [90]
πέπομφα (Plat. epist. 2 p. 312 D)· ἔπεμψα
πέπον (E 109)· προσφιλέστατε, προσηνέστατε. ἔκλυτε, μαλακέ [93]
πεπορασμένος· φανερός ⟨1435⟩
πεπορεῖν (Pind. P. II 57)· δοῦναι ⟨3012⟩
πεπορθῆσθαι (Aesch. Ag. 591)· ἀπολωλέναι. συν(τε)τελέσθαι
πεπορπημένη· τῇ περόνῃ συνεχομένη
πέποσμαι (Cyprii)· ἀκήκοα
(πεπότημαι·) ἵπταμαι [1501]
πεπραδῖλαι· εἶδος ἰχθύων ⟨1506. 2065⟩
πεπρημένος· πεφυσημένος
?πεπράχαμεν (Ar. Ran. 302)· ἐπράξαμεν
?πεπράτορα· θαυμασία ⟨πρεπτά?⟩
πεπρῖλος· ἰχθῦς ποιός [7—10]
πεπρυτανευκώς· ἐπιμεμηνιευκώς. καὶ προανηλωκώς
πέπτασθαι· ἀνεῷχθαι. περιέχειν [13]
πέπτει· πραΰνεται τὴν τροφήν
πεπτέον· φυλακτέον. †εὐρυτέον
πεπτήνας (Aeol.)· περιβλεψάμενος [17—20]
πεπυρακτωμένα· πεπωρωμένα
πέπυσμαι· ἀκήκοα. ἔμαθον, εἶδον (λ 504?)
πεπύσμεθα· ἠκούσαμεν. καὶ τὰ ὅμοια
πεπυσμένος (Plat. Symp. p. 179 E)· ἰδὼν καὶ τὰ ὅμοια [25]
†πεπωγμένον· κεκλασμένον [27]
πέπων· ἔκλυτος. ἀσθενής

COD. 43 πέπευστοι 45 πεπλαχομέναις 65 πέπληται ⟨an πεπλήαται· EM?⟩ 66 πεπληγμένον 70 πέπληκται (cf. πλείη) 74 σιγκλόν 75 πεπνι 83 πεποθήεις 97 |ιμένη 1500 ἤπταμαι 10 ζητεῖν 12 ἀνεώχθη 21 πεπυρωμένα (cf. μύδρος) 22 ἴδον

HES. 44 πέπανται (Γ 134)· πεπράϋ(ν)ται ⟨ad πεπέπανται⟩ 47 πεπείθοιμεν (Α 100)· πείσοιμεν 48 πεπείθουσα (Ο 26)· πείθουσα 53 πέπεισμαι (II Macc. IX 27 Rom. VIII 38)· ἤλπισα. θαρρῶ 54 πεπεμμένην (Levit. II 4)· ζυμωθεῖσαν, ἐν κλιβάνῳ γεναμένην 55 πεπένεται· μαλάσσεται. καὶ τὰ ὅμοια ⟨1424⟩ 58 πεπερημένος (Φ 58)· ὁ πεπερεομένος 61 πεπλαγμένον (Z 268)· μεμολυσμένον ⟨1425⟩ 64 πέπλαται· ἥπλωται ⟨πεπτ—⟩ 67 πέπληγον (Ψ 363)· ἔτυπτον. ἐκρότουν 68 πεπληγυῖα (E 763)· πλήξασα 69 πεπληγώς (B 264)· πλήσσων 72 πεπνοιῶν· ἐνεργῶν, θεραπεύων ⟨ποιπνύων⟩ 75 πεπνυμένος (Γ 203)· φρόνιμος, συνετός (Call. L. P. 129) 76 πέπνυσαι (Ω 377)· συνετὸς εἶ 79 πεποιημένον· ποιότητα ἔχον ⟨1489⟩ 80 πεποίηται (Z 56)· πέπρακται 81 πέποιθας (IV Regg. XVIII 20)· θαρρεῖς 84 πεποίθῃς (Λ 524)· θαρρήσῃς 87 πεποιθώς (Hom.)· ἐλπίσας. πιστεύσας 90 πεπόληστο (Υ 217)· ἔκτιστο 93 πέπονθα (ρ 284)· ἔπαθον 98 πεπορωμένοι· τετυφλωμένοι ⟨1529⟩ 99 πέποσθε (Γ 99)· πεπόνθατε 1501 πεποτ.ανται (B 90)· ἥπτανται 7 πεπρυμένοι· συνετοί ⟨πεπν—⟩ 8 πεπρωμένη· εἱμαρμένη ⟨1379⟩ 9 πεπρωμένον (Γ 309)· μεμωραμένον 10 πέπρωται· τετύπωται. ὥρισται. [τὸ εἱμαρμένον ζήτει] 13 πέπταται (ζ 45)· ἥπλωται ⟨1464⟩ 17 πεπτηώς (ξ 354)· δι' ἀσθένειαν καὶ δειλίαν πεπτωκώς 18 πεπ.γμένοι (Aesch. Suppl. 185)· μαθόντες, ἢ εἰδότες 19 πεπύθωνται (H 195)· ἀκούσωσιν. Ἀττικῶς 20 πεπυκασμένα (B 777)· ἐσκεπασμένα, περικεκαλυμμένα 25 πέπυστο (N 521)· ἠκηκόει 27 πέπωκα· ἔπια

πεπωρωμένοι· ἐσκληρωμένοι. τετυφλωμένοι (1498)

πέρα· πλέον. ἐπέκεινα. ὑπεράνω [31. 32]

περάγην· διέρρωγα. Ῥίνθων

περαίνει (Aesch. Suppl. 462)· ἐπὶ πέρας ἄγει. πληροῖ. ἀνύει

περαίνειν (Posidipp. p. 514)· ἐξανύειν. ἀποπληροῦν

πέραινον· οἱ Πυθαγορικοὶ τοὺς περι(τ)τοὺς ἀριθμούς

(περαιούμενοι· τελειούμενοι)

(περαιοῦσθαι· διαπερᾶν πλοίῳ ἐπιβάντα)

περαίτατον· πορρώτατον

περαιτέρω (e. c. Eur. Andr. 270)· πλείω ἔμπροσθεν. μετὰ τὸ τέλος ἄλλο

περαιωθῆναι· τελειωθῆναι

πέρα λόγου (Cratin. p. 60)· ὑπὲρ λόγον

πέρας· τὸ τέλος. καὶ ἡ λύσις. καὶ τὸ τῆς γῆς πέρας

περᾶσαι· διαβῆναι. ἀποδόσθαι ἐπὶ πέρατα τῆς γῆς, ἢ εἰς τὸ πέρας διελθεῖν [43]

πέρασας (Hom.)· εἰς τὸ πέρας τῆς θαλάσσης διεπέρασας, ἐπώλησας

περατ†εύει· ὁρίζει. †στέλλει. †λέγει

περατουμένην· ἐκπληρουμένην

Περγαία θεός· ἡ Ἄρτεμις

πέργαμα (Soph. Phil. 347 al.)

περγάμιον· δήμιον

(Πέργαμον·) ἡ ἀκρόπολις τῆς Ἰλίου

πέργουλον· ὀρνιθάριον †ἀργειλέγω (ἄγριον. Λάκωνες)

πέργουν· πρέσβ†εις. οἱ αὐτοί

Πέρδικος καπηλεῖον [ad 53] [54—58]

?περάτρια· ἡ παραγγέλλουσα τὴν ὥραν ταῖς κεκτημέναις [60. 61]

πέρι· περισσόν. περίεστι

περιαγαῖς· καμπαῖς

περιαγγέλλειν· τὸ [μὴ] συνάγειν ὄχλον ἐπὶ τὰς ἐκφορὰς τῶν τετελευτηκότων

περιάγει· περιφέρει. ἢ κάμπτει

περιάγνυται (Π 78)· περικλᾶται. συντρίβεται. περιέρχεται. περιηχεῖ

περιάγνυτο (Hesiod. Scut. 279)· περιεκλᾶτο. καὶ τὰ ὅμοια

περιαγόραιος· περίλογος. περιαγορευτής

περιαεῖς· περίρρυτοι. περίπνοοι

περιαθρεῖν· περισκοπεῖν

περιαίνυτο· περιελάμβανεν. περιεῖχεν

περίαλλος· τὸ ἰσχίον [ὅταν εἰλεῖν

περιαμησάμενος· θερίσας [74—76]

περιανθαδίζεται· ἐν ὑπερηφανίᾳ ἀναστρέφεται, ἢ μεγαλοφρονεῖ

περιαυτίζεσθαι· τὸ ἐν αὐτῷ ἐνδιατρίβειν, ἢ ἀποδιδόναι ἑαυτῷ [79]

περὶ αὐτόν (Demosth. 23, 24)· πρὸς αὐτόν

περιβάλλειν· περιλαμβάνειν. πείθειν. στρέφειν. εἰδέναι

περιβάλλουσαν· ὁμοίως

περιβάλλεσθαι· ὑπερβάλλεσθαι

περίβαρα (Ar. Lys. 45)· ὑποδήματα

περιβαρίδες (Theopomp. com. p. 811)· ὑποδημάτων εἶδος γυναικεῖον (—ίων)

Περιβασώ (Argivi)· ἡ Ἀφροδίτη

περιβεβυσμένος· περιπεφραγμένος

περιβῆναι (Ε 21)· πεπτωκότος ὑπερασπίσαι, ὑπερμαχῆσαι [89]

περιβλέπεται· περισκοπεῖ

περίβλεπτος (Herc. fur. 508)· ἔξοχος [ad 91]

περιβόητος (non Soph. OT. 191)· ἐπὶ κακοῦ ἢ ἀγαθοῦ φήμην ἔχων

(περίβοιος· ὑπέρτιμος)

περιβολή· †περιδέρματος

περίβολοι· τείχη πόλεων, ἢ περίδρομοι [95. 96]

περιγηθής· περιχαρής [98]

COD. 33 περάγειν, διερρωγέρειν θῶ˜ 34 πληρεῖ 36 περὶ (cf. βωμίσκοι) 37. 38 περρ— 40 cf. οἰχυπέρα λόγου 45 ὀργίζει (Forte περατοῖ· ὁ. τελεῖ) 47. 48. 49 = 49. 48. 47 47 περγέα — ἡ 48 πέργαμας 49b post 1548 50 περγοῦλον, cf. σπέργουλος 51 cf. σπέργυς 52 καὶ πηλός 63 περιαγκάμψαις (cf. Phot. 414, 15) 66 περιάγνοιται 67 περιάγνοιτο 68 |ορίος 69 περιαδεῖς (cf. εὐαδεῖς) 73 |χάμενος 74 περιαπατῶν 75 ᾠδίς 76 περιαπτάω, περιαματάω 93 περιβ. περίβοιος. περιδ. ὑπερτ.

HES. 31 περάαν (Β 613)· διαπερᾶν 32 Περαιβοί (Β 749)· ἔθνος Θεσσαλικόν (Thuc. IV 78) 43 πέρατα (gl. Psalm.)· τὰ τέλη Ad 53 χωλὸς κάπηλος ὁ Πέρδιξ ἦν. ἔνθεν ἔνιοι τὴν παροιμίαν φασὶ διαδοθῆναι .... (append. prov. IV 56) 54 περιδόμεθα (Ψ 483)· συνθήκην παράσχωμεν 55 περεούμενοι· τελειούμενοι (περαι—) 56 περεοῦσθαι· διαπερᾶν πλοίῳ ἐπιβάντα (περαι—) 57 περέτισαν (Ι 110)· ἐτίμησαν 58 περ(ῆ)σαι (Μ 53)· διαπερᾶσαι 60 πέρθαι (Π 708)· πορθηθῆναι 61 πέρθετο (Μ 15)· ἐπορθεῖτο 74 περιαυμάτων (schol. Greg. Naz.)· περιάπτων (amuleta) 75 περιάοιδος (περίοδος)· ἡ ἐγκύκλιος ᾠδή 76 περίαπτα· περιάμματα (1574) 79 περιαυτίζεται (Cyrill. c. Iul. p. 100 D)· μεγαλοφρονεῖ 89 περίβησαν (Ξ 424)· ὑπερήσπισαν. καὶ τὰ ὅμοια Ad 91 περιβόητος 95 περιβομβεῖσθαι (Greg. Naz. or. XXXIII vol. I p. 529 D)· περιηχεῖσθαι 96 πέρι γάρ (Hom.)· περισσῶς γάρ 98 περίγειος· πρὸς τὴν γῆν

περιέπει· περιέρχεται. περιεργάζεται. φυλάττει. θεραπεύει [64]
περιεπτισμένη· περιεξεσμένη. περικεκαθαρμένη (cf. Ar. Ach. 506)
περιέπων· ἐνεργῶν
περιεργάσει (Dem. 248, 25)· πράξει(ς) περισσά
περίεργον· περιττόν. ἢ στρεβλόν [69]
περιερέττων· καπηλατῶν ⟨1674⟩
περιέσομαι (Plat. Alcib. I p. 119 C)· περιγενήσομαι, κρατήσω, νικήσω, κατισχύσω
(περιεσόμενοι)· μέλλοντες περιγενέσθαι
περιεσπάσθη· ἐσείσθη. †περιδέδεται [73. 74]
περιέσται· περιγενή(σε)ται. νικήσει
περιεστήξει· περισταθήσεται [ad 76]
περιεστοιχισμένοι· οἱ περιέχοντες. καὶ περιεχόμενοι
περιετέμοντο· περιῄλασαν ⟨cf. περιτα—⟩
περιετίθουν· ἐχρέμων
περιέτυχον (Thuc. VIII 23 schol.)· συνέτυχον [81]
περιέφραξαν· ἐσκέπασαν. ἐφύλαξαν
περιέχομαί σου· ἀντιποιοῦμαί σου [84]
περιέχοντες· περιλαβόντες. καὶ τὰ ὅμοια
περίζυξ (Eupol. fr. LXXXVIII)· ὁμόζυγος, σύζυγος
περιηγές (Call. Apoll. 59)· κυκλοτερές, περιφερές
?περιήγει· ἐζωγράφει
περιήγητος (Antiph. com. p. 84)· ὁ περιπόρφυρος χιτών
περιηγμένα· περιφερόμενα
περιήεσαν (Xen. Hell. IV 5, 10)· περιήρχοντο
περιήθελεν· ἠγάπα [93]
περιηθέλησεν· ἠγάπησεν
περιήκασε· περιώρυξεν. περιέγραψεν

........· περιέγραψαν. ὤρυξαν
περιήκοντα· ......
περιήλυσις (Herod. II 131)· περίοδος
περιημεκτεῖ (Herod.)· ἀγανακτεῖ, ἀνιᾶται, δυσχολαίνει
περιῆν· ὑπῆρχεν. ἐπλεόναζεν
περιηρημένον (cf. Thuc. III 11)· κεκομμένον
περιῆρρον· περιῄεσαν [1702]
περιηχήθη· περιεψιθυρίσθη [4]
περιθείς· κύκλῳ θείς, περισσότερον [ad 5] [6]
περιθειῶσαι (Menand. com. p. 184)· περικαθᾶραι, κυρίως θείῳ
περιθέσθαι· περιποιήσασθαι. προσλαβέσθαι. κύκλῳ θεῖναι
Περιθοῖδαι· δῆμος φυλῆς τῆς Οἰνηΐδος
περιθρανσθέντα· περιπεσόντα. ῥαγέντα
περιθρεκτέον (Plat. Theaet. p. 160 E)· περιδραμητέον
περιθυρεῖν· τὸ ἐπὶ ταῖς θύραις ἵστασθαι [13]
περιϊόντας· περιερχομένους
περιϊππεύοντας· περιτρέχοντας [16]
περιϊστάμενος· κυκλεύσας [18. 19]
περιϊών (Ar. fr. inc. LIII)· περιερχόμενος [21—24]
περικάμπτεται· †περικιρεῖται [25]
περικάρδιος ὑμήν· ὁ ἐπὶ τῇ καρδίᾳ (Poll. II 217)
περικάρπιον· τὸ λέπυρον, σκέπασμα
περικεφαλαία· ἡ ἐκ τριχῶν γεγονυῖα περιθετή. καὶ μέρος τι τῆς νεώς. ἢ κάσ(σ)ις
περικέχυται· περιείληφεν
περικήδεο· φείδου φροντίζων
περίκηλα (ε 240 σ 308)· περισσῶς ξηρά. τὰ περικεκαυμένα. περιεσχισμένα [33]
περικλύτῳ· σφόδρα ἐνδόξῳ

COD. 65 περιεπτησμένη 67 |άσσει 71 περίσσομαι — ἢ μελλ| 79 ἐχρέμουν 92 ἀγάπη 97 περίλησις 1705 κυκλωθείς 8 κυκλωθῆναι 28 |πιος (Aristot. gen. anim. IV 4) 29 περιθετικὸν μέρος 32 ξηρᾶται (cf. εὔκηλον)

HES. 64 περιέπειραν (I Timoth. VI 10)· ἔπηξαν 69 περιερεία· καθαρσία ⟨περίστια· καθάρσια⟩ 73 περιεσκεμμένος (Greg. Nyss. II 43 C)· ἠκριβωμένος 74 περιέσσων· κωπηλατῶν ⟨1670⟩ Ad 76 περιφράξει, ἢ περικυκλώσει ⟨ad περιστείξει⟩ 81 περιευτίζεσθαι· ἀποδοῦναι αὐτῷ ⟨1578⟩ 84 περίζωμα (Ierem. XIII 1)· περιβόλαιον 93 περιήθλουν· ἀγα π 1702 περιήσω· περιδώσω ⟨προήσω· προδ—⟩ 4 περιθείης (Δ 386)· θ μα πειραθείς Ad 5 λαβεῖς (paraphr. Δ 386) 6 περὶ θεόν· πρὸς θεόν 13 περιΐδμεναι (Ν 728)· περισσῶς εἰδέναι 16 περι.ίσσεται ὥρας (Eur. Alc. 449)· περιέρχεται τὰς ὥρας 18 περιΐστασο (II Tim. II 16)· κύκλευσον. σκόπησον. περίφευγε. ἀνάτρεπε 19 περιστοιχείωσαι· περίελθε 21 περικάθαρμα (Prov. XXI 18) 22 περικαθαίρων (Deuter. XVIII 10)· ἀναλύων τὸν πεφαρμακευμένον, ἢ τὸν γεγοητευμένον 23 περικαλλές (Δ 632)· λίαν καλόν 24 περικαλλέος (Δ 603)· περισσῶς καλοῦ 26 περὶ καπνῷ (Δ 317)· περὶ τὸν καπνόν 33 περὶ κῆρι (Δ 46)· κατὰ ψυχήν

περιόψεται (Plat. Legg. 744 E)· καταφρονήσει

(περιπαθής·) διαπονηθείς

περιπαθῶς· συμπαθητικῶς. λυπηρῶς

περιπαλαχθῆναι· περιπλαχῆναι [1800]

περίπατοι· αἱ ἱστορίαι καὶ οἱ λόγοι. ἢ τόποι διακινήσεων

περὶ πέζαν· τὰ περὶ τοὺς πόδας

περιπεζία· ταπείνωσις

περιπείρῃ· περικεντήσῃ

περιπεπήδηκα· περιπεπόληκα

περιπέπλιγμαι· ...... [6]

περιπεπλιγμένα (Straltid. fr. V p. 788)· περιπεπλεγμένα τοῖς σκέλεσιν. οἱ γὰρ ἀλεῖπται τὸ βῆμα πλίγμα λέγουσιν

περιπεπλίχθαι· διηλλαχέναι τὰ σκέλη ασχημόνως

περίπεπτον· τὸ περιπεπεμμένον

περιπετάσας· περι⟨α⟩πλώσας

περιπέτεια (Aristot. poet. c. 6)· ὑπόθεσις. σύμπτωσις. σύμβασις

περιπετεῖς· περιε[ρ]χόμενοι. ἐναντίοι. ἢ προπετεῖς. ἢ περιπεσοντες

περιπετρίζεσθαι· περικρούεσθαι [14]

περιπευκές (Λ 844) [ad 15]· περισσῶς πικρόν, διὰ τὸ χρίεσθαι· πικρὰ γὰρ ἡ πεύκη [16]

περιπηγής (cf. Nic. Al. 107)· περιπαγείς, ἐμπαγείς

[ad 18] περιπλίγδην· περιβάδην

περιπλίξ· περιειληφώς [20. 21]

περίπλους· περιόδους

περὶ πόδα (Plat. com. p. 660. 687)· οὕτως ἐκάλουν τὸ ἁρμόζον· μεταφέροντες ἀπὸ τῶν συμμέτρων τοῖς ποσὶν ὑποδημάτων. ἢ ἀκριβῶς

περὶ ποδός· ἀντὶ τοῦ ἁρμόζον. καὶ περὶ πόδα· τὸ ἡρμοσμένον, ἀπὸ τῶν ὑποδημάτων

περιποιεῖται· προξενεῖ [ad 25]

περιποίησις· πλεονασμός, κτῆσις

περιποιητικός· διοικητής

περιπολεῖ (Plat. Phaedr. 246 B)· περιοδεύει, περιέρχεται, περιέπει, ἀναστρέφεται, περιπολεύει, κυκλεύει. καὶ τὰ ὅμοια

περίπολος (Eupol. fr. LVI al.)· φρουρός, ἔφορος

περὶ πολλοῦ ποιοῦ (cf. Herod. I 73)· τίμα, θεράπευε ⟨1992⟩

περιπόνηρος Ἀρτέμων (Anacr. fr. XIX Ar. Ach. 850)· παρὰ τὴν παροιμίαν τὴν περιφόρητος Ἀρτέμων. εἰσὶ δὲ Ἀρτέμωνες δύο

περιππεύει (Aeol.)· ἀφίησιν αὐτοὺς καὶ ἄλλῃ ὁδεύει

περιπρωκτιῶσα (Com. an. fr. CLXIX)· τρυφερευομένη ἐπὶ τῇ πυγῇ

περιπτύσσομαι· καταφιλῶ [35—37]

περιπτυχαί (Eur. Phoen. 1357)· περίβολοι [39]

(περιπυγής· πόρνος, μάχλος) cf. 1816

περίπυστα· διαβόητα

περιραίνεσθαι. περιραντίζεσθαι. ῥαντίζεσθαι ⟨LXX?⟩

περιρέζειν· τὸ ἐπὶ τοῖς καθαρσίοις θύειν

†περιρεμβαῦσαι· περιφθαρῆναι [44. 45]

περιρρηδής (χ 84)· περικεκλασμένος. περιστροβηθείς. οἱ δὲ περιερριμμένος. ἢ ὑπτιασμένος [47]

περὶ σέ· περὶ σοῦ, ἐγγύς σου, γνησίως διάκειμαι [49]

περισείρια· τὰ πλάγια τῆς γλώττης (Poll. II 107)

περίσημον· διαβόητον

περισκαίρουσι (cf. Nonn. Ioann. X 9)· περισκαρίζουσι

περισκελές (Hippocr. 664, 20)· σκληρόν, δυσχερές. ἢ μέχρι τῶν ποδῶν

COD. 98 λυπηρῶς, διαπονηθείς 1804 cf. περιέπειραν 5 περιπεπώληκα περιπέπληγμαι 7 μέλεσι — πλέγμα 9 περίπεμπτον 10 περιπετάσθαι πετάσας Post 10] 8 περιπεπλῆχθαι 17 περιπηγείς — ἐνπαγείς 18 περιπλέγδην 19 περιπλήξ 22 περίπλας 24 περίποδος — ἁρμόζων 32 περιιππεύει — ἀφεῖ — ὁδεύει ⟨33 cf. σαυλοπρωκτιᾶν⟩ 38 |πτηχαί 46 περιρρυδής, περικυκλασμένος Post 51] 61 περισιγᾶν

HES. 1800 περὶ πάντων (Λ 417)· ὑπὲρ πάντας τοὺς ἄλλους 6 περιπετάσας· περιβαλών 14 περίπετρον· πανταχόθεν ἐξέχον ⟨περιπτ—⟩ Ad 15 ἢ περίπευκος 16 περιπῆγις· πόρνος. μαχλος Ad 18 [περιπλη..] 20 περιπλέες (Λ 395)· λίαν, πλεονάκις 21 περιπλομένων (α 16)· περιπολουμένων, ἤγουν περιερχομένων Ad 25 ζωοποιεῖ (Exod. I 16 coll. 22) 35 περίπτερα (Cantic. VIII 6)· οἱ ἀποσπινθηρισμοί 36 περίπτερον (Amos III 15)· ὑψηλόν, πανταχόθεν ἐξέχον. ἢ στέγην ἔχουσαν ἐξοχήν ⟨1814⟩ 37 περιπτεύσαντες· περιδραμόντες (Polyb. V 73, 12) 39 περιπτύσσει· καταφιλεῖ(ς) 44 περὶ ῥίον (Θ 25)· περὶ τὸ ἀκρωτήριον 45 περὶ ῥέθεσι (Greg. Naz. C. IV 237)· περὶ ταῖς παρειαῖς 47 περισαίνοντες (κ 215)· κολακεύοντες. παρὰ τὸ σαίνειν, ὡς τῶν κυνῶν τὴν (οὐρὰν) κινούντων 49 περὶ σεῖο (Γ 137)· περὶ σοῦ. καὶ †περιέσσιον· περὶ σοῦ

περιτρέφετο (ξ 477)· περιεπήσσετο. ὅθεν καὶ τροφαλ[λ]ὶς τὸ πεπηγμένον

περιτριβομένων· † παρεσομένων

περίτριμμα τῆς ἀγορᾶς (Dem. 269, 19)· τετριμμένον

περιτροπέων (B 295)· περιτρεπόμενος. μέλλων τελειοῦσθαι. ἢ περιερχόμενος

περιτρόπου· ἴλιγγος ⟨1920⟩ [26—28]

περιττοί· περισσοί, περίεργοι

περιφαλλία· πομπὴ Διονύσῳ τελουμένη τῶν φαλλῶν

περιφάνεια· λαμπρότης, δόξα

περιφανέστερον· ἐμφανέστερον [33—35]

περιφερόμενα· λαλούμενα

περίφημος· ὀνομαστός

Περιφήτης· ὁ κορυνήτης

περιφθείρεται· τὰς φθεῖρας συλλέγει. ἢ μειοῦται, ἐλαττοῦται

περιφοιτῶντα· περιερχόμενον. περιγινόμενον

περιφορά (Plat. Legg. X 893 C)· ἡ κατὰ κύκλον κίνησις

περιφοραί· ὁμοίως [43. 44]

περιφραστικῶς· δύο λέξεων τὸ αὐτὸ σημαινουσῶν ὄνομα

περιφρονεῖς (Ar. Nubb. 225)· περισσοφρονεῖς, ὑπερφρονεῖς [47. 48]

περιχαρής (Soph. Ai. 693 Diphil. p. 395)· χαιρόμενος (sic). γελωτοποιός

περιχάσκειν (Hippocr. 469, 49 = II p. 237 K)· ἀνοῖξαι τὸ στόμα [51]

περιχιλοῦντες· ἀντὶ (τοῦ) ἄδην χορεσθέντες

† περιχλανίζεται· περικαλύπτεται. καλλωπίζεται. † ἢ παραστραγγεύεται ⟨v. λανίζει⟩

† περιχόραι· περιχορεῖαι

περιχορίζειν· ἐνόπλως, συντόνως ὀρχεῖσθαι [56. 57]

περιχωρεῖ· συμμίσγεται

περιχώρησον· μέτρησον. περίστησον

περίψημα· περικατάμαγμα. (περιψήματα·) ἀντίλυτρα, ἀντίψυχα [ad 60]

περίψυκτος· περιπόθητος, ἐκ ψυχῆς ὅλης ἀγαπώμενος

περιώγανα· ἐπίσσωτρα. οἱ δὲ τὰς κνημίας, αἳ περιπήγνυνται ταῖς ἁμάξαις ⟨cf. ὤγανον⟩

† περιώκαλα· ὑπέρσεμνα, ὑπερβαλλόντως καλά (Ar. Thesm. 282?)

περιωπή (Ξ 8 al.)· ἄποψις. τόπος ὑψηλός, ὅθεν ἐστὶ περισκοπῆσαι. ἀκρώρεια [65]

περιώσας· ὠθήσας: ζώσας (Dor.)

περιῶσιν· ζῶσιν. ὑπάρχωσιν

περιώσιον (Δ 359)· περιωσίως. περισσῶς. περισσόν. μέγα, ἢ πολύ (Greg. Naz. C. IV 197?)

περκάζει (Theophr. CP. III 22)· μελανίζει. ποικίλλει. ἢ πεπαίνεται

περκαίνειν· διαποικίλλεσθαι. καὶ τὰ ὅμοια

πέρκανα· τὰ ἱστοῦ περιπλέγματα ⟨cf. πευκάνα⟩

περκνόν (Ω 316)· μελανόν. ποικίλον

περκνός (Lycoph. 260)· γλαυκός. μέλας. καὶ τὰ ὅμοια

περκώματα (Aesch. Suppl. 233?)· τὰ ἐπὶ τοῦ προσώπου ποικίλματα [75]

Περμησσός (Hesiod. Th. 5)· ποταμός

πέρναται (Ar. Eqq. 176)· πωλεῖται [78]

πέρνᾳς (Hipponact. fr. 37)· πωλεῖς

πέρναξ· θρίδαξ

Πέρνη· ἔνιοι μετὰ τοῦ τ̄ Πτέρνη. εἶναι γάρ τι ἀκρωτήριον τῆς Αἰγίνης οὕτω προσαγορευόμενον

περνῆν· ἐμπωλεῖν

πέρνησον· πώλησον

περομνύναι· ἐλέγχεσθαι

περόναι· πόρπαι. καὶ τὰ ἀντικείμενα τῇ κνήμῃ ὀστᾶ (Poll. II 191) [86. 87]

COD. 23 τῆς ἀγορᾶς post 1926 30 περισφαλλία 46 περισωφρονεῖς 52 περιχειλ| (53 περιχλιδᾷ· (ὡρ)αΐζεται vel περιχλιδανίζεται Meinek.) 53 παραστρατεύεται 68 περιώσσιον, περιωσσίως 73 cf. πρακνός 77 περνᾶται 80 cf. τέρναξ 82 περνεῖν, ἐμπωλᾶν

HES. 26 περιτρόπιος (ε 130)· ἐπάνω τῆς τρόπιδος 27 περιτροπόωντες (ι 465)· περιχωροῦντες 28 περίτροχον (Ψ 455)· στρογγύλον 33 περιφέρεια (Eccles. IX 3)· διαστροφή. κύκλος 34 περιφερές (II Macc. XIII 5)· στρογγύλον 35 περιφέρεται (Prov. X 25)· πλανᾶται 43 περιφορᾶς (Greg. Naz. de Theol. 2)· περισπασμοῦ. πλάνης 44 περιφραδέως (Α 466)· περιπεφρασμένως. ἐμπείρως 47 περίφρων (α 29)· σωφρονέστατος, ἢ περισσῶς φρονῶν, συνετώτατος 48 περιφρῦναι (ω 235)· περιλαβεῖν, περιπλακεῖν 51 περιχεύας χρυσῷ (γ 384)· περιποθῶ χρυσίῳ 56 περὶ χροΐ (Η 207)· περὶ τῷ σώματι 57 περὶ χροΐ ἕσσατο (Η 207)· περιεβάλλετο Ad 60 ἢ ὑπὸ τὰ ἴχνη πάντων (I Cor. IV 13) 65 περιωπῆς (Greg. Naz. Stelit. I p. 1)· προσόψεως 75 Πέρκωσος καὶ Περκώτη (Β 835)· πόλις 78 περνάμενα (Σ 292)· πωλούμενα ⟨1764⟩ 86 περόνη (Ε 425)· ῥαφίς 87 περονήσατο (Κ 133)· ἐπορπήσατο, ἐπερονήσατο, διείρατο

περόσχια· τὰ ῥάχη

πέρπερα· προπετῆ [90]

πέρπερος (Polyb. XXXII 6, 5)· μετὰ βλακίας ἐπαιρόμενος [92]

Πέῤῥαμος (Aeol.)· βασιλεύς

πεῤῥεθήκατο (Aeol.)· περιεθήκατο

Περρεύς· ἥρως Ἀθήνησι τιμᾶται

πεῤῥέχειν (Aeol.)· ὑπερέχειν

†πεῤῥησιππίαν· τὴν ἀνατρέπουσαν ἵππον

Περρίδαι (Nicand.)· τῆς Ἀττικῆς δῆμος ἐν Ἀφίδναις

πέρ σε (Sapph. fr. 109, 2)· πρός σε [2000. 1]

Πέρσης· κυβευτικοῦ βόλου ὄνομα

Περσίδα στολήν· Περσικήν, ὅ ἐστιν ὑπόδημα

Περσία· θεὰ ἡ Ἄρτεμις

περσικά· εἴδη καρύων. ἡ εὐτελῆ ὑποδήματα (Ar. Eccl. 319 Lys. 229). καὶ ὀρθαὶ βακτηρίαι (Ar. fr. XI p. 999). καὶ ὄρχησις Περσική (Ar. Thesm. 1175)

περσικὸς ὄρνις (Cratin. fr. I p. 162)· ὁ ἀλεκτρυών

πέρσος· ὁ ἰχθῦς ποιός, ἐν Ἐρυθρᾷ γινόμενος

περ(υ)σινὸν ἔφηβον· τὸν ἐξ ἐφήβων

πέρυτι· ὁ παρεληλυθὼς χρόνος

Πέρφερες (Herod. IV 33)· θεωροί

Περφίλα· Σωσίβιος. κύριον ὄνομα

περώσιον (Dor.)· μέγα [13]

πέσημα (Eur. Alc. 698)· πτῶμα

πεσκέων· δερμάτων (Nic. Th. 549)

πέσκον· πικρόν (cf. πεικόν). ἡ κώδιον, ἡ δέρμα

πέσμα· ἡ πεῖσμα. ἡ μίσχος. ἔστι δὲ ἐξ οὗ τὸ φύλλον ἤρτηται [18]

πέσσαι· πῖσαι. [ἢ πάσχειν. καὶ νέμειν, καὶ τεχνᾶσθαι τῇ διανοίᾳ

πεσσὰ πεντέγραμμα κα[illegible]βων βολάς· Σοφοκλῆς Ναυπλίῳ Πυρκαεῖ (fr. 393). παρ' ὅσον πέντε γραμμαῖς ἔπαιζον. διαφέρει δὲ πετ(τ)εία κυβείας. ἐν ᾗ μὲν γὰρ τοὺς κύβους ἀναῤῥίπτουσιν· ἐν δὲ τῇ πετ(τ)είᾳ αὐτὸ μόνον τὰς ψήφους μετακινοῦσι

πέσσει· πεπαίνει. θεραπεύει. κατέχει. καταπραΰνει [22]

πέσσεται· ὀπτᾶται. Ἀρκάδες ὀπτήσει

πεσσεύων μετατίθεσο· τὴν γνώμην πρὸς τὸ κρεῖσσον [25. 26]

πεσσοῖς· πεττοῖς. βολίοις, κύβοις

πέσ(σ)ον· †ὄρος· χωρίον Κύπριοι· πεδίον Αἰολεῖς· τινὲς ὁμαλές

πεσσός· οὕτως ἐκάλουν τὰς ψήφους, αἷς ἔπαιζον. καὶ τὸ περὶ τὴν κόρην μέλαν τοῦ ὀφθαλμοῦ (Poll. II 71) [30. 31]

πεσσύγγιον (Aeoles)· σκυτεῖον

†πεσσύπτη· σκυτεύρια

πέσσυρα (Aeoles)· πίσυρα. τέσσαρα

πέσσυρες· τέσσαρες. Αἰολεῖς

†πεσσῶν· πάσχων

πέτα· πτῶσις. στάχυα(ς)

πετάζει· ἁπλοῖ. σκεπάζει (2051)

πεταιτά· μετέωρα. ἀμπελουργία, ὡς αἱ ἀναδενδράδες

πετάλα· †ὀνόματα θήλεια. καὶ βοῦς

πέταλα, οὐδετέρως (Strattid. fr. I 6 p. 787)· τὰ φύλλα

πεταλίδων ὑῶν †μεταίη (Achaei fr. 8)· ἀπὸ τῶν μόσχων. πέτηλοι γὰρ οὗτοι λέγονται

πεταλίζειν· βλαστεῖν. φυλλολογεῖν

πεταλισμός· ὁ διὰ φύλλων ὀστρακισμὸς γινόμενος

πέταλον· φύλλον. καὶ τῆς ἐπιγλωσσίδος τὸ καλύπτον τὸ στόμα

†πεταλωτόν· ἀκμαιότατον. εὐειδέστατον [47—51]

COD. 93 πέῤῥαμος 94 πεῤῥεθήκατο 95 πρὸς Ἀ| 99 περσέ (cf. περὶ ἐμὲ) 2003 πόλιν 4 περσιθέα, ἡ Ἀφροδί[illegible] 7 περσεύς Aelian. *NA* III 28 8 cf. πρύανος 9 πέρυσι (Apoll. Dysc. synt. 56, 7) [illegible] cf. gl. μ 910 17 πίεσμα ἢ μόσχος (cf. πάσμα) 19 πέσσαι, πεῖσαι 20 πέντε γράμματα 28 ὁμαλίς 29 cf. 2302 πεμφθοί 32 πέσ-μτ-συμπτον, σκυτίον (cf. πισύγγιον) ⟨33 πεσσύκια· σκυτάρια?⟩ 40 ὀνό 41 πέταλλα 42] post 46 44 πεττ| φίλων 45 πέταλλον 47 non σπαταλοῦνται sed πεταχνοῦνται

HES. 90 περπερεύεται (I Cor XIII 4)· κατεπαίρεται 92 περὶ πολλοῦ ποιεῖται· τιμᾷ, θεραπεύεται ⟨1830⟩ 2000 πέρσαντες (ε 107)· ὀλέσαντες, πορθήσαντες, ἀνελόντες 1 Πέρσας (Β 660)· τὰ αὐτά. καὶ τὸ ἔθνος 13 πεσέεσθαι (Ι 235)· πεσεῖσθαι 18 πεσέονται (Λ 824)· πεσοῦσιν 22 πεσ(σ)έμεν (Β 237)· πέσ(σ)ειν 25 πεσσήματα· πτώσεις (Aesch. Suppl. 337) 26 πεσσήματος· πτώσεως, πτώματος 30 πεσσοῖσι (α 107)· τοῖς κύβοις· παρὰ τὸ πίπτειν αὐτούς 31 πέσσω· ὀπτήσω ἄρτον 47 πεταλοῦνται (Aristoph. p. 1062)· ἐξυπτιῶνται. τρυφῶσιν ⟨1186⟩ 48 πέταχνον (Alexid. p. 408)· ποτήριον ἐκπέταλον. (τὸ) δὲ αὐτὸ καὶ πέταχνον 49 πετάσας (Φ 15)· ἁπλώσας. τανύσας 50 πετᾶσθαι γαμβραί (Eur. Androm. 641)· κεκτῆσθαι 51 πετάσσειεν (σ 159)· ἁπλώσειεν. κουφίσειεν. ἀπὸ ἐνεστῶτος τοῦ πετάζω ⟨2038⟩

πέτασος (Philem. com. p. 12)· τὸ τῶν ἐφήβων φόρημα
πέταυρα· τίγνα ⟨2058⟩ [54]
†πετελκές· καμπύλον [56. 57]
πέτευρον (Arist. fr. CCXXXVI)· σανίς, ἐφ' ἧς αἱ ὄρνεις κοιμῶνται· καὶ πᾶν τὸ ἐμφερὲς τούτῳ. καὶ ὄργανον ποιόν (Polyb. VIII 6, 8). καὶ πᾶν τὸ μακρὸν καὶ ὑπόπλατυ. ἔστι δὲ λεπτόν, ὅταν ἐν μετεώρῳ κείμενον ᾖ. Πέτευρον λέγεται, ἢ καὶ πέντευρον [58]
πετήλας· τοὺς μικροὺς καὶ θαμνώδεις φοίνικας
πετηλίς· ἀκρίς
πετηνίς· κόρις [63. 64]
πετραδεῖλαι ⟨πεπρ—⟩· οἱ μὲν τοὺς ἀποπνευματισμούς· οἱ δὲ εἶδος ἰχθύων
†πετρεφράμη· θερασεῖα. θερμή [67—69]
πεττεία· διὰ κύβων παιδιά
πεττείαις· κύβοις, τάβλαις, παιδιαῖς
πεττεύει· διαπαίζει. μεταστρέφει. κυβᾷ [73]
?πεττοί· βόλια, ἐν οἷς ταυλίζουσι
πεττεύουσι· κυβεύουσιν
πέττουσιν· ἑψοῦσιν
πευδρία· ἀρτοθήκη ⟨cf. σιπύη⟩
πεύθεται· πυνθάνεται. ἀκούει [79]
πεύθη· πεῦσις. ἐρώτησις
πευθῆνες· πιστοί. περίεργοι
πευθείς ⟨πεφ—⟩· ἐφηθείς
†πευΐδας· λαμπάδας
†πευκαλεῖται· ξηραίνεται. ἢ ἀντὶ τοῦ ζητεῖται. Ἀριστέας
†πευκαλέον· ξηρόν. ἀγγεῖον
πευκαλίμαις· συνεταῖς. ὀξείαις. πικραῖς. ἢ ἀγαθαῖς
πευκαλίμη· θερμή. θρασεῖα. καὶ φλεγμαίνουσα
πευκαλίμῃσι (Ξ 165)· πυκναῖς. συνεταῖς. καὶ τὰ ὅμοια
πευκάνα· [πευκονία.] ἱστοῦ παράπλεγμα [τροχίαι ⟨2093⟩]
πευκεδανόν (K 8)· πεύκαες. πικρόν
Πευκέτιοι (Pherecyd. Callim. fr. 392)· οἱ περὶ τὸ Βρεντέσιον οἰκοῦντες
πεύκινον δάκρυ (Eur. Med. 1189)· πίσσαν
†πεύκλα· ἁματροχιαί ⟨2089⟩
πεῦσις· ἐρώτησις. ἀπόκρισις
πεύσομαι· ἐρωτήσω. ἀκούσω. ἐρευνήσω. μάθω (φ 262)
†πευστός· ὑπήκοος ⟨πιστός?⟩
πέφανται (E 531 Aesch. Ag. 331)· πεφανέρωνται. ἢ πεφονευμένοι εἰσίν
πεφάσθαι (Ω 254)· πεφονεῦσθαι, καὶ ἀνῃρῆσθαι. ὅθεν καὶ φάσγανον
πεφασμένον (Ξ 127?)· φανερόν (Aesch. Prom. 843). ἀνῃρημένον. ἢ πεφανερωμένον [2100]
πέφαται· εἴρηται. τέθνηκεν, ἀνῄρηται, πεφόνευται (P 689)
πεφαύλικεν· ἤμβλυκεν [3]
πεφένακικεν (Demosth. 22 E)· ἠπάτηκεν
πεφενακισμένος· ἐξηπατημένος
†πέφη· ἐφάνη ἢ πεφύκασι [7. 8]
πέφηνεν (Eur. Bacch. 182)· ἐφανερώθη, ἐφάνη. ὑπῆρχεν
πεφηνώς· ἕτοιμος. φανερός [10—12]
πεφλάζει (Aeoles)· βράζει
πεφλοιδώς· [ad 14]
πεφλοιδέναι· †φλυκταινοῦσθαι
πέφνειν· κτείνειν
πέφνεν· ἀνεῖλεν [ad 17] [18]
πεφοιβῆσθαι· κεκοσμῆσθαι, κομᾶν [ad 19]
πεφοινιγμένη· ἡματωμένη, πεπυρ(ρ)ωμένη. ἀπὸ φόνου, ἢ φοίνικος
πεφοιτηκότες· παραγενόμενοι

COD. 52 φρόνημα 53 σίγνα ⟨2058⟩ 61 πετηλίας· καρίς Aelian. NA. VII 30 71 παιδιλαῖς 89 cf. πέρκανα et πεύκλα 90 πευκές 91 τὸν 92 πευκινοδάκρυν 95 μαθῶ 98 πεφονεύεσθαι 2102 πεφαύλαγεν 4 πεφένακεν |σεν 9a πεφηνός 14 πέφλοιδος 15 φλεκτενεῖσθαι 19 πεφοβεῖσθαι

HES. 54 πέταυρον (gl. Prov. IX 18)· εἶδος παγίδος 56 πετεηνῶν (υ 87)· πετεινῶν 57 πετέσθην (E 366)· ἐπέτοντο. δυϊκῶς 58 Πετευών (B 500)· πόλις 63 πέτραι ἠλίβατοι (Π 35)· ὑψηλοὶ κρημνοί, ἀκρώρειαι 64 πετρέμβατοι (Π 35)· ὑψηλοὶ κρημνοί ⟨cf. πατρέμβατοι⟩ 67 πέτρη τ' Ὠλενίη (B 617)· πόλις 68 πέτρον (Π 734)· λίθον 69 πετειᾷ· παίζει 73 Πέτρος. ἐπιλύων. ἐπιγινώσκων. οὗτος καὶ Σίμων καὶ Κηφᾶς καὶ Συμεὼν ἐλέγετο 79 πεύθετο (Λ 21)· ἤκουεν. ἐπυνθάνετο 2100 πεφάσσουσα (B 450)· ἐνθουσιωδῶς ὁρμῶσα 3 πεφαυλισμένον (Iob. XXX 4)· ἀποδεδοκιμασμένον 7 πεφήμωσο (Marc. IV 39)· παῦσον. φιμώθητι 8 πεφήνακεν· ἠπάτησεν ⟨2104⟩ 10 πεφήσεαι· τολμήσεις, ὑπομενεῖς. τεθνήξῃ (N 829) 11 πεφήσεται (P 155)· φανεροποιήσεται 12 πεφειδέσθαι (Φ 101)· φείσασθαι Ad 14 †τὸν φλοιὸν ἀποβαλών ⟨ad πεφλοϊκώς⟩ Ad 17 ἐφόνευσεν (Ω 605) 18 πεφοβημένοι (O 4 Φ 606)· εἰς φυγὴν τετραμμένοι Ad 19 δεδοικέναι ⟨πεφοβῆσθαι⟩

Πηλέως μάχαιρα (Ar. Nub. 1059)· παροιμία, ἣν ἐκ πλήρους Ἀριστοφάνης ἀναγράφει οὕτω· μέγα φρονεῖ μᾶλλον, ἢ ὁ Πηλεὺς τῇ μαχαίρᾳ [ad 79] [80. 81]

Πήληξ (Ο 608)· περικεφαλαία, ἀπὸ τοῦ πάλλεσθαι, ὅ ἐστι κινεῖσθαι. καὶ δῆμος (Aeschin. 73, 22)

Πηλιάδα (μελιήν Π 143)· τὸ δόρυ [84]

πηλιδνόν· πελιδνόν

πηλίκον· οἷον, ὁποῖον, ποταπόν. διάφορον [87]

πηλίναις· χοϊκαῖς

πήλινος· ἐκ πηλοῦ, χοϊκός [90]

πηλός (Soph. 710)· οἶνος. Ἴωνες, ἔνθεν καπηλεῖον καὶ κάπηλος ὁ τὸν οἶνον πωλῶν

πηλὸς αἴδνός· περὶ τὴν Λιβύην ἐστὶ τόπος. καὶ τὸν ὁρίζοντα ὠκεανόν

πήλυξ (Lacon.)· ῥαγάς ⟨q. v.⟩

πῆμα· βλάβη. †ἀναπημονή ⟨ἄτη. π—⟩ [95]

πημαινούσης· κακούσης. καὶ τὰ ὅμοια

πήμασι· κακοῖς. [ad 97] βλάβαις [98]

πῆμος· πηνίκα

πῆν· πῇ καὶ πῆν ἐπὶ τοῦ κατάπασσε καὶ καταπάσσειν

πήνα· ἀπήνη ⟨benna? an πήνεα· πήνη?⟩

Πηνειός (Call. Del. 105)· ποταμὸς ἐν Θεσσαλίᾳ [2203]

πηνέλοψ (Ibyc. Stesich. Ar. HA.)· ὄρνις ποιός

πηνηκίζειν (Cratin. fr. XLIX)· ἀπατᾶν

πηνηκισμάτων· φενακισμάτων ⟨2181⟩

πήνην· [ad 7] λέγεται ἡ ἐργασία

πηνία· ἐντίθεταί τινα τοῖς πλακοῦσι λεγόμενα πηνία. ἔστι δὲ λευκὰ καὶ προσόμοια τοῖς πηνίοις ὄντως (Poll. VI 79)

πηνίκα (Menand. p. 179)· πότε [ad 9]

πηνίκα δέ· [ad 10] πότε δέ

πηνίκη (Arist. p. 1176)· θρίξ. ἐμπλοκή

πηνίον (non Ψ 762)· πανούκλιον (panuvellium). ἡ ἄτρακτος, εἰς ὃν εἱλεῖται ἡ κρόκη [13]

πῆνος· ὕφασμα

πηνώμενον· πηνιζόμενον. τριβόμενον

πῆξαι (Hom.?)· κατασκευάσαι. στῆσαι

πήξας (λ 128?)· στήσας. βαλών. κατασκευάσας [18]

πηοί (Γ 163 Hesiod.· φίλοι)· συγγενεῖς, οἱ κατ' ἐπιγαμίαν οἰκεῖοι. ἀγαθοί. ἀναγκαῖοι. ἀνδρεῖοι

πήραξον (Cretes)· ἀφόδευσον

Πηρεφόνεια· Περσεφόνεια. Λάκωνες

πηρία· Ἀ(σ)πένδιοι τὴν χώραν τοῦ ἀγροῦ [23]

πῆριξ· πέρδιξ. Κρῆτες

πηρίς· ὄσχη, κήλη, αἰδοῖον. καὶ ἱερεῖον ταυρία

πηροῖς (cf. Plat. Phaedr. 257 A)· βλάπτοις [27]

πηρόν (Simonid. iamb. VI 22)· τὸν παντάπασι μὴ ὁρῶντα

πήρωσις (Plat. com. p. 697)· βλάβη. λύπη. τύφλωσις

†πήσασθαι· μέμψασθαι

πήτεα· πίτυρα

πητῖται· πιτύρινοι ἄρτοι. Λάκωνες [33]

πῆχυς· νεῦρον, ἢ τὸ τοῦ τόξου μέσον· ἔνιοι τὰ ἄκρα. κιθάρας δὲ πῆχυς ὁ ἀγκών. ἢ ὁ εἷς καὶ ἥμισυ πούς

πηῶν (Antimach.)· φίλων. συγγενῶν

πιαζόμενος· θλιβόμενος

πιαίνει (Eur. Cycl. 333)· σιτεύει. λιπαίνει [38. 39]

πιαλέον· λιπαρόν [41]

πίαλον· παράλευκον

πῖαρ (Λ 549)· τὸ κράτιστον. καὶ στέαρ. ἢ τὸ πέρας (ε 289). καὶ λιπαρόν

COD. 91 καὶ πήλιον post 90 92 cf. αἴδνόν 2200 πῆκαι πῆν — καταπάσσαι 5. 6 πηνι| 7 πήνειον, τὸ ἀνάπτειν 9 ποτέ 10 ποτέ 11 ἐμπλοκεῖ 12 ἄδρακτος 15 πηνόμενον 24 πήριξ 25 cf. πεοίνα 27 ἐνεὸν δὲ 31 πήτυρα 32 πητεῖται, πητύριοι 33 πηχέων 42 πιαλόν 43 cf. ἐκπῖαρ, πέαρ

πόμα (Nic. Al. 105)· πόσις [56]

πομάτεσ(σ)ι· πόμασι

†πομμοῦσαν· ὁμιλεῖν

πομπεῖα (Andocid. p. 33, 1)· τὰ πρὸς τὰς πομπὰς σκεύη. ἢ τόποι, ἐν οἷς τὰ ἐκ τῆς πομπῆς ἀποτίθεται (Dem. 918, 26)

πομπεῖ (Antimach. fr. 4, 2 Bgk.)· πομπευτῇ

πομπεύει· κατασχολάζει ⟨cf. ἐμπομπεύων⟩

πομπεύων· περιάγων. καὶ τὰ ὅμοια

πομπή· ἔφοδος. καὶ ἐξαποστολή, παραπομπή [64]

†πομπηγορῶσι· προπέμπουσι

πομπίλος (Pancrates)· ποιὸς ἰχθῦς [67]

πομποστολεῖ (Aesch. Ag. 299)· ἐκπέμπει τὸν πλοῦν

πομποῦ· ὁδηγοῦ [70. 71]

πομπῶν (Soph. OC. 723)· ὁδηγῶν

†πομφαγωγεῖ· τὴν πομπὴν ἄγει

πομφ†αγεῖται· φυσοῦται. ἀναβράζει

πομφόλυγες (Nic. Th. 239)· τῶν ἀσπίδων αἱ ἐξοχαί. καὶ ἐν τῷ ὕδατι γενόμεναι οἰδήσεις, ἢ φυσήματα ὕδατος. ἐπὶ τῶν διακενῆς φυσιωμένων λέγεται ἡ λέξις

πομφόλυξ· ὕδατος κάχλασμα. καὶ τῶν ἀσπίδων αἱ ἐξοχαί

πονεῖν· ποιεῖν. ἀσκεῖν. κακοπαθεῖν. ἐνεργεῖν [78. 79]

πονεύμεναι· ἐπειγόμεναι [81]

πονήματα· κόποι

πονηρία· ἐπιπονία

πόνηρον· ἐπίπονον. κακοπαθῆ

πόνηρος· τὰ αὐτά

πονηρός· κακός, δεινός, κακοῦργος [87]

πονίωμεν (Dor.)· πονῶμεν

†πόννα· τὸ γράφος. ἢ μάγος ⟨cf. πῶννα⟩

†πόννος· μάγος

πόνος (Apoll. lex.)· ἄλγος, ἐνέργημα ὀδύνης

πόντια ῥάκη· σπόγγοι, ἢ τὰ τούτων σπαράγματα

†ποντινοί· σπόγγοι [94—95]

πόντος· θάλασσα, πέλαγος [97]

ποντοπόροις· θαλασσοπλόοις

ποντοπόροισι (B 771)· πλωταῖς [3000—2]

COD. 38 κλύδονες 50 πολύωπον 52 πολυωρία 54 πόμφυκα 60 πομπεύεται 73 πομπαγαγεῖ 74 ἀναχράζει ⟨πομφολυγοῦται?⟩ 75 ἔξοδοι καὶ — φύσημά τι 76 κόχλασμα 88 πονιῶμεν 92 ῥάκκη

HES. 39 πολυφλοίσβοιο (A 34 non Archil. fr. 92)· πολυταράχου, πολυκινήτου 40 πολυφόρβου (Ξ 200)· πολλοὺς τρεφούσης ἢ πολλὴν φορβὴν ἐχούσης 43 πολύφρονα (ξ 424)· σώφρονα, συνετόν, φρόνιμον 44 πολύχαλκον (γ 2)· ἰσχυρόν, στερεόν 51 πολυωρήσεις (Ps. CXXXVII 3)· φυλάξεις, φροντίδα πολλὴν ποιήσεις 56 πόμαλα· τρόπον τινά ⟨πώ—⟩ 64 πομπῆες (γ 325)· προπομποί, οἱ προπέμποντες, ὁδηγοί 67 πομπός· ὁδηγός (Ω 182), προπέμπων 70 πομπυσμάτων· συρισμάτων ⟨ποππ—⟩ 71 πομποβόλῳ· πέντε ὀβελίσκους ..... 78 πονέεσθαι (K 116)· ἐνεργεῖσθαι. καὶ τὰ ὅμοια 79 πονέοντο (E 84)· ἐνήργουν 81 πομφυίζεσθαι· αἰσχύνεσθαι ⟨πομφολύζεσθαι· ἐκχύνεσθαι?⟩ 87 πονήσατο (I 348)· κατειργάσατο 94 ποντοβρόχους (III Macc. VI 4)· ὑπὸ θαλάσσης βρεχομένους 95 ποντόθεν (Ξ 395)· ἐκ πελάγους 97 ποντοπόροιο (A 339)· θαλασσοφλόου 3000 ποντοπόρος (μ 69)· πέλαγος διαπορευομένη, πελαγοδρόμος 1 ποντοικάροιο (B 145)· τοῦ Ἰκαρίου πελάγους, ὅπερ ὠνομάσθη ἀπὸ Ἰκάρου, τοῦ Δαιδάλου παιδός, πεσόντος εἰς αὐτὸ καὶ ἀποθανόντος 2 ποντοκεκλημένοι (O 740)· περιεχόμενοι ὑπὸ τῆς θαλάσσης

**πόρταχος**· ὦμος

**πόρταξ**· ἄρρην βοῦς. τινὲς δάμαλιν, ἄλλοι νεογνόν, οἱ δὲ μόσχον [74]

**πόρτις** (Ε 162)· δάμαλις, ἡ νέα βοῦς

**πορτιφόροι**· οἱ αἴροντες τὰ †χόρροια ἐπὶ τῶν ὤμων [77]

**πορύνωμεν μᾶζαν** (Aeol.)· τῇ χειρὶ προσπιέζωμεν

**πορύναν** (Aeol.)· μαγίδα

**†πορφίτῳ**· περόνῃ [81—88]

**πορφύρεος θάνατος** (Ε 43)· ὁ μέλας. καὶ βαθύς. καὶ ταραχώδης

**πορφύρεται**· διαλογίζεται

**πορφύρῃ** (Ξ 16)· μελανίζει. ταράττει. πορφυρίζει

**πορφυρίων** (Ar. Av. 707)· εἶδος ὀρνέου. καὶ ἰχθῦς. καὶ ὄρνις ποιός

**πορφύροντες**· κακοτεχνοῦντες

**πορφυρώματα**· τῶν ταῖς θεαῖς τυθέντων χοίρων τὰ κρέα [90. 91]

(**πός**· πούς, ὑπὸ Δωριέων) 4515

**ποσαχῶς**· κατὰ πόσους τρόπους, πολλαχῶς [93. 94]

**πόσθη** (Ar. Nub. 1017)· τοῦ αἰδοίου τὸ δέρμα

**πόσθιον** (Ar. Th. 521)· αἰσχρόν. ἀνδρεῖον

**πόσθων** (Ar. Pac. 1300 Menand. p. 210)· πόσθην τὸ ἀνδρεῖον αἰσχρὸν λέγουσι. πόσθωνας δὲ παρὰ τοῦτο τοὺς παῖδας, τινὲς δὲ τοὺς φάλωνας, ἄλλοι μωροὺς ἢ παιδαριώδεις [98—3101]

**Ποσείδεα**· ἑορτὴ Ποσειδῶνι τελουμένη [3. 4]

**πόσιος** (Λ 469)· πότου

**πόσιος** (π 75)· ἀνδρός

**πόσις** (κ 176 Com. an. CCCXLIX)· πόμα. ἀνήρ. πότος ἢ οἴνου ἢ ὕδατος

**ποσότης** (Polyb. XVI 12, 10)· ἀριθμός. μέτρον

**ποστημόριον**· ὀλίγον μέρος [10]

**πόστος**· ποῖος

**ποσῶς καὶ πή**· μερικῶς

**ποταμηδόν**· δίκην ποταμοῦ

**ποτανόν** (Aesch. Ag. 394)· πτηνόν, πετεινόν

**ποτάγχυμες** (Aeol.)· προσορμίζομεν

**ποταίνιον** (Aesch. Prom. 102 al.)· νέον, πρόσφατον. οἱ δὲ σύνεγγυς ⟨ποτάγχιον⟩

**ποταμός**· ὁ ὠκεανός. καὶ τὸ ὑγρόν. καὶ ὁ σωματοειδὴς θεός. καὶ ἐπὶ τοῦ ἥπατος σημεῖον

**ποταμόχωστος**· γῆ τις· ἀπὸ τοῦ συμβαίνοντος

**πόταρος** (Dor.)· γνώριμος

**ποτᾶται** (Eur. Or. 7)· πέταται

**ποτεχλεπτόμαν** (Dor.)· προσεπορευόμην

**ποτεχχετήρια**· τορνευτήρια

**πότερον**· ὁποῖον ἓν ἐκ τῶν δύο, ἢ ἄρα ποῖον τῶν δύο

**ποτερόν**· ἓν ἐκ δύο, ἕν

**πότερος**· ἕτερος [26—28]

**ποτήρ** (Eur. Alc. 756 Cycl. 151)· μέτρον ποιόν

**ποτητύν**· τὸ πίνειν

**ποτί** (Lacon.)· πρός τί [32]

**Ποτίδαια** (Ar. Eqq. 440 Thuc. I 57)· ὄνομα πόλεως

**†ποτὶ δέ**· πότε δέ [35—38]

**ποτὶ δὲ φάναι**· ἐκφάναι

**ποτιδόρπια**· προσσίτια

**ποτὶ ἑσπέρᾳ**· πρὸς τῇ ἑσπέρᾳ

**ποτίκρανον** (Theocr. XV 3 p. 298 M)· πρόσκρανον, τὸ προσκεφάλαιον. καὶ τὸ δερμάτινον ὑπηρέσιον, ἐφ' οὗ καθέζονται οἱ ἐρέσσοντες [43. 44]

**ποτιρόμενος**· ἐρωτῶν (Η 127?). ἢ †μαινόμενος

COD. 79 χαγίδα 87 πορφυρεῖον 89 τιθέντων 96 πόσθοιον· αἰτρόν 97 αἰτρὸν — περὶ τοῦτο 3102 ποσειδία 5 πέτος 6 ποσίεος 15 |εν 16 ποταίνοον 18 |οστος 24 πότερον 30 ποτήτυν 33. 34 = 34. 33 33 ποτιδέα 39 πότιδε, φάναι, 42 πόκρανον — ὑπηρέσσιον

HES. 74 πορτικός· στοά ⟨porticus⟩ 77 πορτμίς (Λ 424)· κατὰ τὴν ὀμφαλόν 81 πορφύρει· ταράττεται. φροντίζει. μελανίζει ⟨3086⟩ 82 πόρφυρεν κραδίη (Φ 551)· ἐμερίμνα ἡ καρδία 83 πορφύρεον (Λ 482 al.)· πόρφυρον ⟨rubebant⟩. μέλαν 90 πόρωσι (Π 86)· χαρίσονται. δώσουσιν 91 ποσαπλῶς (Ps. LXII [III] 2)· πολλαχῶς. ἀναριθμήτως 93 ποσάως, μερικῶς ⟨3112⟩ 94 πόδε (Π 422 ζ 199)· ποῖ. ποῦ 98 ποσί (Ε 745)· τοῖς ποσί 99 πόσιας (Ζ 240)· τοὺς ἄνδρας 3100 ποσὶ δατεύνιον (Ψ 121)· ἰσχυρῶς τοῖς ποσὶ περιπατοῦν 1 Ποσειδάων (Α 400)· Ποσειδῶν 3 Ποσειδήϊον (ζ 266)· τὸ τοῦ Ποσειδῶνος 4 πόσιν (Γ 163)· ἄνδρα 10 πόστον (ω 287)· πόσον 26 ποτή (ε 337)· ποτηνή. πτηνή 27 πότημα (Ierem. LI [XXVIII] 39)· ποτήριον. ἢ ὁ πότος αὐτός 28 πότην (ε 337)· ἰδέαν. οἱ δὲ πτῆσιν 32 ποτὶ γαίῃ (Α 245)· πρὸς τῇ γῇ 35 ποτιδέγμεναι (Β 137)· προσδεχόμεναι 36 ποτιδέγμενοι (Η 415)· [ ] οἴνῳ δαμασθέντες ⟨πότιδες⟩ 37 ποτιδέγμενος (Κ 123)· προσδεχόμενος ⟨Call. Dian. 147⟩ 38 ποτιδέρκεται (Π 10)· προσβλέπεται 43 ποτιόσσεται (ε 389)· προσδοκᾷ ⟨cf. προ—⟩ 44 ποτὶ πλάδεσσιν (Greg. Naz. C. IV 323 et γ 298)· ἐπὶ ταῖς θαλασσίαις (πέτραις)

ποτὶ φῦλα (inc. epic.)· πρὸς τὰ ἔθνη
ποτὶ χόρτον (inc. epic.)· πρὸς ᾠκοδομημένον τοῖχον [48]
πότμος (Σ 96)· μόρος. ἡ κατασκευή
πότμῳ (Eur. Hipp. 561)· μόρῳ κατασκευαστῷ
πότνα (υ 61)· πότνια, σεβαστή, ἔντιμος. ἡ φίλη. καὶ δέσποινα. καλή ⟨cf. κατνή⟩. †μεσήτρια
ποτνιᾷ· ἱκετεύει, παρακαλεῖ
πότνια γῆ (Hom. epigr. 7, 1)· καλὴ γῆ
ποτνιάδες (Eur. Bacch. 663)· αἱ Βάκχαι. ἀντὶ τοῦ μαινάδες καὶ λυσσάδες, μανίας αἴτιαι
ποτνιάζου· εὔχου, παρακάλει [56]
ποτνιᾶται· ἐπικαλεῖται. δυσωπεῖ. παρακαλεῖ
ποτνιῶμαι· θεοφοροῦμαι. ἐξιλεοῦμαι, παρακαλῶ. δυσφορῶ. μετ' οἰμωγῆς ἱκετεύω [59]
ποτόμφει (Ar. Lys. 206)· προσόζει
πότος· εὐωχία, ἄριστον, δεῖπνον. ἡ αὐτὸ τὸ πιεῖν
(ποτώμεναι [Ar. Av. 830]· διατρίβουσαι, διακινοῦσαι) 4521)
ποτωμένας· διατριβούσας [63. 64]
πούανοι (Lacon.)· κύαμοι ἑφθοί, ὄσπριον
ποῦ κῆχος (cf. Pherecr. p. 343)· πῆ γῆς, εἰς τίνα τόπον. καὶ ποῦ ἄγχι [67. 68]
πουλύπους· τι μέρος τοῦ ἁρματ(ε)ίου τροχοῦ. καὶ τῶν ἀμπέλων
πουλύποδος δίκαν (Alcae. com. p. 832)· ὅτι αὐτὸς τὰς ἑαυτοῦ πλεκτάνας ἐσθίει
ποῦμμα· ἡ τῆς χειρὸς πυγμή
πουνιά†ζειν· παιδικοῖς χρῆσθαι· πούνιον γὰρ ὁ δακτύλιος ⟨3156⟩
ποῦ νύ τοι· ποῦ δή σοι
†πούρδαιν· μαγειρεῖον. Λάκωνες
πουρέακος· κρίκος σιδηροῦς τετρυπημένος, καὶ ἧλον ἔχων ἐν τῷ τρυπήματι στρεφόμενον, ᾧ χρῶνται πρὸς δεσμὸν συῶν. Πουστάκους. ὡς Ἀριστοφάνης φησὶν ἐν ἐξηγήσει Λακωνικῶν [76]
ποῦτριν (Aeol.)· σαπρόν (putrem)
†πουφορούζεται· σιχαίνει [79]
πράγματα· δυσχέρειαι
πραγματεία· σύγγραμμα βίβλου ἢ λόγων
πραγμάτοιν (Eur. Erechth. 364, 9)· πραγμάτων δυϊκῶς
πραγορίτης· οἰνός τις
πραθεῖν (Hesiod. Scut. 240?)· πορθῆσαι. ἐξελεῖν
†πραθενεύεσθαι· θρασύνεσθαι. ἐπαγγέλλεσθαι λόγοις [86. 87]
πραινοῖ (Boeot.)· πρηνίζει. καταστρέφει
πράκες· Ἀρίσταρχος †χλανίαι. ἔλαφοι. ἀπεδόθησαν δὲ φρατριαὶ ἀνδρῶν διαβεβλημένων ἐπὶ μοχθηρίᾳ
πρακνόν· μέλανα ⟨1972. 3229⟩
πρακτικόν· ἀνυστικόν
Πράκτιον· πόλις Τροίας
πράκτορες (Aesch. Eum. 320)· ἀπαιτηταί [94]
πράμνη· δίκελλα. ἄμπελος
Πράμνιος οἶνος (Ar. Eqq. 170)· ὁ ἀπὸ τῆς Πραμνίας ἀμπέλου, ἔστι δὲ ἐγκώμιον οἴνου. καὶ σκληρὸς οἶνος [97]
πρανῆ †κοῖλα
πρανιχθέντα· πεσόντα ἐπὶ στόμα ⟨cf. πρη—⟩
πρανόν· τὸ κατωφερές, πρανές
πρανώ· ἀκρίδος εἶδος ⟨= πάρνοψ⟩ [3202]
πράξεις· βίοι. ἢ διαθῆκαι
Πραξιδίκη· δαίμονά τινά φασι τὴν ὥσπερ τέλος ἐπιτιθεῖσαν τοῖς τε λεγομένοις. διὸ καὶ τὰ ἀγάλματα κεφαλὰς γίνεσθαι καὶ τὰ θύματα ὁμοίως
Πραξιεργίδαι· οἱ τὸ ἕδος τὸ ἀρχαῖον τῆς Ἀθηνᾶς ἀμφιεννύντες [6]

λ ον ον
COD. 46 φυ 47 κῶρρον 51 φίλημα 60 cf. ὀμφά 61 ἄριστος δεῖπνος m. pr. 64 ἴσω τὸ 65 ποῦαν, οἱ 66 τοῦ ἄγχη 69 πολύπους 70 πολύποδες (cf. πολυ— et πρῆθμα) 72 cf. πυννιάζειν 73 νή 74 μαγείριον (cf. πύρδαλον et πυροδαίσιον) 75 ποῦ ῥέακος, κρίκι — δῆλον ἔχον — στρεφόμενος 77 ποῦριν, σαθρόν 79 συμφέρει 82 πράγματα 84 πράθειν 88 πραῖνοι |ειν |ειν 90 πράκνον ⟨97 e Moerid.⟩ πρανές κ. καὶ πρανὶς 3203. 4. 5 = 5. 3. 4 6 πρᾶξειν, λαβεῖν

HES. 48 πότμον (Β 359)· μόρον, θάνατον 56 ποτνιάζειν· τὸ παιδικοῖς χρῆσθαι. πότνιον γὰρ τὸν δακτύλ(ι)ον λέγουσι ⟨πουν—⟩ 59 ποτοῖο (α 149)· ποτοῦ 63 ποτῶνται (Β 462)· πέτωνται ⟨cf. πωτ—⟩ 64 ποῦ· ἐν ἴσῳ τῷ οὐδαμῶς (Ierem. VI 14). ἢ ἀντὶ τοῦ ποῦ πότε, ἀλλαχοῦ 67 πολυβότειρα (Γ 89)· πολλοὺς βόσκουσα καὶ τρέφουσα 68 πολὺν ἐφ' ὑγρήν (Κ 27)· ἐπὶ πολλὴν θάλασσαν· ὑγρὰν γὰρ αὐτὴν εἶπεν πρὸς ἀντιδιαστολὴν τῆς γῆς ξηρᾶς οὔσης 76 ποῦ τοι τόξον (Ε 171)· ποῦ σοι ἡ διὰ τόξων ἐμπειρία 79 πρ(.)άγει· ὑπερέχει. ὑπερβάλλει. διαφέρει ⟨προάγει⟩ 86 πραιέναι· ἐλθεῖν ⟨παρι—⟩ 87 πραίκων· κήρυξ ⟨praeco⟩ 94 πράληξ· ὁ λίαν ἀγροῖκος ⟨προαλής⟩ 97 πρανές· καὶ πρανὴς κατάβασις (Xen. Anab.) 3202 πρᾶος· συνετός. ἥσυχος 6 πράξιν λάβοι (Eur. I. A. 272)

πρᾶξις· ἀπαίτησις. ἄνυσις, ἢ ἔργου ποίησις. ἢ βίος

πραπίδες (Theognid. 656)· φρένες. ἢ ὁ τόπος, ὅπου αἱ φρένες. διάνοιαι [Θ. 10]

πραπίς (Eur. Bacch. 997)· φρήν, διάνοια

πράσα (Theophr. HPl. IV 7 VI 1)· τὰ βρύα καὶ τὰ φυκία

πρασιαί (η 127?)· αἱ ἐν τοῖς κήποις τετράγωνοι λαχανιαί, οἷον περασιαί, διὰ τὸ ἐπὶ πέρασι τῶν κήπων

πρᾶσις (Aristoph. Hor. fr. II)· ἀγορασία

πρασοκουρίς (Strattid. com. p. 787)· ζῷον χλωρόν, κεῖρον τὰ ἐν τοῖς κήποις λάχανα

πρασόργην· δρέπανον, ᾧ τὰ πράσα κείρουσιν

Πράστιλλος (Eupol. fr. XCII)· πόλις Θρᾳκίας

πρατάνιον μαλλόν (cf. ἀμνόν)

†πραταασία· κατευχὴ ἀρχομένης ἀροτριώσεως

πρατήνιον· τὸ †ὕπερον. †Ἀττικοί. καὶ ἡλικία τις προβάτου νέου· ὡς δὲ ἔνιοι τοῦ πρώτου γεννωμένου, οἱ δὲ ἐνιαυσιαίου, ἄλλοι ἀρχομένου συνουσίας

πρατίας (Comici)· ὁ τὰ δημόσια πωλῶν καὶ κηρύσσων (cf. πωληταί)

πράττει· μέλλει. ἐργάζεται

πρατά (—ώ)· ἡ νουμηνία

πραϋμενῶς· προθύμως. πράῳ τῷ μένει χρώμενος

πραΰνει· κατασιγαίνει. κατακοιμίζει

πραΰνεται· μαλάσσεται [27]

πράως· ἡμέρως

πρεχνόν· ποικιλόχροον ἔλαφον

πρέμνα (Ar. Lys. 267)· τὰ ἰσχυρὰ στελέχη τῶν καταβλαστημάτων

πρέμνια· τὰ πάχος ἔχοντα ξύλα

πρεμνιάσαι· ἐκριζῶσαι

πρέμνον· στέλεχος, βλαστός. πᾶν ῥίζωμα δένδρου τὸ γηράσκον, ἢ τὸ τῆς ἀμπέλου πρὸς τῇ γῇ πρέμνον

πρέμνον ἑστίας (Trag.)· τῆς οἰκίας θεμέλιος

Πρεμνουσία· κρήνη ἐν τῇ Ἀττικῇ

πρέπις (Boeot.)· ὡμοίωσαι

πρέπον· ὅμοιον. μέτριον. συμφέρον. ὡραῖον. ἄριστον

πρέπον· τέρας. Κύπριοι (πρεπτόν)

πρεπτά· φαντάσματα, εἰκόνες

πρέσβα (Ε 721 al.)· ἔντιμος, πρεσβυτάτη, σεμνή

πρεσβεῖα (Soph. fr. 19 Df.)· κράτη. καὶ †ἀρχιερεῖα, καὶ ἀρχιὰ καὶ ἱερά (ἀρχικὰ γέρα)

†πρέσβει· ἡ τιμὴ μείζων

πρέσβειρα (Ar. Ach. 883 al.)· προτιμητή. ἀρχηγέτις

πρέσβεις (Aesch. Pers. 840)· γέροντες. βασιλεῖς ἄρχοντες, προτιμούμενοι. καὶ οἱ πρεσβευταὶ μεσῖται, ἀπόστολοι [ἢ] ἕνεκεν εἰρήνης

πρεσβεύειν (Soph. A. 720)· προτιμᾶν, ἄρχειν. μεγαλύνειν

πρεσβεύοντες· αἰτοῦντες, παρακαλοῦντες. λέγοντες

πρεσβήϊον (non Θ 289)· πρεσβεῖον, κατὰ τιμήν, τίμημα. ἀπὸ τούτου καὶ οἱ πρέσβῦται ἔντιμοι

πρεσβυγένεια (Herod. VI 51)· παλαιοτέρα γένεσις

πρέσβυς· γέρων. καὶ ὄρνις ὁ τρόχιλος (Ar. HA. IX 11)

πρεσβυτάτη (Φ 143)· ἐντιμοτάτη [51]

πρεσβύτερος Κόδρου· παροιμία ἐπὶ τῶν πάνυ παλαιῶν

πρεσβύτης (Xen. Symp. IV 17)· γέρων: ἡλικία τις (πρεσβυτής?)

(πρέσγυς·) πρέσβυς [ad 54] [55]

πρευμενές· ἵλαον, εὔνουν, πρόθυμον

πρευμενοῦς ........ (Aesch. Suppl. 210)· πρᾶον

πρέψας· εἰκασμένος, εἰκασθείς

πρηγορεών (Ar. Av. 1113 Eqq. 374)· τῶν ὀρνέων ὁ πρόλοβος, ὅτι προσυλλέγεται ἐν αὐτοῖς τὰ σιτία

†πρηγορεύων· προαγορευτής, ἢ δημοκόπος

πρῆθμα· πολύποδος κεφαλή. ἔνιοι πλεκτάνη

†πρήϊον· πρότερον

πρηκτῆρα· δραστῆρα. ποτὲ δὲ ἔμπορον· πρηκτῆρά τε ἔργων (Ι 443)· ἃ δεῖ πράττειν δηλοῦντα

COD. 14 πράσις 15 πρασικουρίς 18 πράταμον 19 cf. γαλάσιον προηρόσιον 20 πρατίνιον 24 |ένως 29 ἐλαφρόν 36 πρεπίς, ὁμοίωσις 43 ἀρχηγη 58 ἡλικιώτης 59 |ερέων — πρόλογος

HES. 9 πραπίδεσσι (Α 608)· φρεσί, διανοίαις 10 πραπίδων (Ρ 349)· φρενῶν, διανοιῶν (cf. προαπίδων) 27 πραϋπάθειαν (I Tim. VI 11)· πραΰτητα 51 πρεσβύτερος (Α 786)· μείζων. φρονιμώτερος Ad 54 [αἱορδάνομος 55 πραιτώριον· τόπος, ἔνθα συνάγεται ὁ λαός

πρημάδες καὶ πρῆμναι (Arist. HA. VIII 15)· εἶδος θυννώδους ἰχθύος
†πρήν· ταῦρος [66]
πρηνής (E 58)· ἐπὶ πρόσωπον πεπτωκώς· ἀπὸ τοῦ ἐπὶ τὴν †νεὼν πεπτωκέναι, νέον δὲ ἤδη
πρήνιξε (Euphorio p. 51)· κατέβαλεν
πρηνιχθέντα (cf. Lycophr. 1006)· ἐπὶ πρόσωπον καὶ ἐπὶ στόμα πεσόντα [70. 71]
πρῆξις (Ω 524?)· ἄνυσις
πρηροσία· θυσία Ἀθήνησι ⟨3219⟩
πρῆσαι· φλέξαι, φυσῆσαι, ἐμπρῆσαι·
..... πυρὸς δηΐοιο θύρετρα (B 415)
καί·
δάκρυ' ἀναπρήσας (I 433)
ἀντὶ τοῦ ἀναφυσήσας. ὅθεν καὶ ἡμεῖς τοὺς πεφυσημένους πεπρημένους φαμέν
πρῆσεν· ἔκλαεν. ἐφύσησεν (A 481)?)· ἐκόλπωσεν. ἐνέπρησεν, ἔφλεξε
πρηστήρ (Hes. Theog. 846)· σφοδρὸς ἄνεμος. καὶ ὄφεώς τι εἶδος. καὶ τὰς ἐκ πλαγίου τοῦ τραχήλου ἡμῶν φλέβας πρηστῆρας (Eur. fr. 388) φασιν. ἢ πῦρ ἀπὸ τοῦ οὐρανοῦ (Herod. VII 42)
πρητῆνας (Ar. Byz.)· τοὺς ἐνιαυσίους ἄρνας
πρηών· τὸ ὑπερέχον
πριάμενος (Demosth. 1369, 20)· ἀγοράσας, ὠνησάμενος [ad 79]
πριαμωθήσομαι· ξυρήσομαι. ἐπειδὴ τὸ τραγικὸν τοῦ Πριάμου πρόσωπον ξυρίας ἐστίν (Comic.) [81]
(......)· ἀγοράσειεν
πρίεται (Menand. EM. 688, 12)· φυσ(ι)οῦται
Πριηπίδος τε τῆς πρὸ Βοσπόρου πόλεως (Bergk. Lyr. p. 1047)· Ἑλλησποντιακῆς. τὸν Πρίαπον τὸν Διονύσου καὶ Περκώτην φασὶν οἰκίσαι [84—86]
πρὶν ἐγχύρσαι (δύᾳ Bacchyl. fr. 3)· πρὶν πλησιάσαι τῆς κακοπαθείας [88. 89]
πρινοκόπος· κοπῶν
πρίονας· χερῶν τοὺς δεσμούς
†πρίοπες· τὰ ὑγιῆ ἔχοντα [93]
πρισμοῖς· ταῖς βιαίοις κατοχαῖς
πρίστης· ῥίνη. πρίων
πρίω (Ar. Ach. 34)· ἀγόρασον
πρίων (Ar. Ach. 36)· ἀγοράζων
πριώμασι· πρίσμασι
πρό· τό τε σύνηθες·
χαρπαλίμως πρὸ νεῶν ἐχέμεν (I 708)
καὶ ἀντὶ τοῦ ἀπό·
ὄψου (τ') ἄσαιμι προταμών (I 485)
προάγεσθαι· ἐπεξεργάζεσθαι [3301. 2]
(προαγήλῃ· προτιμήσῃ) cf. 3497
προάγομαι· προέρχομαι
προάγομεν· προφέρομεν, προτρέπομεν
προαγορεύσας· προειπών, προφητεύσας, προξενήσας ⟨3302⟩
προαγόρευσις· προφητεία [7]
προαγωγός (Ar. Th. 340)· διδάσκαλος κακῶν. καὶ μαστροπός. μόνος. μαυλιστής. καὶ ἡ ἐπ' αἰσχροῖς ἐπὶ τὸ πορνεῦσαι προάγουσά τινας
προαθύροντες· προσπαίζοντες
προαιρεῖται· προκέκληται. προτιμᾶται
προαίρεσις· ἐπιλογὴ καλοῦ ἢ κακοῦ
προακτικόν· προβαῖνον
προαλεῖ (Φ 262)· καταφερεῖ, καταβατῷ
προαλεστάτην· προπετεστάτην, προχειροτάτην ⟨cf. 3520. 3523⟩ [15]
προαμείψασθαι (cf. Plat. Legg. 921 C)· προαλλάξασθαι. παρελθεῖν
προαμεῦσαι· ὁμοίως
προαμευτής· ἐργάτης προηγούμενος
προαναθρήσας· προσιδών ⟨προ—⟩
προαναθρούσης· προαναβλεπούσης
προαναθρώσκειν· προπηδᾶν
προαναχρούεται· ἀναχαιτίζει
(προανάρρησις· προανακήρυξις, πρόρρησις, προαγόρευσις) cf. ἀνάρρησις
προανάσχοι· προανεχτείνει(ε)
†προαπίδων· φρενῶν, διανοιῶν ⟨pro πρα-⟩
προαρτᾷ· προαρμόζει, προτείνει
προασπιστής· πρόμαχος, βοηθός

COD. 64 θοινώδους 68 πρήνιζε, κατέλαβεν 69 cf. πραν— 78 πρῆον 79 πρήαμος 80 πρημευθήσομαι 83 περικότης — οἰκῆσαι (δ) 95 ῥίνων 3308 κακός καὶ ἡ ... τινάς] post 5 9 προσα| ? 21 προπαί

HES. 66 πρηνέας (Z 307)· ἐπὶ πρόσωπον 70 πρῆξαι (A 562)· πρᾶξαι 71 πρῆξαι δ' ἔμπης (A 562)· πρᾶξαι δ' ὅμως Ad 79 καὶ ὄνομα κύριον ⟨Πρίαμος⟩ 81 πρίατο (ξ 115) 84 πριμικήριος· ὁ πρῶτος τῆς τυχούσης τάξεως 85 πριμιλιγίων· τιμίων 86 πρίν· πρότερον 88 πρίν μιν (A 29)· πρὶν αὐτόν, ἢ αὐτήν 89 πρινής (E 58)· ἐπὶ πρόσωπον πεσών 93 πριούατον· τόπος ἐργαστηρίου 3301 προαγαγών· ..... 2 προαγ†εύων· προξενῶν ⟨3305⟩ 7 προάγων· ἀρχόμενος 15 προαλής (Siracid. XXX 8)· προπετής, πρόχειρος

[ad 27] προάστειον (Thuc. II 34)· πρὸ τῆς πόλεως

προαύλια (Plat. Cratyl. 417 E)· τὰ προαυλήματα [ad 28]

προβαλεῖ· ἐρωτήσει

προβαλεῖν ἄρνα· πόλεμον ἐπαγγεῖλαι

μροβαλλούς· ἀσπίδας

προβαλοίμην (Τ 218)· ὑπερβαλοίμην

προβαλοῦ· ἐρώτησον [34]

προβάς (cf. Soph. A. 853)· ὑπερβάς

πρόβασι· βοσκήμασι [37]

πρόβατα (Hom.)· τὰ τετράποδα. ἀπὸ τοῦ πρὸ τῆς βάσεως πρόβασιν ἔχειν ἑτέραν τῶν ἔμπροσθεν ποδῶν πρὸς τὰ ὀπίσθια

πρόβατα πεδι(α)κά· τὰ ἐπὶ νομὴν ἐκπεμπόμενα ⟨1197⟩

προβατήματα (Lacon.)· πρόβατα

προβατοπώλης (Ar. Eqq. 132)· οὕτω κωμῳδεῖται Λυσικλῆς προβατοκάπηλος γήμας Ἀσπασίαν τὴν πόρνην [42. 43]

προβιβάζεται· προκόπτει [45]

προβιβάσαντα· προάξαντα

προβιβασθείς· προαχθείς [ad 47]

προβιβάσθων· προβαίνων [49]

πρόβλημα (Eur. fr. 534, 2)· πρόλογος [51]

προβλῆτας (Μ 259)· τὰς ἔξω προβεβλημένας τοῦ τείχους

στήλας τε προβλῆτας ἐμόχλεον

προβλώσκειν (φ 239)· προμολίσκειν. προέρχεσθαι. προπορεύεσθαι

προβόλιον (Xen. Cyn. X 12)· σιβύνη, ἔχουσα μετὰ τὴν ἀκμὴν προβολάς. ἢ σπυρίς

πρόβολοι· λίθοι (μ 251?)

πρόβολος· † πρόμουλος. πρόμαχος. προνοητής. κυβερνήτης: ἱερεύς ⟨πρόπολος⟩. [ad 56] καὶ ὁ εἰς τὴν θάλασσαν προβεβλημένος λίθος [ad 56] [57. 58]

†πρόβονεν· ἐπέρανεν

προβοσκίς (Polyb. III 46, 12)· τὸ ἐκτεταμένον καὶ προβεβλημένον τῆς ὄψεως τοῦ ἐλέφαντος

πρόβουλος· ἔξαρχος τοῦ βουλευτηρίου. ἢ ὁ προσκεπτόμενος

προβῶντες (Cratin. fr. V)· [ad 62] προβαίνοντες [63]

προγέν(ε)ιος (Theocr. III 8)· εὐγέν(ε)ιος

προγενέσθην· παραγενέσθην [66]

προγενής (cf. Soph. A. 938)· ὁ προγεννώμενος

προγένοιντο (Call. Dian. 178)· παραγένοιντο

†προγονεῦσαι· προελθεῖν

προγ†ωνίαν· τῶν ἠπορημένων ἡ λέξις. ἔστι δὲ ὑφασμάτιον ποικίλον, ὃ ἐπικαλυψάμενος ὁ μάγειρος θύει, ὡς ἐν Δαμαλίῳ ⟨cf. προτόνιον⟩

πρόγονοι· οἱ πρωτόγονοι ἄρνες, οἱ δὲ μετ' αὐτοὺς μέτασ(σ)αι, ἕρσαι ἁπαλοὶ καὶ τῷ ἔαρι γινόμενοι·

ἔρχατο, χωρὶς (.....) δὲ μέτασ(σ)αι,
χωρὶς δ' αὖθ' ἕρσαι (ι 221)

πρόγονος (Eur. Ion. 267)· πρόπαππος. προπάτωρ. συγγενής. ἢ πρεσβύτατος ἀνήρ

προγόνων· πατέρων

προγράμματα (Dem. 772, 15)· ἐκθέματα

προδανίς· πρότερον

προδέδαεν· προμεμάθηκεν [77]

προδέξαντες (Herod. I 60)· προδείξαντες

πρόδηλος (Eur. Or. 187)· προφανής

προδιαλαβεῖν· ......

προδιασύρας· παραβὰς τὰς συνθήκας

προδικεῖν (Lysias)· ἐπιτροπεύειν

πρόδικος (Xen. Hell. IV 2, 8)· συνήγορος

προδοκάζων· παρατηρῶν, ἐνεδρεύων

προδοκῇσι (Δ 107)· προενέδραις, προόδοις

πρόδομος· προστάς, πρόστωον

προδόμῳ (Ι 469)· προστάδι, προστόῳ

πρόδοσιν· † προδομάτιον

πρόδρομα· τὰ ἐν τῷ ἄξονι ξύλα. ἢ τὰ προακμάζοντα σῦκα (Theophr. Ath. 77 C)

προδωμάτιον· τὸ πρὸ τοῦ κοιτῶνος στοίδιον

COD. 28 .ροαύρια, τὰ πρὸ αὐτῶν λήμματα 29 —βάλλει 30 προβάλλειν, τὸ ἐπ| 34 προβάλους, ἀσπίς 31. 2. 3. 4 = 34. 33. 31. 32 52 ἐμόχλευον 56 cf. πρόμου 3590 60 προβοσκές 68 προεγένοντο, παραγένοντο 85 πρὸς ὁδοῖς 86 πρὸς τὰς ⟨88 πρόδομά τι?⟩ 90 τὸ ἴδιον

HES. Ad 27 [προάστεων καὶ] Ad 28 ὥσπερ προάμπουλα ⟨barbare pro προαμβολάς⟩ τὰ προκιθαρίσματα 34 προβαλλομένοις (Prov. XXII 21)· ἐρωτῶσιν 37 πρόβασις (β 75)· ἡ τῶν βοσκημάτων κτῆσις 42 προβέβηκας (Ζ 125)· ἀριστεύεις. προκόπτεις 43 προβέβουλα (Α 113)· προκέκρικα, προέκρινα 45 προβιβάς (Ν 18)· προβαίνων Ad 47 [πραχθείς] 49 προβιβάσις· πρ(ο)άξεις 51 προβλήματι (Β 396)· ἐξέχοντι Ad 56 καὶ τὸ τῶν σιτίων δοχεῖον ⟨προλοβός⟩ — τῇ πέτρᾳ. οἱ δὲ ῥάβδος (μ 251) 57 προβόλων (Greg. Naz. Or. III p. 106)· λίθων 58 προβολή· ἐξοχή Ad 62 προφωνοῦντες. ἐγκελευόμενοι (Μ 277) 63 πρὸ γὰρ ἧκε (Α 195)· προέπεμψε γάρ 66 προγενέστερος (Β 555)· πρεσβύτερος 77 πρὸ δ' ἐνῆκε (Α 208)· προέπεμψε δὲ (με)

προθεώμενος· προορῶν [72]
προθεσμία· καιρός, ὅρισις, διορία, ὅρισμα
προθεσπίζοντα· προστάττοντα. ἢ προμαντευόμενον
προθεσπίζων (Hipponax)· προφητεύων
προθέων· προτρέχων [77]
πρόθημα· †δόμα, ἢ ἄτι πρόσθημα καὶ προσθήκη. ἢ †πλεκταμένη [79]
προθυμία (Soph. OT. 838)· χαρά [81. 82]
προϊάλλειν· προπέμπειν. προτιθέναι [84]
(προιάψαι [Aesch. Sept. 322]· προπέμψαι) 3400
προΐαψεν (Α 3)· προέπεμψεν. προδιέφθειρεν. δηλοῖ δὲ διὰ τῆς λέξεως τὴν μετ' ὀδύνης αὐτῶν ἀπώλειαν
(προϊδόμενοι· προγνόντες) 3401 [86]
προϊείς· προπέμπων
προΐεμαι· προδίδομαι
προϊεμένη· προβαλλομένη
προϊέμενοι· ἀπολύοντες. παραχωροῦντες. ἀπορρίπτοντες
προϊ(ε)μένου· προδόντος
προϊέναι· προπέμπειν [93—95]
προϊζήσαντες· προσκομίσαντες ⟨3712. 3803⟩
προΐηλε (Θ 365)· [ad 97] ἐπεξέτεινεν (Mosch. Europ. 21)
†προΐθες· προφανῶς. προβεβηκώς
προῖκα (Plat. Civ. 346 E)· δωρεάν, φερνήν. πᾶν γὰρ δῶρον προίξ
προικός· πονηρός. οἱ δὲ μωρός [ad 3500]
προϊκέσθαι (Ar. Eqq. 761)· ἐφικέσθαι
προΐκτης (ρ 449)· πτωχός, προσαιτητής ⟨—αίτης⟩ [3—9]
προΐστορες (Aesch. Eum.)· μαρτυροῦντες
προΐσχεται· προβάλλεται ⟨cf. προσ—⟩
προϊσχόμενος (Thuc. IV 87)· προβαλλόμενος
προϊσχομένου· προτείνοντος χεῖρα. δίκαιον προβάλλοντος
προΐσχονται· προβάλλονται
προΐσχοντο (Thuc. III 68)· ἔδοξαν
Προιτίδες· †χάριτες
προϊχνεύει· θεραπεύει
†προϊών· παρών
πρόκα (Herod. I 111)· εὐθύς, ἐξαίφνης [ad 19] [20]
προκαλεῖσθαι (Plat. Euthyr. p. 5 A)· ποτὲ μὲν ἐπὶ τοῦ ἀλαζονικοῦ, εἰς ἅμιλλαν ἀρετῆς καλεῖσθαί τινα· ποτὲ δὲ ἐπὶ τοῦ ἀγομένου καὶ προτρεπομένου
προκαλεῖται (Sappho Ath. 599 D)· καλεῖ, προτρέπει [23]
πρόκας (ρ 295)· ἐλάφους
προκαταβολή· ἐνθήκη
(προκαταγνούς· πρὶν καταπτύσας) 3815
προκαταθήγεσθαι· προακονᾶσθαι
προκαταθήσεσθαι δεῖ· προκομίσασθαι δεῖ [28. 29]
πρόκειται (Xen. ΚΠ II 3, 2)· παράκειται
προκέοιτο (Iones)· προκείμενος εἴη
προκεχηνότες· πρὸς τὰ ἄνω βλέποντες
προκεχειρισμένον (Plat. Legg. 643 A)· προβεβλημένον. ἡτ(ο)ιμασμένον
προκιθώνιον (Iones)· τὸ πρόρινον
προκλήδην· †προκελεῦσαι [36]
πρόκλητος· πρόθυμος, ἀπὸ τοῦ κληθῆναι
Προκλόνιον· τόπος Θεσσαλίας
πρόκλυτα (Υ 204)· τὰ προειρημένα, προηκουσμένα
πρόκνις· εἶδος ἰσχάδων (Ath. 653 B)
προκόλπιον· τὸ πρὸ τοῦ κόλπου, ἢ πρὸ τοῦ σκοποῦ
προκομίδδεν· προκομίζειν [43]
πρόκον· ἠλίθιον ⟨3500⟩

COD. ⟨3500 cf. βροκός πρόκον βρυκοί πρόκοος broccus⟩ 1 ἐπικεσθαι ⟨16 χορίκιδες?⟩ 19 cf. καὶ πρόκα τε δὴ et gl. 3039 δρόσος 24 cf. πόρκας πράκες πέχαρι προύκας 32 κάτω 34 προκιόνιον (intercus) 35 προκελήδης] post 30. Cf. προσκλήδην 37 πρὸ 39 προκλητά ⟨3528⟩ 42 |ίδην |ζει

HES. 72 πρόθεσις (gl. Rom. IX 11)· προαίρεσις. προάπλωσις 77 προθήβαι (ϑ 362)· ἄρτιο ⟨sic⟩, ἀκμάζοντες 79 προθορών (Ξ 363)· προπηδήσας 81 προθύμως (II Petr. V 3)· ἱλαρῶς 82 πρόϊαι· ἄπιοι, αἱ πρῶται γινόμεναι ⟨πρῷαι⟩ 84 προΐαλλεν (Θ 365)· προέπεμψεν 86 προῖκται· προδίδωσι ⟨3464⟩ 93 προΐενται· προάγονται ⟨3799⟩ 94 προΐεσται· προσποιεῖται. προσέρχεται ⟨προσίεται⟩ 95 πρόϊζα· πρῴην ⟨πρωϊζά⟩ Ad 97 προετιμήθη. ⟨cf. προαγήλῃ⟩ καὶ Ad 3500 πτωχός (ρ 412, cf. 3502) 3 πρόϊ με· προδώσεις με 4 πρόϊμον (Oseae IX 10)· σῦκον προακμάζον ⟨cf. πρόδρομα⟩ 5 προΐομαι ⟨—εμαι⟩· παρέρχομαι 6 προϊόντες ⟨προέντες⟩· προδόντες 7 προίρης· πρῴρας 8 προϊσμένη· προβαλλομένη ⟨3511⟩ 9 προΐσταται· ἐπιπολάζει ⟨3795⟩ Ad 19 δρόσον ⟨πρῶκα⟩ 20 προκαδέστερον· προυργιέσ⟨αί⟩τερον ⟨προαλέστ—⟩ 23 προ[κ]αλέστερον· ἑτοιμότερον 28 πρόκαυτα (Υ 204)· προειρημένα, προηκουσμένα ⟨3539⟩ 29 προκείμενα (Ι 91)· παρακείμενα 36 πρόκλησις· κλῆσις ἐπὶ δίκης ⟨προσκ—⟩ 43 προκομίων· προλειμάτων ⟨privilegiorum cf. 3601⟩

προκόνδυλα· τὰ μετὰ τοὺς κονδύλους ἐν ταῖς χερσί

Προκόν(ν)ησος (Herod. VI 33)· πόλις, καὶ νῆσος παρὰ Κύζικον

†πρόκοος· [ad 47] πονηρός ⟨3500⟩

προκοπῆς· αὐξήσεως

προκοττίς· ἡ χαίτη

πρόκοττα· εἶδος κουρᾶς, ἢ κεφαλῆς τρίχωμα· κοττὶς γὰρ ἡ κεφαλή. καὶ οἱ ἀλεκτρυόνες κοττοὶ διὰ τὸν ἐπὶ τῇ κεφαλῇ λόφον

πρόκρισις· προτίμησις

πρόκριτον· ἐκλεκτόν, ἐκλελεγμένον [58]

πρόκροσσαι (Herod. IV 152 VII 188)· ἐπάλληλοι, ἄλλαι ἐπ' ἄλλας. καὶ ναῦς αἱ κατ' ἀλλήλων νενεωλκημέναι. ὅτι οἱ κροσσοὶ τὰ ἄκρα· ἢ ἀντικέφαλοι

προκρόσσας (Ξ 35)· ἄλλας ἐπ' ἄλλαις, κλιμακηδόν ⟨3829⟩

πρόκροσσον· οὐ †καθαροῦν, κλιμακωτόν
ε

†προκυκλίς· ἡ πμνήστρια

προκυλινδούμενος· προκυλιόμενος ⟨3642⟩

†πρόκυμον· πρόθυμον

†προκυνεῖν· τὸ ἐγχωρεῖν

πρόκωνα (Hippocr. 638, 5)· τὰ ἐκ τῶν μὴ πεφρυγμένων κριθῶν ἄλφιτα

πρόληψις· πρόγνωσις

προλόβιον· τὸ προέχον τοῦ λοβοῦ [64]

προλόγια· θυσία πρὸ τῶν καρπῶν τελουμένη, ὑπὸ Λακώνων

†πρόλογος· ὁ περιτιθέμενος τοῖς προελθοῦσιν ἐπὶ δεῖπνον. καὶ ὁ γαργαρεὼν τῶν ὀρνίθων, ὃν οἱ παλαιοὶ πρηγορεών ⟨πρόλοβος⟩ [67]

προμάδδας (Lacon.)· μάζας προμεμαγμένας

πρόμαλος (Eupolis. Hippocr. 667, 47)· μυρίκη. ἢ ἄγνος

†προμαλχατεύειν· μετατροπεύειν

προμαχεών (Herod. I 164)· πύργος

πρόμαχος· [ad 72] μᾶζα ἑβδομαίῳ παιδίῳ γινομένη

[ad 73] ......... προαγωγοί

προμένειοι· ῥοιαί τινες (ὑπὸ Κρητῶν λέγονται)

προμήθεια· πρόνοια, ἐπιμέλεια

προμηθέστεροι· προνοητικώτεροι

Προμηθεύς· †ἐπικινδύνους ἐπισφαλῶς ἔχων. καὶ ὄνομα

προμηθής (Soph. El. 1078 Thuc. III 82)· σώφρων

προμηθούμενος (Plat. Prot. 361 D)· προνοούμενος, προβλέπων

προμήτωρ· πατὴρ μητρός [81]

προμνηστῖναι (λ 232)· ἐπὶ μίαν. ἀπὸ τοῦ προσμένειν

προμνήστρια· ἡ συνιστῶσα ἀλλήλοις τοὺς γαμοῦντας. (προξενοῦσα νυμφίους ἢ νύμφας) 3841

προμνώμενοι· προμνηστευόμενοι

πρόμοις· προμάχοις, προαγωνισταῖς, προστάταις, προηγουμένοις

πρόμολε (Σ 392)· πρόελθε

†προμόλη· ὁδός [ad 87] [88]

πρόμος (Η 75)· πρόμαχος. ἀντίδικος [89. 90]

πρόμοχθοι· τὰ προβεβλημένα τῶν τοίχων

προμυλαία· θεὸς ἱδρυμένη ἐν τοῖς μυλῶσι

προμυχθίζει χαλκοδεσμῶν ὁπλῶν (Aesch. Sept. 160)· ἀντὶ τοῦ πρόσω χωρεῖ

Πρόνεως· Ποσειδῶν ⟨Προναῖος?⟩

Προναίας (Aesch. Eum. 21 Call. fr. CCXX)· Ἀθηνᾶς τέμενος ἐν Δελφοῖς [96]

πρόνοια (Soph. OT. 978)· προενθύμησις, ἐπιμέλεια, φροντίς

προνομαία· προβοσκίς [99]

προνομία· τὰ ὀφειλόμενα τῷ ἀξιώματι. ἢ ἡ ἐκ τῶν νόμων ἐξουσία [ad 3600]

COD. 45 cf. μετακόνδυλοι 46 κύζηκον 49 προκοπίς 50 κοττὶ γὰρ — τὴν κεφαλὴν λ. 52 προκριτόν 54 νενεολ| 61 πεφυραμένων 66 γρηγορεών 68 προ-
θ
μάλας — προμεματτομένας 74 προμένεοι (schol. Nic. Al. 490) 78 προμη; cf. τὸ προ— 81 ἐπιμνείαν 91 προμαχέοι 92 προμυλέα — μύλωσι 93 προσχωρίου 98 προνομέα, προβόσκησις 3600 προνόμια

HES. Ad 47 [πόλις. ἢ] 53 Πρόκρις (λ 320)· θυγάτηρ Ἐρεχθέως 64 προλογίζει· προλέγει 67 πρόμαχοι (Π 588 Ρ 316)· βασιλεῖς. καὶ τὰ τείχη. προμαχῶνες δὲ οἱ ἐπὶ τῶν τειχῶν πρόβολοι Ad 72 ὑπὸ Κρητῶν Ad 73 προμέν, λέγοντες 81 προμνηστῖνα(ι λ 232)· ἑτέρα πρὸ τῆς ἑτέρας. οἱ δὲ ἑξῆς καὶ ἐκ διαστημάτων ἀναμένουσαι ἀλλήλα[ι]ς Ad 87 προσδόκησις 88 προμόνη· ⟨L. προνομή· προβοσκίς⟩ 89 προμόνης· προπετὴς καὶ προ[σ]πεσών. οἱ δὲ πρόθυμος. προ[σ]νενευκώς ⟨ad προνωπής⟩ 90 πρόμου..· πρόβουλος ⟨3356⟩ 96 προνοεῖ (I Tim. V 8)· ἐπιμελεῖται 99 προνομεύει ⟨recens⟩· †θεσπίζει. ἁρπάζει, κατασύρει ⟨Moer. 304⟩, αἰχμαλωτεύει Ad 3600 ἡ διαρπαγή ⟨προνομεία⟩

προνομιῶν· προλημμάτων ⟨3543⟩ [2]
προνωπής (Eur. Alc. 85)· προτεταμένος. προνενευκώς. οἱ δὲ προπετής, ἕτοιμος, πρόχειρος
προνώπια (Eur. Bacch. 639)· τὰ ἔμπροσθεν τῶν πυλῶν, καθάπερ ἐνώπια τὰ ἔνδον, ὅπου αἱ εἰκόνες τίθενται
προνώπιον (Eur. Hipp. 374)· τὸ προκείμενον, οἷον πρόθυρον
προξενεῖ· μαρτυρεῖ (non Soph. Tr. 726)
πρόξενοι· οἱ προστάται, καὶ ξενίας ἐπιμελούμενοι, ἤγουν τοὺς ξένους ὑποδεχόμενοι
πρόξενος· φίλος, ὁ ἐν τῇ ἑαυτοῦ ξένων προϊστάμενος
προοικίαι· παρὰ Κλειτοδήμῳ † ἐν ἴσω τῷ δήμῳ
προοίμιον· πρόλογος, ἀρχὴ παντὸς λόγου
πρόοιντο (Dem. 582, 26)· παραδώσουσι, δώσουσιν
προολεῖ· † καταλειπεῖ [13. 14]
πρόουρον· τὸ ἀπόσταγμα τῆς σταφυλῆς, πρὶν πατηθῇ [16]
προπαιδεύματα· προμαθήματα
† προπαίσω· προαγωγός, μαστροπός. καὶ μάντις. μαστρόπευσις
† προπαλῶς· δαψιλῶς [20]
πρόπας (Eur. Phoen. 627)· ἅπας
πρόπαστον· τὸν πρὸ τῆς παστάδος τόπον
προπάτωρ (Eur. Or. 1441)· πατρὸς πατήρ
προπεπηλάκισται (Demosth.)· καθύβρισται
προπέποται (Dem. 34, 24)· προδέδοται [26]
προπέτηλον· πεποίηται ἀπὸ τοῦ προπίπτειν [28. 29]
† προπεῶντες· προεστῶτες
προπηλακίζει (Plat. Civ. 562 D Dem. 312, 16)· ἐρεθίζει. κολακεύει. ἢ ὑβρίζει, ἀδικεῖ, ἐξουδενεῖ
προπηλακισμός (Demosth. 330, 14)· ἐρεθισμός. ἐξουδένωμα
(προπηλακιστής·) φιλόνεικος. κολακευτής. ὑβριστικός, ἄδικος [34]
† προπίονι· εὐθεῖ
προπίωμεν· διὰ τοῦ οἴνου τιμήσωμεν
πρόποδες ὄρους· τῶν ὀρῶν τὰ προύχοντα. [ad 37] [38]
προποδών (Ar. Vesp. 1236)· ἔμπροσθεν
πρόπολοι· ὑπηρέται, δοῦλοι. νεωκόροι. προφῆται [41. 42]
προπτόρθια· ἐν τοῖς ἄξοσιν (Seleucus) ἡ λέξις φέρεται
Προπυλαία· ἡ Ἑκάτη
προπύλαιον· πρόθυρον
πρόπωνα (Aeol.)· † εὐχρατῆ. † εὔφημα. πρόχειρα, ἕτοιμα, ἀνεμπόδιστα
πρόρινον· τὸ μεταξὺ τῶν σαρκῶν καὶ τοῦ δέρματος ⟨3535⟩
πρόρριζον (Eur. Hipp. 684)· σὺν ταῖς ῥίζαις ἀνασπώμενον
πρόρρησιν (Thuc. I 49)· πρόλεξιν, προφητείαν
πρόρρησις· (προ)λόγος. καὶ τὰ ὅμοια
πρός· πρόθεσις. καὶ ξύλον ἐν Αἰθοπίᾳ ⟨ברוש⟩. καὶ ἀντὶ τοῦ ἐπί
πρὸς ἀγαθ † όν· ἐπ' ἀγαθῷ, ἐπὶ καλῷ
προσαγγελία· προσαγωγή (delatio)
προσάγει· προσέρχεται. προσφέρει
(προσαγῆλαι [cf. Eupolid. fr. XIX p. 468]· τιμῆσαι) cf. 3676
(προσαγήλῃ· τιμήσῃ) cf. 3677 [55]
προσαγόμενον· ἀγαπήσαντα. προ(σ)κτησάμενον
προσαγορεύει (Plat. Charmid. p. 164 E)· ἀσπάζεται
προσαγορεύσας (Theophr. Char. 5)· προσειπών. καὶ τὰ ὅμοια [60]
προσαγωγή· προσέλευσις
προσαγώγιον (Plat. Philel. 56 C)· διαβήτης, τὸ τῶν τεκτόνων ὄργανον
προσαθύροντα· προσπαίζοντα ⟨3309⟩
προσαιθρίζουσα πόμπιμον φλόγα

COD. 1 προνόμων· προβλημάτων 3 προνάπως, |νως ⟨cf. 3589⟩ 8 ξενίᾳ 17 προπαθήματα 22 προπάστεον 43 ἄξωσιν 44 πρόπυλαι 49 προφήτην 61 ἢ τὸ 63 προσαιθερ|

HES. 2 προνοοῦ (Prov. III 4)· ἐνθυμοῦ, ἐπιμελοῦ 13 πρόοπτον· προφανές ⟨Moer. 329⟩ 14 πρὸ ὅ τοῦ (K 224)· οὗτος πρὸ τούτου, ἢ ἕτερος τοῦ ἑτέρου ⟨v. πρὸς τοῦ⟩ 16 προπαδίζων (N 158)· προβαίνων πρὸ τῆς ἀσπίδος 20 προπάροιθεν· ἔσθ' ὅτε ἐπὶ χρόνου (ρ 277)· εἰ δὲ θέλεις, ἐπίμεινον, ἐγὼ δ' εἶμι προπάροιθεν 26 προπεριζόμενος· ἀγκαλιζόμενος ⟨3469⟩ 28 προπετής (Siracid. IX 18)· προπίπτων πρὸ τοῦ λογισμοῦ 29 προπέφανται (Ξ 332)· φανερόν ἐστι 34 προπηνές· ἔμπροσθεν καταφερές ⟨3641⟩ Ad 37 καὶ τὰς προκειμένας τῆς Αἰγύπτου νήσους ⟨Προσωπῖτις⟩ 38 προποδίζων (N 158)· προβαίνων ⟨3616⟩ 41 προπρηνές (Γ 218)· ἐπὶ πρόσωπον. ἢ ἔμπροσθεν καταφερές 42 (προ)προκυλινδούμενος (X 221)· τοῖς ποσί. πρὸ τῶν ποδῶν κυλιόμενος. οἱ δὲ εἰς τὸ ἔμπροσθεν πορευόμενος 55 προσαγηόχασι (Levit. X 19)· προσήγαγον ⟨cf. προσενηνόχασι⟩ 60 προσαγορεύουσι (LXX)· καλοῦσι

(Aesch. Ag. 301)· πρὸς τὸν αἰθέρα ποιοῦσα, ὥστε ἄνω πέμπεσθαι τὴν φλόγα
προσ.αίνων· προσελκόμενος, προσαγόμενος
προσαίταις· πτωχοῖς
προσακές· ἐγγύς (προσεχές?)
πρὸς ἀκεσμόν· πρὸς ὑγείαν
προσάκτριδες· οἱ τῆς μηλολόνθης πρὸς τῷ στόματι μικροὶ πόδες [69. 70]
προσαν[τ]έχειν· προσχεῖσθαι
προσάντης (Eur. Med. 305)· σκληρός, ἐναντίος, δυσχερής, ἐχθρός, ἀηδής
προσαντίον· ἐναντίον, ἀντίπαλον
?προσανέχων· προσμένων. κουφίζων
προσάνων· προσαύξων. Ἄνειν γὰρ τὸ αὔξειν, καὶ αὐτὴν ⟨ἄνην⟩ τὴν αὔξησιν [76. 77]
προσάπτει (Soph. fr. 527)· προσπλέκει, συνάπτει
προσαρασσόμενον· προσρησσόμενον
πρὸς ἄρκτον (Herod. III 102)· †πρὸς μεσημβρίαν
προσαύξω· προ[σ]άγω
προσαυρίζουσα χερσαίᾳ τροχῇ (Trag. fr. 204)· ὑπὸ τῆς αὔρας ἡ νοτὶς προσπίπτουσα τῇ τροχῇ. δύναται δὲ οἷον καταλαμβάνουσα· ἐπαυρεῖν γὰρ τὸ καταλαμβάνειν καὶ ἐπιτυγχάνειν
πρὸς αὔριον· εἰς αὔριον
προσαυρῶν· προστυχών [85]
πρὸς αὐτήν· περὶ αὐτήν
πρὸς αὐτοῦ· παρ' αὐτοῦ
πρὸς ἀφοσίωσιν· πρὸς τιμήν
προσάψας (Eur. Suppl. 361)· συνάψας
προσβαίνει· ἐγγίζει
προσβάλλοιντο (Thuc. I 49)· πρὸς τῶν ἄλλων ἔβαλον τῆς ἀθλήσεως
προσβαλών (Eur. fr. 212)· προσελθών
πρόσβαλον· προσκατακλίθητι (προσβαλοῦ?)

προσβλητόν· κολλητόν
προσβολή (e. c. Soph. fr. 773)· τῶν ἀθλητῶν ἡ συναφή, καὶ κατοχή, καὶ ἡ ὁρμή
προσβ(ωμ)ολοχεῖ· πρὸς χάριν λέγει
πρόσγειος· ταπεινός
προσγίνεται (Eur. El. 771) [ad 98]
προσγράφει· προσκρίνει
†προσδεῖται· προσδέεται
προσδέδορκας· προσεῖδες [3702]
προσδέχεται· προσποιεῖται [4. 5]
προσδιατρῖψαι· χρονίσαι
προσεγχεῖσθαι· ἐγχεῖσθαι, ἐπιχεῖσθαι
προσεδρεύει· σχολάζει [9]
πρόσεδρος· ὁ παρακαθήμενος. σχολάζων [11. 12]
προσεῖναι· ἐνυπάρχειν
πρόσειπε· ἄσπασαι, προσαγόρευσον. προσκύνησον
(προσείρων [Eur. fr. 364, 10?]· προσάπτων) 3810
προσείσας (Plat. Phaedr. 230 D)· προανακινήσας, καὶ οἷον ἀπαγγείλας. ἀπὸ τῶν περιαγόντων τὰ τετράποδα, ὅπου βούλεται. τοὺς γὰρ θαλλοὺς σείοντες ἐπεδίδοσαν
πρόσεισι (Thuc. IV 85)· προσέρχεται [17]
προσεκτέα· σπουδαστέα
προσεκτέον (Plat. Menon. 96 D)· τὸ προσέχειν, κελευστικῶς
προσεκτικώτεροι (Xen. Mem. III 5, 5)· νηφαλιώτεροι [21]
Προσεληνίδες· αἱ Ἀρκαδικαὶ νύμφαι [23—25]
προσεμάξατο· κατεμάξατο
πρὸς ἐμαυτόν· ἐν ἐμοί. εἰς ἑαυτόν
.....· προσεπλ(ά)κη. ἐπλησίασεν
πρὸς ἐμοῦ· πρὸς ἐμέ. π.
προσεμπεδοῦντες· ἐπιβεβαιοῦντες ⟨3952⟩ [31]
προσεννέπει· προσαγορεύει ⟨3421⟩ [33. 34]

COD. 67 προσακ| 68 μωλολόνθης — παῖδες 72 πρόσαντις 73 προσάντιον 75 |ανῶν — ἀνεῖν ⟨80 cf. ἄρκτος⟩ 82 |ζουσαι 84 |ρῶν ⟨cf. 3782⟩ 92 προσελθών, προσβαλών, ἐξ ἀντιστρόφως 96 προσχαίρειν 3706 χρονῆσαι 15 προσανακ| — σείοντας

HES. 69 προσαμύνομεν (B 238)· βοηθοῦμεν 70 προσανεύουσαν (Γ 411)· εὐτρεπίζουσαν, στρωνύουσαν ⟨3057⟩ 76 προσαπῆλαι· τιμῆσαι ⟨προσαγ— cf. προίηλε⟩ 77 προσαπειλή· τιμή ⟨προσαγήλῃ· τιμήσῃ⟩ 85 προσαυσιάτω (ο 440)· προσφωνείτω Ad 98 προσδέ 3702 πρὸς δέ με (X 59)· πρὸς δὲ τούτοις ἐμέ 4 πρὸς Διός (A 239)· παρὰ τοῦ Διός 5 προσεβήσατο (B 48)· προ(σ)έβη 9 προνομή· ἁρπαγή 11 προσέθω ⟨—θέω⟩· προσθήσω 12 προσειζήσαντες· προσκομίσαντες ⟨3496. 3803⟩ 17 προσεικάμενοι· προσλαβόμενοι ⟨προσηκ—⟩ 21 προσέλει· προπηλακίζει ⟨προύσελεῖ⟩ 23 προσελιάσθη (Eur. Hec. 100)· λίαν προσήγγισε 24 πρὸς ἐλιφερές (Trag. fr. inc. 90)· πρὸς τὸ κεκλεισμένον 25 προσελθών· προσβαλών ⟨3692⟩ 31 προσεμπρῆσαι (Exod. XX 6)· καῦσαι 33 προσενοῦσί με (Eur. Hipp. 863)· προσβάλλουσι, προσέρχονται ⟨προσσαί—⟩ 34 προσενώπια (Θ 435)· ἔμπροσθεν πρὸς τοὺς κατάντικρυς τῆς ἀνατολῆς ⟨3423⟩

προσενηνόχασι· προσαγηόχασι
προσεπέλασε· προσήγγισεν
προσεπεμβαίνει· ἐπιβαίνει, ἐπιτωθάζει, ἐπιγελᾷ
προσέπηξαν· προσήλωσαν ⟨q. v.⟩
πρὸς ἐπίβασιν· πρὸς βάδισιν
προσεποίσω· προσεπάξω
προσεποιήσω· ἐσχηματίσω [42]
προσερήσομαι· ἐπερωτήσω
ʔπροσεράχατοι· τεταγμένοι ἦσαν ⟨προσεσάχατο⟩
προσερπύσῃ· προσέλθῃ [46. 47]
προσερ(ρ)ύη· προ(σ)ῆλθεν ⟨3881⟩
προσέσχε· προσῆλθε (Soph. Phil. 236). προσέπλευσε, προσώρμησεν
πρὸς εὐθεῖαν· πρὸς ὀρθότητα
προσέφυ (Plat. Tim. 45 A)· προσεγένετο [52]
προσεχές· ἐγγύς ⟨3666⟩. νῆφον, νουνεχές
προσεχεῖ· ὁμοίως
προσεχής· γείτων. σπουδαῖος ⟨3440⟩
προσεχῶς· σπουδαίως
προσεψιά· προσαγόρευσις, καὶ ἡ πρός τινα ὁμιλία ⟨3443⟩
πρὸς ἕω (Soph. OC. 44?)· πρὸς ἀνατολήν [59]
προσηγορία· ὀνομασία
προσήγορος (Soph. A. 1169)· προσκυνητής
προσήϊκται (cf. Eur. Alc. 1063)· προσέοικε
προσηκάμενοι· προσλαβόμενοι ⟨3717⟩
προσήκατο· προσηνέγκατο
προσήκει· πρέπει. διαφέρει. χρή. ἁρμόττει. συμφέρει
προσήκοντες· συγγενεῖς
προσηκόντως (Thuc. II 43)· ὀφειλόντως. πρεπόντως. ὀφειλόμενον. δεόντως
προσήλια (cf. Aesch. Prom. 810)· πρὸς ἀνατολήν
προσήλωσαν· προσέπηξαν ⟨3738⟩. ἐσταύρωσαν
προσήλωται· ἀνεσταύρωται [71]
πρὸς ἡμῶν (Herod. VIII 60)· ὑπὲρ ἡμῶν [73]
προσηνές (Thuc. Herod. Hippocr.)· καλόν. ἡδύ. ἐπιεικές, ἀγαθόν, πρᾷον, χρηστόν
προσηνής· προσφιλής
προσηνῶς (Theophr. Char. 17)· ἡδέως. καὶ τὰ ὅμοια [77]
†προσήρενε· προσέθιγεν
προσηρτημένοι (Ar. HA. V 18)· .... κεκολλημένοι
πρό(σ)ηται (Sophocl.)· προσεγγίζει [81]
προσηύρετο· προσέτυχε. προσηγάγετο ⟨3684⟩ [83]
προσθεῖναι· τὸ παραδοῦναι τῷ ἐωνημένῳ ὑπὸ κήρυκι· ὅπερ νῦν κῦρσαί φασι
προσθείς· προσθήκην λαβών
†προσθέματα· τὰ πυγιαῖα
πρόσθεν· ἔμπροσθεν. πρὸ τούτου, ἄνωθεν ἢ ἔνθεν [88]
πρὸς θεοῦ· τὸ τυχόν. Ἀττικοὶ δὲ χάριτι θεοῦ φασιν εἶναι
προσθέσεις· δευτερώσεις
πρὸς θε†όν· κατὰ τὸν θεόν. ἐπὶ τὴν θεόν (προσθέω [Iones]· προσθήσω) 3611
πρόσθη· πρόσθεσις
προσθιάξειν· ἀφελεῖν τὰς ἐκ τῆς ὀσφύος τρίχας [94. 95]
προσίασι· προσέρχονται, προσφέρουσι
προσίει· ἐγγίζει ⟨—ῃ⟩ [98]
προσίενται· προσάγονται
προσίεσθαι· ἐφέλκεσθαι. προσφέρεσθαι
προσίεται (Ar. Eqq. 359)· ἀρέσκεται. προσδέχεται, ἡδέως λαμβάνει
προσιζῆσαι· προσκαθεσθῆναι [3803]
προσιζήσας· προσκαθίσας
πρόσιθι (Eur. Or. 149)· πρόσελθε
προσίκτορος· προσικέτορος ἀπὸ τοῦ προσικνεῖσθαι τοὺς ἱκέτας
πρόσιμεν· προσερχόμεθα. πρεσβεύομεν
προσίναντες· βλάψαντες ⟨3884. 3773⟩
προσιοῦσα· παρερχομένη [10]
προσίπταται· προπέτεται [12]

COD. 37 ἐπιτοθάζει 39 ἐπίπασιν; ἐπίβασιν· βάδισιν 40 |οίησω 48] post 50 53 νήφων 65 τρέπει 69 ἔτρωσαν 70 ἀνέστρωται 92 πρόσθῃ) πρόσθες Soph. OT. 1460 93 ὀσφύας 3801 cf. οὐ προσίεταί με

HES. 42 προσερεύγεται (O 621)· ἐρεύγεται 46 προ[σ]έσθαι· ἐκδοῦναι ⟨3432⟩ 47 προσέτι (τ 10)· πρὸς τούτοις 52 προσέφη (Hom.)· προσεῖπεν 59 πρὸς ζόφον (μ 81)· πρὸς δύσιν 71 προσήλυτος (Exod. XII 48)· πάροικος. ἀλλοεθνής 73 προσήναντες· βλάψαντες ⟨3884⟩ 77 προσήνεον· ὑψηλόν. τίμιον ⟨προηγμένον⟩ 81 προσηύδα (Hom.)· προσεῖπε, προσελάλει 83 πρὸς ἠῶ (ι 26)· πρὸς ἀνατολήν 88 προ[σ]θέοντα· ἔμπροσθεν τρέχοντα 94 προσθίσταμαι (Δ 54)· προΐσταμαι. ἐμποδίζω. ὑπερμαχῶ 95 προΐσταται· ἐπιπλάζει. προσκόπτει ⟨3509⟩ 98 προσίεμεν· προσερχόμεθα ⟨3807⟩ 3803 προσιζήσαντες· προσκομίσαντες ⟨3469⟩ 10 προσίρων· προσάπτων ⟨προσεί—⟩ 12 προσίσχεται· προσβάλλεται ⟨imo 3511⟩

προσιτόν· ᾧ δύναταί τις προσελθεῖν
προσιών· προσελθών, προσερχόμενος [15]
πρόσκειται· ἐκ προσθήκης κεῖται
πρὸς κέντρα λακτίζῃ (Eur. Bacch. 975 fr. 607)· παροιμία ἐπὶ τοῦ κατὰ τῶν ἐναντίων τι λέγειν ἢ πράττειν
προσκηδεῖς (Herod. VIII 136)· κατ' ἐπιγαμίαν οἰκεῖοι
πρόσκηπτε· προσήμαινε, πρόλεγε, προμήνυε
προσκλήδην· προσκαλεσάμενος ⟨3535⟩
πρόσκλησις· προτροπή, ἢ †πρόσριψις ἐπὶ δίκης
προσκομίσατο· προσηνέγκατο ⟨—άτω⟩
προσκομιστέον· προσενεκτέον
προσκομιδή· ἀναφορά [25]
[26] προβλέπειν (Soph. A. 688) [27]
προσκορῆ· ἀνηδῆ, ἀχαρῆ [29]
προσκροῦσαι· παροργίσαι. προσηλῶσαι
?προσκρούνιον· πρόφραγμα (q. v.)
προσκυνεῖ (Herod. VII 136)· προσπίπτει
προσκυρεῖ (Aesch. Cho. 13)· προσεγγίζει
προσκυροῖ· βεβαιοῖ
προσλαζόμενα· προσλαμβανόμενα
προσλαζύμεναι (Eur. Hec. 63)· προσλαμβανόμεναι [37]
προσλιπαρῆσαι· παρακαλέσαι
προσμελοῦ· ἐπιμελοῦ
προσμίξας (Xen. ΚΠ II 4, 21)· προσελθών. συνάψας [41]
προσόδιον (Sophocl. ap. Ar. Av. 853)· ᾠδή, θεοῦ ὕμνον περιέχουσα [43]
προσοικίσαντες· προσκαθίσαντες
πρόσοικος (Thuc. I 24)· οἰκεῖος, ὁ πλησίον οἰκῶν
πρὸς οἶμον (Eur. Hec. 39?)· πρὸς τὴν ὁδόν
προσοίσεσθε· προσδέξησθε
προσοκεῖλαι· προσορμίσαι εἰς τὴν γῆν ⟨3949⟩
πρὸς ὄλεθρον· πρὸς θάνατον
προσσόν· ἐνυπάρχον ⟨3950⟩ [51]

προσορμίσαντες· προσοκείλαντες
πρὸς οὔριον· πρὸς εὐθές, ἐπιτήδειον
πρὸς οὐρίου· τὰ αὐτά
προσοχή· κατανόησις. νῆψις [56]
πρόσπαιον (Soph. fr. 310)· πρόσφατον, νέον
προσπαλαίει· ......
προσπελάζει· προσεγγίζει
†προσπέζω (Antiph. com. p. 77?), προσπελάζεται
προσπεριβάλλεται· προσπεριλαμβάνεται
προσπέφυκεν· ἐκ φύσεως συνῆν
προσπήγματα· μέρος τι τῆς νεώς [64]
προσπίπτω (Soph. Phil. 485)· λιπαρῶ. ἱκετεύω
προσπλάζει· προσπελάζει
προσπλήξω· τύψω
πρόσπολοι· πρόπολοι. θεράπαιναι. θεράποντες, δοῦλοι [69]
προσποριοθέν· ἐπινοηθέν
προσπταίει· σκανδαλίζει
πρόσπταισμα· πρόσκομμα
προσπταίοντες· προσκρούοντες, προσκόπτοντες [74. 75]
προσπτύσσεται· προσάγεται. προσέλκεται. προσαγορεύει, ἀσπάζεται
προσραίνουσι· προσβάλλουσι
(προσρέουσι)· προσέρχονται ⟨3750. 3881⟩
πρόσρησις (Plat. Charmid. 164 D)· προσηγορία, ἀσπασμός
προσριπτούμενον· τοῖς κύμασι περιπατούμενον, κυματιζόμενον
προσρυέντων· προσελθόντων ⟨3881⟩
†προσσήει· προσεπεῖχεν. προσθέει [83. 84]
προσσαίνουσί με· προσβάλλουσι, προσέρχονται [86]
†προσσώτερον· ἐξώτερον ⟨3962⟩
προσταθείη· ...... [89—91]
προστασία· κυβέρνησις
προστατήριος (Soph. El. 637, Demosth.)·

COD. 20 προσκληδὶς 23 προσηνεγκτέον 30 παροργῆσαι 42 προσώδιον 47 προσοίσησθε 48 προσοκῖλαι |ῆσαι 50 προσσών, ἐνυπάρχων 52 |ήσαντες |κίλλαντες 71 σκονδάπτει

HES. 15 προ[σ]καταγνούς· πρὶν καταπτύσας 25 πρόσκομμα (I Cor. VIII 9)· ζημία. βλάβη 26 προσκόπτειν· ἁμαρτάνειν (Ioann. VI 9. 10) 27 προσκοπήν (II Cor. VI 3)· σκάνδαλον 29 προεικρόσσας (Ξ 35)· ἄλλας ἐπ' ἄλλας κλιμακηδόν ⟨3555⟩ 37 πρό[σ]ληψις· γνῶσις (non Rom. XI 15) 41 προμνήστρια· προξενοῦσα νυμφίους ἢ νύμφας ⟨3583⟩ 48 πρόσοδος (II Macc. IV 8)· ἔντευξις. ἢ κέρδους προσθήκη 51 †πρόσον· ὤθησον ⟨3951⟩ 56 προσοχθισμός (LXX)· πρόσκρουσις. δεινοπάθεια. πάθος γνώμης. συμπάθεια 64 προσπήξομαι· προσκυνήσω ⟨3875⟩ 69 προσποιεῖται· σχηματίζεται 74 προσπτύξομαι (· [Eur. Phoen. 1671] προσκυνήσω) 75 προσπτύξομαι (γ 22)· ὑποβαλῶ. παραμυθήσομαι 83 πρόσημον· ἐπὶ θανάτου προσαγομένου ⟨ΠΡΟCΤΙΜΟΝ⟩ 84 προσήναντες· βλάψαντες ⟨3773⟩ 88 πρόσσω (Λ 343)· πόρρω ἔμπροσθεν, μακρὰν εἰς τοὔμπροσθεν 89 πρὸς τάνδε αὐλάν (Eur. Hec. 171)· πρὸς ταύτην τὴν αὐλήν 90 πρὸς τάν (ib.)· πρὸς ταύτην 91 πρὸς τάνδε (ib.)· ὁμοίως

τὸν Ἀπόλλωνα οὕτω λέγουσι, παρόσον πρὸ τῶν θυρῶν αὐτὸν ἀφιδρύοντο [94—96]

προστάτου (Soph. OT. 419)·
ὥστ' οὐ Κρέοντος προστάτου γεγράψομαι
ἀπὸ τοῦ Ἀθήνησι νομίμου. ἀνάγει δὲ εἰς τοὺς ἥρωας. ἔνεμον γὰρ προστάτην οἱ μέτοικοι· καὶ οἱ μὴ ἀπογραφόμενοι τοῦτον, ἀπροστασίου δίκην ὤφειλον

προστερνισάμενος· προσπτυξάμενος ⟨3469⟩

πρὸς τέρμασι· πρὸς τὰ τέλη [3900]

προστιβάζεται· †μερίζεται. προ[σ]πορεύεται

προστιμᾶται· καταχρίνεται

πρόστιμον (Hippocr. 2, 2)· ζημία. παραγραφή ⟨3883⟩

πρόστομον· ἐπὶ ξίφους κεῖται (Poll. II 201) [5]

πρὸς τοὐμφανές· εἰς τὸ φανερόν

προστρεπόμενοι· σέβοντες, τιμῶντες, προσκυνοῦντες

προστρίβεται (Ar. Eqq. 5)· προσπήσσεται

προστρόπαιος (Trag.)· φονιός, μιαρός, αἵματι μεμιασμένος. καὶ πρός τινα τρεπόμενος δεήσει καθάρσεως [10]

προστροπαίων (Aesch. Cho. 274)· ἱκετευσίμων, καὶ ἱκετῶν [12]

προστροπῇ (Aesch. Cho. 18)· ἱκετείᾳ. πρόσοδος. τιμή

πρόστροπον· πρόσαντες (non Soph. Ph. 769)

†πρόστροχον (⟨περιτ—⟩· στρογγύλον

προστυχών (Soph. El. 1463)· ἀπαντήσας ⟨4022⟩

προστῷῳ (Plat. Prot. 314 E)· κοιτῶνι [18]

προσυπουργεῖσθαι· ὑπηρετεῖσθαι [20. 21]

†προσφάτης· πλάγιος πεσών

πρόσφατον· τὸ ἀρτίως γινόμενον, νέον, νεαρόν

προσφερεῖς κόρας (Eur. Or. 1408)· ὁμοίας ἀλλήλων κόρας

προσφθέγγεται· ἀσπάζεται

προσφιλεστάτοις· ἀγαπητοῖς

πρόσφορα· τὰ ἐπιτηδείως προσφερόμενα

πρόσφορον· ἐπιτήδειον, ἁρμόζον. οἰκεῖον. ἀκόλουθον

προσφοῦσα (Boeot.?)· ἐνδακοῦσα ⟨3936⟩

πρόσφυγα· καταφυγόντα [31]

προσφυές· προσῳκειωμένον

προσφυεστέροις· προσοικειωθεῖσιν

προσφυῆ· προσεοικότα. ἁρμόζοντα [35. 36]

προσφωνεῖ (Aesch. fr. 154)· προσαγορεύει [38. 39]

πρόσχημα· πρόφασις. ὑπόκρισις. προκάλυμμα

προσχίσματα (Aristoph. fr. CCXXXIX)· εἶδος ὑποδήματος, ἐσχισμένον ἐκ τῶν ἔμπροσθεν

προσχόμενον· προτείναντα

πρόσχορος (Arist. fr. CCXL)· ὁ παρὰ τῷ χορῷ γινόμενος

προσχωρεῖ (cf. Eur. Med. 222)· συμμίσγεται

πρόσω (Aesch. Cho. 368 sch.)· ἔμπροσθεν, πρὸ τούτου

προσῳδία (Critias Poll. IV 64)· μετ' ὀργάνου ᾠδή

προσωθεῖται· προστρίβεται [48]

προσώκειλε· προσώρμισε εἰς γῆν

προσών· ἐνυπάρχων ⟨3850⟩ [51. 52]

προσωπεῖον· ἡ νῦν καλουμένη τῶν γυναικῶν προσωπίς

προσωπεῖον· σχηματισμός [55. 56]

†προσώπη· πρόσοψις

Προσωπῖτις (Herod. II 41 Thuc. II 109)· νῆσος ἐν Αἰγύπτῳ

COD. 98 προτερανισάμενος 3915 cf. κατάτροπον 17 πρόστῳ 23 προσφερησκορρᾶς· ὁμοίως — χοάρων ῥοάς 32 προσοιχειωμένον 35 προσφεῖς 41 προσσχήματα 43. 44 = 44. 43 48 πρόσχωρος — χώρῳ 49 προσωκεῖλαι, προσωρμῆσαι 58 προσώπιον, τίς (cf. πρόποδες)

τ

HES. 94 προστατ οἱ μέτοικοι. καὶ οἱ μὴ ἔχοντες ἀπροστασίου ἐδιώκοντο 95 πρόσταμα· κοιτών 99 προστάς (Iudic. III 23)· πρόστωον 3900 προστήσας (Δ 156)· προαγαγών 5 πρὸς τοῦ (Κ 224)· πρὸς τοῦ ἑτέρου 10 προστροπαίῳ (Eur. H. f. 1259)· ἱκετεύω 12 προστραπέσθαι (Ζ 337)· ἀποτραπῆναι. προθυμηθῆναι 18 πρὸς ὑποτύπωσιν (I Tim. I 16)· πρὸς σημεῖον 20 προσφανῆ ⟨γεωφανῆ⟩· Θεόφραστος ἐν Μεταλλικῷ χρυσίου συρροάς 21 προσφᾶσθαι (φ 106)· προσειπεῖν 31 προσφυεῖς (novicium)· προσπλακεῖς 35 προσφύς (μ 433)· προσπλακεῖς, περιπλακεῖς 36 προσφῦσα (Ω 213)· ἐνδακοῦσα ⟨3929⟩ 38 πρὸς χάριν (Eur. Hec. 261 et LXX)· πρὸς τέρψιν 39 πρόσχες (Ps. V 2. XXI 19)· ἐπίβλεψον 48 πρόσ.ω καὶ ὀπίσω (Α 343)· ἐν τῷ ἔμπροσθεν, ὅ ἐστι μετὰ ταῦτα, καὶ ἐν τῷ παρελθόντι χρόνῳ. ἢ τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα 51 πρῶσον· ὤθησον ⟨3851⟩ 52 προσωπαιδοῦντες· ἐπιβεβαιοῦντες ⟨2730⟩ 55 πρόσωπον (Greg. Naz. Or. 39 p. 360)· ἐστὶ συνδρομὴ ἰδιοτήτων 56 πρόσωπον· τὸ πρόσωπον. Ὅμηρος (Σ 24)

πρότροπος· οἰνός τις, τοῦ γλεύκους τὸ πρόχυμα

προτρύγαια· ἑορτὴ Διονύσου καὶ Ποσειδῶνος [22. 23]

†προῦ· προσέρχου

†προύβα· τὸ λευκόν

προὔβη (Macho Ath. 580 C)· προέβη [27. 28]

†προυεσμένη· ἀναβαλλομένη. προϊοῦσα

προὔθηκα (Eur. Alc. 752)· προέθηκα

προύκας· δορκάδας ⟨πρόκας?⟩

προυλέσι (Lac. Boeot.)· πεζοῖς ὁπλίταις

†προῦμορ· εἶδος σικύου

προυνικοί· οἱ μισθοῦ κομίζοντες τὰ ὤνια ἀπὸ τῆς ἀγορᾶς, οὓς τινες παιδαρίωνας καλοῦσι· δρομεῖς, ταχεῖς, ὀξεῖς, εὐκίνητοι, γοργοί, μισθωτοί

προύνους (Cyprii?)· βουνούς

προὐξένεις (Demosth. 252, 25)· ἐξένιζες

προὔπεμψε (Θ 367 Soph. El. 1158)· προέπεμψεν

προὖπτον (Thuc. V 99)· πρόδηλον, φανερόν

†προύρα· πλεύμων, ἢ πνεύμων

προυργιαίτατα· προνοητικώτατα

προυργιαίτερον (Dem. 412, 7)· προκρινόμενον, προτιμότερον ⟨4028⟩. κρεῖττον. ἀναγκαιότερον. ὠφελιμώτερον

προὔργου· ὁμοίως· ἑτοίμου, πρὸ ἔργου

†προύσελα· προύτελα, προτελεῖ

(προυσελεῖ· προπηλακίζει) 3721

(προυσελεῖν· προπηλακίζειν. ὑβρίζειν) 4027

προὔστημεν (Eur. Andr. 221)· προέστημεν

προὔστησας· προέστησας. εὐτρέπισας

προὔστησε· προέστησε. εὐτρέπισεν [47]

προὔτυψαν (N 136)· προένευσαν. προῆλθον, προεχώρησαν [49]

προὔχει (Soph. Phil. 138)· προέχει. πρωτεύει, κρεῖττόν ἐστι

προὔχοιο (Soph. Ant. 80)· προφασίζοιο ⟨4098⟩

προὖχον· προέχον

προὔχονται· ἐνέχονται (Thuc. I 140?)

προὔχοντες (Aristot. Nicom. I 3)· προάγοντες. μέγιστοι [55. 56]

προφαίνων· προλέγων. προδηλῶν

προφανεῖς· προφανέστεροι [59. 60]

πρόφαντα (Herod. IX 93)· προφητικά

πρόφαντον (Soph. Tr. 1161)· λόγιον, θεοπρόπιον, προδεδηλωμένον

πρόφασις (Thuc. III 9)· αἰτία, ἀφορμή [64. 65]

προφέρει· [ὅμοιον]

προφερεῖς (Aeschin. 7, 35)· οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι

προφορεῖσθαι (Ar. Avv. 4)· τὸ ταῖς διαζομέναις τὸν στήμονα παραδιδόναι [69—71]

πρὸ φόως (Π 188)· πρὸ τοῦ καθήκοντος χρόνου εἰς φῶς αὐτὸν προήγαγε γεννηθέντα

προφράγματα· τὰ προσκήνια [73. 74]

πρόφρων· [ad 75] εὔνους. φρόνιμος

προφύσια· ἐν τοῖς μετάλλοις τὰ σκέπης χάριν †τῶν ἐν ταῖς φύσαις αὐλῶν τιθέμενα

προχάζοις· προβαίνοις. ἀναποδίζοις

προχάνη (Soph. Ant. 79 Call. Cer. 74)· σκῆψις. πρόφασις. καὶ καλύπτρα

Προχαρισία· ἡ Θέτις οὕτω που τιμᾶται

πρόχασον· πρόελθε [81]

προχέει (cf. Φ 219)· ἐκπέμπει

προχειρίζεται· προφέρει. προχέει. ἐκλέγεται [84]

προχείρως (Plat. Symp. 204 D)· ἑτοίμως, ταχέως, ὀξέως [86. 87]

προχέοντο· ἐπάλληλοι ἐφέροντο. προΐεσαν. ἔρρεον. προ[σ]ήρχοντο [89. 90]

COD. 20 πρόρυμα (cf. πρόουρον) 21 προτρυγέα 33 οἴκου (πρώϊμος?) 36 προυξενεῖς· ξενίζεις 48 προύτυφαν 51 προφητίζοιο ⟨4098⟩ 52 |ον bis 66 προφέ (ρ suprascr.) (B 251?) 68 προφερεῖσθαι 71 προφοῶς — γεννηθέντος 83 προέχει

HES. 22 [προτυχών] προστυχών (Demosth. 799, 5)· παρατυχών 23 πρωτόγονος· νέος ⟨4163⟩ 27 προυγελεῖν (cf. Aesch. Prom. 438)· προπηλακίζειν, ὑβρίζειν ⟨4043⟩ 28 προυγιετέρω· προτιμοτέρω ⟨4041⟩ 47 προυτροπάδην· κατὰ τροπήν 49 προὔτυψαν (N 136)· προήρξαντο. καὶ τὰ ὅμοια 55 προυχός· ξέστης ⟨4099⟩ 56 προὔχνου· παντελοῦς ⟨4091⟩ 59 προφανέντες (Ω 332)· προελθόντες 60 προφανῶς (Sirac. LI 18)· προθύμως 64 πρόφασσα· πρόθυμος. ἐνοοῦσα. καὶ προνοηθεῖσα ⟨4073⟩ 65 πρόφερε· ὀνείδιζε (Γ 64). πρόαγε, προκόμιζε (K 479) 69 προφερέστεροι (φ 134)· κρείττονες, ὑπερέχοντες, κρείσσονες, βελτίονες 70 προφορά· εὐλαλία. ἑτοιμολογία (Epiphanius) 71 προφοῶ (Π 188)· προεξήγαγεν αὐτόν 73 πρόφρασσα (K 290)· πρόθυμος. εὐνοοῦσα. διανοουμένη 74 προφρονέως (E 810)· προθύμως Ad 75 πρόθυμος (K 244) 81 προχέα· πρόφασις 84 προχειρίσαι (Exod. IV 13)· ἐπιλέξαι 86 πρόχειρος (Prov. XI 3)· ἕτοιμος, εὐχερής 87 προχειρότατον· ἕτοιμον 89 πρόχθης (υ 65)· τὸ ἐκβαλλόμενον εἰς τὴν θάλασσαν 90 προχθήσεσι (P 263)· ταῖς εἰς τὴν θάλασσαν προχύσεσι

πρόχνυ· ἐπὶ γόνατα, οἷον πρὸ γόνατος·
πρόχνυ καθεζομένη (Ι 566)
καὶ παντελῶς (ξ 69)·
πρόχνυ, ἐπεὶ πολλῶν ἀνδρῶν ὑπὸ γούνατ' ἔλυσε
καὶ πρόρριζον, παντελῶς, καὶ τελείων ⟨4056⟩

προχοαί (Suppl. 989)· αἱ ἐκρύσεις τῶν ποταμῶν. καὶ ὑδρίαι [93]

προχοΐδας (Xen. ΚΠ. VIII 8, 10)· τὰς ἀμίδας

†πρόχοι· πρόχοοι, ἤγουν ὑδρίαι·
ἀμφικύβωται προχοί.
ἤτοι δὲ ⟨λέγεται⟩ ἀπὸ τοῦ ὅλου περιφερεῖς κύβους ἀμφικύβωται· ἢ ἀπὸ τῆς τῶν ὤτων, τὸ ἐξ ἀμφοτέρων δηλοῦντος

προχοΐδια· αἱ καταχύσεις

προχοΐδιον· ἀγγεῖόν τι οἰνηρόν, σταμνίς. καὶ οἷον ὡς προχοΐδιον, ἤγουν κατάχυσιν [98. 99]

προχόῳ (σ 397)· τῇ καταχύσει

προχύτας (Eur. El. 803)· ὁλάς, ἀπαρχάς

προχύτης (Simaristus)· ποτήριόν τι [4103]

προψάτης(· ......
......·) πανώλεθρος Demosth. 332, 22

προώδων· ἐξέχων τοὺς ὀδόντας

πρόωμαι· ἐάσω, προχωρήσω

προώμεθα· ἐάσωμεν, παραχωρήσωμεν ⟨—ομεν⟩

προώρας (Theophr. CP. III 14, 7 HP. II 1, 3)· τὰ πρῶτα κλήματα

πρόωρον· πρὸ καιροῦ (cf. Greg. Naz. Arc. VII 114)

†πρόωφος· πρόσκοπος

προωχὴς ἵππος· ὁ ἐκ τῶν ὄπισθεν μετέωρος καὶ τῷ ἀναστήματι καὶ τῇ ἱππασίᾳ

†πρύανος· νέος ⟨περυσινός?⟩

πρυλεῖς· οἱ μὲν πολλοὺς λαούς· οἱ δὲ προμάχους, ἢ πεζοὺς ὁπλίτας ἀθρόους

πρυλέες (Λ 49)· πεζοὶ ὁπλῖται· ἀπὸ τῆς πορ(ε)ίας. τουτέστι πορείᾳ χρώμενοι

πρύλιν (Call. Iov. 52)· πυρρίχην, ἢ ὁπλίτην [16]

†πρυλεύσεις· ἐπὶ τῆς ἐκφορᾶς τῶν τελευτησάντων παρὰ τῷ ἱερεῖ

πρύμνα· τὰ πρέμνα, ἢ τὰ ὄπισθεν τοῦ πλοίου

†πρύμναι· αἱ ἄκραι

†πρύμναδε· πρυμνόθεν. πᾶν γὰρ τὸ πρόσγειον κάτωθεν πρύμνον λέγεται [21]

πρύμνηθεν οὖρον (Eur. Tro. 20)· τὸν ὄπισθεν ἄνεμον, τὸν ἐπιτήδειον [23]

πρυμνόν· τὸ ἔσχατον, τὸ ἄκρον. καὶ πρυμνήν (Μ 149) τὴν ἐσχάτην. [καὶ πᾶν ἔσχατον] ἐκ ῥιζῶν

πρυμνός (Μ 446)· κάτωθεν βαρύς. ἢ †πλοῦτος

πρυμνώρεια (Ξ 307)· ἀκρώρεια. ἄκρον. ὄρους τὸ ἔσχατον μέρος

πρυτανεῖα (Dem. 1353, 23)· ἡ λεγομένη καταβολή, τὸ δέκατον τοῦ τιμήματος

(πρυτανεία·) λέγεται δὲ καὶ ἡ ἐπὶ μηνὶ μισθοφορία, καὶ τὸ ἀργύριον, ὃ κατετίθεσαν οἱ δικαζόμενοι

πρυτανεῖον· τρία Ἀθήνησι συσσίτια θεσμοφορεῖον, πρυτανεῖον

πρυτανεύει· διοικεῖ

πρύτανις (Aesch. Suppl. 371)· βασιλεύς. ἄρχων. χορηγός. ταμίας. διοικητής

πρῴ (e. c. Ar. Av. 129)· ἀντὶ τοῦ πρωΐ [32—34]

πρωθήβην· ἄρτι ἡβῶσαν, ἀκμάζουσαν

πρωΐ· Ἀττικώτερον τὸ ὑφέν. σημαίνει δὲ τὸ ἐν ὥρᾳ. καὶ πρὸ τοῦ δέοντος καιροῦ, ἢ πρὸ τῆς καθηκούσης ὥρας ὡς ὀψὲ ἐπὶ τοῦ καθυστεροῦντος τῆς προσηκούσης ὥρας

πρώια· ταχέα

πρωΐζα· πρῶτα. πρωΐ

πρωΐη (Herod. VIII 6)· ὀρθρινή [40—42]

COD. 91 προγόνον — ἐπὶ πολλῶν 92 ὑδρεῖαι 93 προχοῆς 95 ὑδρεῖαι 4101 ὅλας 5 προωδῶν 6 πρόσομαι (cf. οὐ μὴ πρόωμαι) 16 πρύλεις ⟨20 Forte πρύμναθε· πρ. κάτωθεν — πρυμνόν⟩ 22 οὔριον 24 πρύμναν — πρύμναν 26 |νώρια 28. 29 = 29. 28 28 πρυτανεῖα, quod irrepserat post συσσίτια. Mox codex καὶ οὗ κατετ. τὸ ἀργ. οἱ δ. 37 πρωΐα 38 πρώϊζα

HES. 93 προχοῇς (υ 65)· τὸ ἐκβαλλόμενον εἰς τὴν θάλασσαν καὶ τοῦ ποταμοῦ τὸ προστόμον προχοή 98 πρόχοιο (Soph. A. 80)· προφασίζοιο. ἢ προβάλλοιο, καὶ σκεπάζοιο. παρ' ὃ καὶ τὰς ἀσπίδας προβάλους ⟨l. —αλούς⟩ ἔλεγον ⟨4051⟩ 99 πρόχοος (σ 397)· ξέστης, μέτρον ⟨4055⟩ 4103 πρόχυσις· τὸ μεταξὺ χῶμα 16 πρυλέεσσ' ἀραρυῖα (Ε 744)· πεζοῖς ἡρμοσμένη 21 πρυμνήσια (Λ 476)· ἀπόγεια σχοινία 23 πρύμνη (υ 84)· τὰ ὀπίσω, ἢ τὸ τέλος τοῦ πλοίου 32 πρωθήβας (Θ 518)· ἀκμαίους 33 πρωθῆβαι (θ 262)· ἄρτι ἀκμάζοντες 34 πρώηβες· ἄρτι ἀκμάζοντες 40 πρωϊνής· ἐπ' ὄψιν, ἐπὶ πρόσωπον ⟨πρηνής⟩ 41 πρώϊον (Ο 470)· κατ' ἐκείνην τὴν ἡμέραν. οἱ δὲ πρὸ καιροῦ, ταχύ. ἢ ἀντὶ τοῦ πρώην (Zenodot.) 42 πρώκεα· δῶρα ⟨προίκια⟩

πρῶκες (Call. Ap. 41)· σταγόνες, ψεκάδες, σταλαγμοί

πρωκτὸς λουτροῦ περιγίνῃ (Ar. Vesp. 602)· παροιμία [ad 44]

†πρωλυθίαι· παρειμένοι, παραλελυμένοι

†πρωλύθιον· ὁ ἐπιφερὴς καὶ ἐπὶ στόμα

πρῶν (P 747)· ὄρος, κρημνός. οἱ δὲ ὄρους ἐξοχήν [48. 49]
σαρδώ· ἐν Πασιφάῃ (Alcaei com.) τὸ σαρδόνιον ἡ σφραγὶς εἴρηται

Σαρδώ (Call. Del. 21)· νῆσος μεγάλη, πλησίον Ἀφρικῆς, ἡ καὶ Σαρδών

σάρητον (Soph. fr. 132)· ὁ σάραπις, εἶδος χιτῶνος ⟨110⟩

?σαρκῶν· σπερμολόγος

σάρι (Theophr. HP. IV 9)· φυτόν τι γινόμενον ἐν τοῖς κατ' Αἴγυπτον ἕλεσιν

σαρίν· ὀρνέου εἶδος, ὅμοιον ψάρῳ ⟨ψαρίῳ⟩

σαρίρ· κλάδος φοίνικος Λάκωνες

σάρισα (Theophr. HP. III 11, 2)· δόρυ μακρόν, εἶδος ἀκοντίου Ἑλληνικοῦ, σπάθη βαρβαρική. Μακεδόνες

σαρκάζει· μειδιᾷ, εἰρωνεύεται, καταγελᾷ. ἀπὸ τοῦ σεσηρέναι

σαρκάζων· μετὰ πικρίας γελῶν

σαρκάσας· μετὰ πικρίας ἢ ἠρέμα τὰς τῶν χειλίων σάρκας διανοίξας, γελάσας

σαρκήρη στάχυν (Trag. inc. 206)· τὸν ἐκ σαρκῶν συνηρμοσμένον, καὶ οὐκ ἐκ

COD. 77 θάπτειν 83 καρκίνον 88 σαπυλλεῖν 93 πλάτων 96 |ήρω 97 σχοινίον ἀγυράτωγα 202 σαρδόνιον γέλως 3 σάρσονες — μέρει 4 τὴν σάρδον 6 σαρδῶ — |φά.. 7 σαρδών — σαρδώνη 8 καὶ εἶδος 10 σαρίν, σαρὸν φ. 13 σάρισσα 17 σαρκήρης — τῶν

HES. 76 σάνουροι· τὰς οὐρὰς σαίνοντες ........ ⟨54. 513. 1261⟩ Ad 78 πλήσασθαι 81 σαύφρων (δ 158)· σώφρων 86 σαπριοῦσι (Eccles. XI)· σήπουσι 95 σαραφίν· γνώσεως πληθυσμός, ἢ σοφίας χύσις

κριθῶν συνεστῶτα, †οἷον ⟨Ἴων⟩ ἄνθρωπον [218]

σαρκοκόλ(λ)α· φυτοῦ δάκρυον

σαρκῶν (Hipponact. fr. 133)· σεσηρώς

σάρματα· καλλύσματα. καὶ κόπρια παρὰ Ῥίνθωνι

σάρμοι· θερμοί. Καρύστιοι ⟨430⟩

σαρμός· σωρὸς γῆς. καὶ κάλλυσμα. ἄλλοι ψάμμον, ἄλλοι χόρτον

σάρον· Ἴων Ἀργείοις (fr. 9)· ὡς παλαιὸν †ἀκίσσαρον. βαρυτονητέον, ὡς παρὰ Σώφρονι. θέλει δὲ λέγειν, ὅτι ἄχρηστοί εἰσι διὰ τὸ γῆρας

σάρον· κάλ(λ)υντρον. Βυζάντιοι

σαρός (Berosus)· ἀριθμός τις παρὰ Βαβυλωνίοις [ad 26]

Σαρπηδόνιον (Aesch. Suppl. 869)· τὸ μέγα. καὶ ἡ ἐν Θρᾴκῃ καὶ Κιλικίᾳ πέτρα ὑψηλοτάτη

Σαρπήδοντος (Μ 379)· Σαρπηδόνος. ἅλις δὲ ταύτῃ χρῆται τῇ γενικῇ Σαρπήδοντος. ἔστι δὲ Αἰολικὴ ἀπὸ εὐθείας τῆς Σαρπήδων

Σαρπηδών· κόσμος τῶν θεῶν, ἀπὸ μέρους. ἔστι δὲ ἀπὸ λίθου σαρπηδονίου καλουμένου. καὶ ὄνομα κύριον

Σαρπηδὼν ἀκτή (Soph. fr. 42)· ἀντὶ τοῦ Σαρπηδονία. τόπος δὲ οὗτος Θρᾴκης, ἀεὶ κλύδωνας ἔχων καὶ κυματιζόμενος, ἱερὸν Ποσειδῶνος

σάρπους· κιβωτούς. Βιθυνοὶ δὲ ξυλίνους οἰκίας

†σαρρυφθεῖν· μωραίνειν ⟨cf. ὑῤῥάφθαι⟩

σάρσαι· ἅμαξαι

†σαρσίτει· χορὸς πρὸς μύλον ποιούμενος τὴν χορείαν. Λάκωνες

σαρῶ· κοσμήσω

σάρων· λάγνος. τινὲς δὲ τὸ γυναικεῖον

σαρῶνες· τὰ τῶν θηρατῶν λινά

Σαρωνία Ἄρτεμις· Ἀχαιὸς Θησεῖ (fr. 17). ἀπὸ τοῦ ἐν Τροιζῆνι Σαρωνικοῦ κόλπου

†σασαλαγεῖ· θρηνεῖ ⟨95. 96⟩

σαρωνίδες (Call. Iov. 22)· πέτραι. ἢ αἱ διὰ παλαιότητα κεχηνυῖαι δρύες

σάτρα· σηπία ⟨σᾶστρα· σηλίαι?⟩

σάσαι· καθίσαι. Πάφιοι ⟨σᾶσαι· καθερίσαι?⟩ [43]

σαταρίδες· σαταρνίδες. κόσμος κεφαλῆς γυναικεῖος ⟨252⟩

σᾶτες· τὸ ἐπ' ἔτος. Δωριεῖς

σάτιλλα· πλειὰς τὸ ἄστρον

σατίναι (Anacr. fr. XIX 12)· αἱ ἅμαξαι

Σατνιόεις· ποταμὸς ἐν Λελεγείᾳ (Φ 87). οἱ δὲ Λέλεγες Καρῶν γένος, πλησιόχωροι αὐτοῖς ὄντες. ἔστι δὲ καὶ Κιλικίας ποταμός

σατός· ἐπ' ἔτος

σατράπαι· ἀρχηγοί, στρατηλάται. Περσικὴ δὲ ἡ λέξις

Σατρ†ιάς· ἔθνος Αἰθιόπων ⟨35⟩

σάττα· κάλυμμα κεφαλῆς γυναικείας ⟨244⟩

?σατήοραι· σκάφαι βοτρύων, παρὰ Λάκωσιν [54]

σατύραν· καταφερῆ

σατύριον· πόα τις συνεργὸς πρὸς τὰς Ἀφροδισίας ὁρμάς. καὶ ζῷον (Aristot. HA. VIII 5) τετράπουν, ἢ λιμναῖον

σάτυροι (Eur. Bacch.)· μορφαὶ ἀπρεπεῖς

σάτυρος· ἡ ἔντασις. ἢ χορευτής

†σαυᾶδαι· σαῦδοι. Ἀμερίας τοὺς σειληνοὺς οὕτω καλεῖσθαί φησιν ὑπὸ Μακεδόνων

σάνη· ὁ κόσμος Βαβυλώνιος ⟨—οι⟩

σαυκόν· ξηρόν. Συρακούσιοι ⟨8⟩

σαυκρόν· ἁβρόν. ἐλαφρόν. ἄκρον [63]
[64] τρυφερόν. σεμνόν. σοβαρόν

σαυκρόποδες· ἁβρόποδες

σαῦλα (Simonid. Am. fr. 18)· κοῦφα. ἥσυχα. τρυφερά

σαῦλον· ἁβρόν. κοῦφον. ἄκρον. τρυφερόν. Ἀττικοί

σαυλοῦσθαι· τρυφᾶν, θρύπτεσθαι, ἐναβρύνεσθαι

σαυλῶ ⟨—οῦ⟩· θρύπτου

σαύλωμα· θρύμμα [71]

σαυνά· ἁπαλά

σαυνίον· ἀκόντιον βαρβαρικόν. καὶ σαθρόν, χαῦνον, ἀσθενές ⟨288⟩, παρὰ Κρατίνῳ (fr. inc. CXXII)

σαύρα· τὸ ἑρπετὸν ζῷον (Theocr. II 58). καὶ ἰχθῦς μέγιστος, σαῦρος (Arist. HA. IX 2)

COD. 23 κάλυμμα 26 cf. ἀρῶς 27 δραιστήκη 28 ἀεὶ 29 ἀπὸ μέρους τῶν θεῶν 31 βυθινοί 35 κοσμίζω 38 τρυζῆνι 40 κεχηνηδρύες; cf. σορ— σωρ— et ἀρχωνίδας 45 σατεῖς 46 πηλείας 47 σατῖναι, αἱ ἀμάξαι 48 σατνισόεις 49 ἐπετός 62 cf. ψαυκρὸν 65 cf. ψαυκρ— 66 σαυλά 67 σαυλόν — ἀβρόν 74 σαῦρα — σαυρός

HES. 218 σαρκοβόρα (Greg. Naz.)· σαρκοφάγον Ad 26 [ἢ κάλυντρον] 43 σάτον (Matth. XIII 33)· σιτικὸν μέτρον ⟨263⟩ 54 σαττίν (Iosu. II 1)· ὄνομα τόπου 63 σάτων· μόδιος γέμων, ἤγουν ἓν ἥμισυ μόδιον Ἰταλικόν 64 σαυαρόν· ἁβρόν. ἐλαφρόν. ἄκραν] 71 σαυλάτηρ· δορατοθήκη ⟨280⟩

*Σαῦραι* (Hecataeus, Herod. VII 110)· ἔθνος Θρᾴκιον

*σαυρῖται*· εἶδός τι ὄφεων

*σαυρίγγη*· πόα τις. καὶ τὸ ζῷον ἡ σαύρα

*σαυροβριθὲς ἔγχος* (Trag. inc. fr. 207)· ἐκ τοῦ σαυρωτῆρος βαρύ. καὶ Αἰσχύλος (fr. 329) *ὀπισθοβριθὲς ἔγχος* ἔφη

*σαυρωτή*· ποικίλη

*σαυρωτήρ*· τὸ ἔσχατον σιδήριον τοῦ δόρατος. δηλοῖ δὲ καὶ στάθμην. †κεστόν

*σαυρωτῆρες*· τοῖς (σ)τύραξιν τῶν ὀπίσω τῶν δοράτων, ἤτοι σιδήρου τοῦ δόρατος

*σαυρωτῆρος*· τοῦ σιδηρίου (Κ 153)

*σαυρωτοῖς δόρασι*· τοῖς σαυρωτῆρας ἔχουσι κατὰ τῆς ἐπιδορατίδος

*σαύσακας*· τυροὺς ἁπαλοὺς εὐτρόφους. καὶ δοκοῦσι δὲ οὗτοι (εὐ)επιφόρους ποιεῖν πρὸς συνουσίαν

*σαυσαρόν*· †ψιθυρόν

†*σαυσιαλεῖ*· μαστιγᾶται. Ἠλεῖοι

*σαυτορία*· σωτηρία. Ἀμερία(ς) ⟨306⟩

*σαυχμόν*· σαχνόν, χαῦνον, σαθρόν, ἀσθενές ⟨273. 296⟩

*σάφα* (Eur. Or.)· σαφῶς, φανερῶς, λαμπρῶς

*σαφές*· τὰ αὐτά

*σαφηνιεῖ*· ἑρμηνεύ(σ)ει

*σαφήνισον*· ἑρμήνευσον

*σαφήτωρ*· μάντις ἀληθής, μηνυτής, ἑρμηνεύς

?*σάγματα*· φορτία ⟨σαχ—⟩

?*σαγμίς*· ἡτοιμασμένος ⟨σαχ—⟩

*σαχνόν*· ἀσθενές, χαῦνον ⟨288⟩

*σαψίς*· ὁ ἀγαθὸς δαίμων, παρὰ Ἀράβοις

*σάω* (Π 363 Callim. ep. XXXIII)· σῶζε, σῶσον

*σαώζει* (Cyprii)· σώζει

*Σαωκίς*· ἡ Σαμοθρᾴκη οὕτως ἐκαλεῖτο τὸ πρότερον

*σαωμένα*· θεωροῦσα

*σαώς*· ἥλιος. Βαβυλώνιοι [303. 4]

*σαώτερος* (Α 32)· ὑγιέστερος. σῶος. ὑγιής. ἢ σωτηριώτερος. ἀπὸ πρωτοτύπου *σάος* Αἰολικοῦ

*σαωτηρία*· σωτηρία ⟨287⟩ [7—11]

*σέβας*· τιμή. θαῦμα. θάμβος, ἔκπληξις. αἰδώς (Σ 178)

*σεβάσμιον*· τιμητόν, προσκυνητόν [14]

*σεβαστός*· προσκυνητός, τιμητός

*σεβέννιον* (Archigenes med.)· τὸ ἐπ' ἄκρῳ τῷ φοίνικι φλοιῶδες γινόμενον

*σεβερός*· εὐσεβής, δίκαιος

*σέβεσθαι* (Eur. Or. 347)· αἰδεῖσθαι, ἐντρέπεσθαι. προσκυνεῖν. αἰσχύνεσθαι

*σέβηται*· λατρεύηται. ἢ αἴδηται

*σεβιστόν*· τιμητόν

*σέβις*· πυξίς ⟨421⟩

*σεγάνιον*· γυργαθῶδες ⟨197⟩ πλέγμα παρὰ Ῥοδίοις

*σέδας*· καθέδρας ⟨σέλλας⟩

*σε(.)έλλισαι*· Φρύνιχος ἐν Κρόνῳ (p. 584)·

ἄγαμαι Διονῦ σοῦ στόματος, ὡς σε(σ)έλλισαι

κεκόμπακας πολλάκις. Αἰσχίνης τις ὑπῆρχε, Σέλλου καλούμενος, ἀλαζὼν καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν, πενόμενος καθ' ὑπερβολήν, ὡς τοὺς παραπλησίους τούτῳ καλεῖσθαι ..... ⟨438⟩ [25]

*σέθεν* (Α 180)· σοῦ. ἰσοδυναμεῖ δὲ αὐτῷ καὶ τὸ σεῦ καὶ τὸ σέο καὶ σεῖο· τὸ δὲ καθ' Ὅμηρον τοῦ σοῦ σύναρθρον·

μνῆσαι πατρὸς σεῖο (Ω 486)

καὶ σοῖο ἢ ἐκ σοῦ

*σεῖα*· ἐδίωξα. Βοιωτοί ⟨458⟩

*σεῖν*· θεῖν. Λάκωνες

†*σεῖναι*· θεῖναι. Κρῆτες

?*σειεις*· ἐξαπατᾷς. Ἀττικοί [31. 32]

*σειομένους*· καθαλλομένους [34—36]

*σειραί*· πλέγματα, ἡνίαι, ἢ πλεκτοὶ ἱμάντες [38]

*σειραφόρον* (Aesch. Ag. 1640)· ἡγεμονικόν. μετῆκται δὲ ἀπὸ τῶν δεξιοσείρων ἵππων

*σειρήν* (Θ 19. 25)· ἀναδέσμην. καὶ μέλιττα (Arist. HA. IX 40), ἢ μελίττης οἶκος. καὶ ὀρνιθάριόν τι ποιόν. καὶ ἱμάτιον ἀσπάθητον λεπτόν [41]

COD. 76 σαυρίται 84 *σαυσάκας* 93 *σαφῆτορ* 99 ut καλήζω 301 |*ένη* 5 |τύπου *σωσηῶ* 17 *σέβερος* 21 πηξίς 24 κρονίω — |λίσαι κεκομμένα 26 ὀμηροῦν 28 *σεὶν*· θεὶν lilus?) 40 *σειρη* ἡ ἀναδέσμη

HES. 303 *σαώσεις* (Α 83)· σώσεις 4 *σάωμεν* (Χ 175)· σώσωμεν 7 *σαόφρονα* (Φ 462)· σώφρονα 8 *σβέννυται* (Prov. X 7)· κατασβέννυται 9 *σβέσαι*· παῦσαι (Π 621), κατασβέσαι (Ι 678?) 10 *σεαυτόν*· τοῦ σοί 11 *σέβαμα* (Iesai. XVI 8)· ἐπιστροφὴ πονηρά 14 *σεβάσσατο*· σεβαστὸν ἡγήσατο (Ζ 167), ἐτίμησεν, ἐνετράπη (Ζ 417) 25 (Σ)*εδέκ* (Iesai. XVI 7)· πό(λις) Μωαβιτῶν. ἑρμηνεύεται δὲ μελέτησις 31 *Σειθονίη* (Herod. VII 122)· ἡ Θεσσαλία 32 *σεῖο* (Γ 137)· σοῦ ἢ τοῦ σοῦ 34 *σείνεται*· κακοποιεῖ 35 *σεῖο φονήσας* (Σ 336)· τοῦ σοφόνεος 36 *σεῖον ζυγόν* (γ 486)· ἀπὸ τοῦ παρακολουθοῦντος, συνεχῶς καὶ ἐπιτεταμένως ἔτρεχον 38 *σειραχθῆσαι*· χρεῶν ἀποκοπαί 41 *σειρή*· ἄλυσις, δεσμός

σειρῆνες· οἱ λεπτοὶ καὶ διαφανεῖς χιτῶνες

σειριᾷ· φλεγμαίνει, καροῦται

σειρίδας (Xen. Venat. IX 13. 19)· τὰς σειράς ⟨426⟩

σείριος· ὁ ἥλιος. καὶ ὁ τοῦ κυνὸς ἀστήρ

Σειρίου κυνὸς δίκην· Σοφοκλῆς (fr. 732) τὸν ἀστρῷον κύνα. ὁ δὲ Ἀρχίλοχος (fr. 63) τὸν ἥλιον. Ἴβυκος (fr. 3) δὲ πάντα τὰ ἄστρα [47—50]

σειρόν· τὸ ἀνδρεῖον, θέριστρον. Σικυώνιοι

σειροφόρος· †οἰωνὸς ἡγεμονικός

σεῖσαι· συκοφαντῆσαι. ἀπὸ τῶν τὰ ἀκρόδρυα σειόντων [54]

σεισάχθεια· Σόλων χρεῶν ἀποκοπὴν δημοσίων καὶ ἰδιωτικῶν ἐνομοθέτησεν, ἥνπερ σεισάχθειαν ἐκάλεσε, παρὰ τὸ ἀποσείσασθαι τὰ βάρη τῶν δανείων

σεισμός (Thuc. III 89)· τρόμος

σεισό†φελος· †τὸ τῶν τροχίλων εἶδος

σείσων (Alexid. com.)· ἄγγος κεραμεικόν, ἐν ᾧ τοὺς κυάμους φρύγουσιν

σεῖφα· σκοτία. Κρῆτες

σεκάνες· πόρρωθεν ⟨σίκασα⟩

σεκούα· σικύα

†σεκουάνη· ἐλαίας εἶδος. Λάκωνες [63]

σελαγίζει· αἴθεται, φλέγεται. ἀπὸ τοῦ σέλας (Greg. Naz. Arc. VI 4?)

σελαγεῖται (Ar. Nubb. 286)· τὰ αὐτά

σέλαιναι· λαμπάδες

σελάοντες (Nic. Th. 691)· λάμποντες

σέλας· φῶς, αὐγή. πῦρ, φλόξ, φέγγος τοῦ πυρός, λαμπρότης. ἡ καθέδρα(ς) (Lacon.)

?σελάσει ⟨—αγεῖ⟩· φλέγει, λαμπαδίζει

Σελ(.)ασία· Ἄρτεμις

Σελ(.)ασία (Xen. Hell. II 2, 13)· τόπος τῆς Λακωνικῆς, ὅθεν εἰκὸς κληθῆναι τὴν Ἄρτεμιν

σέλας πυρός (Δ 559)· ἡ λαμπρότης τοῦ πυρός, περιφραστικῶς· ἔνθεν καὶ σελήνη, παρὰ τὴν λαμπρότητα τὴν περὶ αὐτὴν γινομένην τοῦ ἡλίου·

εἵατο πεντήκοντα (σέλα) πυρὸς αἰθομένοιο

σελασφόρος (Aesch. Eum. 1022)· λαμπαφόρος ⟨λαμπαδο—⟩

†σελάτης· κοχλίας

σελάχιον (Aristot. HA. III 1)· κόμμα ἰχθύος. ἢ τὰ σελάχια λεγόμενα. τινὲς δέ φασι· σελάχη λέγεται, ὅσα ἄποδα ζωοτοκεῖ. Σέλαχος δὲ λέγεται τὸ ἐκ τοῦ σελαχίου φαγεῖν

σελάχη· εἴδη θαλασσίων θηρίων

σελαχίας· εἶδος ἰχθύων (οὐ) μεγάλων

σελευκίς· εἶδος ἐκπώματος, ἀπὸ τοῦ βασιλέως κληθέν. καὶ ὑπόδημα γυναικεῖον. καὶ ὄρνεον ἀκριδοφάγον

σελήνας (Eur. fr. 352)· πόπανα, τῷ ἄστρῳ ὅμοια πέμματα

σεληνίς· φυλακτήριον, ὅπερ (δέρης) ἐκκρέμαται τοῖς παιδίοις [81]

σελίαρ· φοίνιξ

σελίδες· τὰ μεταξὺ διαφράγματα τῶν διαστημάτων τῆς νεώς. καθάπερ καὶ ἐν τοῖς βιβλίοις, τὰ μεταξὺ τῶν παραγραφῶν

σέλινον· τὸ γυναικεῖον

σελινουσία· κράμβης εἶδος

σελίνου στέφανος· πένθει προσήκων. διὰ τοῦτο καὶ ἐν τῷ Ἰσθμικῷ ἀγῶνι στεφάνῳ ἐχρήσαντο αὐτῷ (Duris)

σελίς· πτυχίον, (ἢ) καταβατὸν βιβλίου

Σελλάδαι· γένος ἰθαγενῶν (ἔνδοξον)

†σελληγορεῖ· εὐχερείας ἀναφώνημα

Σελλήεις (Β 659)· ποταμὸς Θεσπρωτίας, ἀφ᾽ οὗ καὶ τὸ ἔθνος Σελλοί, καὶ ἄλλο(ς) τῆς Τρῳάδος. οἱ δὲ ἀναγινώσκοντες κατὰ συναλοιφὴν

ἀμφὶ δέ σ᾽ Ἑλλοί (Π 234)

οὐχ ὑγιῶς ἀκούουσι τὸ ἔθνος

Σελληϊάδεω (Archil. fr. 102)· Σελλέως υἱός ὁ μάντις, Βατουσιάδης τὸ ὄνομα

σελλίζεσθαι· ψελλίζεσθαι. τινὲς δὲ σελλίζει· ἀλαζονεύει

σέλματα (Archil. fr. 5, 1)· τὰ ζυγὰ τῆς νεώς· ἢ τὰ ἀπὸ τοῦ ζυγοῦ εἰς τὸν ζυγὸν διαστήματα. ἢ αἱ καθέδραι τῶν ἐρετῶν, καὶ συναρμογαὶ τῶν σανίδων [94]

σελμίς· ὁρμιὰ τριχίνη. καὶ τὰ ἴκρια

COD. 42 |ῆναι 57 cf. τιναχτοπήληξ 61 σεκούανα 68 cf. κασέλα 72 σέλας φῶς πυρὸς ἢ — εἰάτου 75 εἰσὶν ὡς τοκεῖ 79 ὅμοιον, ἀπέμματα 80 |ᾶται 84 γύναιξ 86 προσήκειν Post 87 ἢ ἔνδοξον 90 σελληΐς — ἀμφίοις σελλοί 91 σεληϊδέω, σελέως 92 ψιλ|

HES. 47 σειροί ἐπαύλεις 48 σειρῆνες· οἱ μὲν ἔξω γυναῖκάς φασι μελῳδούσας, ὁ δὲ Ἀκύλας (Iesai. XIII 21) στρουθοκάμηλον 49 σειρομάστης (Iudic. V 8)· εἶδος ἀκοντίου ⟨425⟩ 50 σειρομαστῶν (Iudic. V 8)· δορυφόρων. καὶ εἶδος λόγχης 54 σείσατο (Θ 199)· ἐσείσθη 63 σέκρετον· συνέδριον 81 Σελαπιάδαο (Β 693)· Σεληπίου υἱοῦ 94 σέλμενοι (Μ 38)· γενόμενοι (ἐελμένοι· στενόμενοι)

σελμῶν· σανίδων [ad 96] [97]

σέλπιδες· σχεδίαι

σέλπον· σίλφιον

Σελχροί· Πέρσαι

σεμαλία· ῥάκ[κ]η. Ἀργεῖοι

σεμέλη· τράπεζα. παρὰ δὲ Φρυνίχῳ (trag. fr. 21) ἑορτή

σεμελοι†ρίδαι· οἱ ἄνευ κελύφους· οὓς ἔνιοι λίφακας ⟨ψίλ—⟩

σέμελος· κοχλίας

σεμίαρ· χιτών. ἡ πλὰξ ἀντὶ στέγης ἐπικείμενος, ὡς Λάκωνες

Σεμίραμις (Theocr. XVI 100)· περιστερὰ ὄρειος Ἑλληνιστί

σεμνὰ τῆς σῆς παρθένου μυστήρια· Σοφοκλῆς τὰ ἄρρητα, καὶ ἀνεξήγητα μυστήρια

σεμναὶ θεαί (Thuc. I 126, 7)· τὰς Εὐμενίδας οὕτως ἔλεγον, καὶ Ἐρινύας ἐπὶ εὐφημισμῷ

σεμνή· τιμία. σώφρων [410]

σεμνολόγημα· ......

σεμνόν· κατάστυγνον, καὶ ἥσυχον. δηλοῖ δὲ καὶ ἔνδοξον, καὶ θαυμαστόν, καὶ ἄξιον ἐντροπῆς, καὶ μέγα ⟨506⟩, καὶ ἕξιν ἔχον

σεμνύνεσθαι (Eur. fr. 916)· κομπάζεσθαι, μέγα φρονεῖν. λαμπρύνεσθαι

σεμνυνόμενος (Ar. Ran. 1020)· κομπάζων, μέγα φρονῶν. λαμπρυνόμενος

σέμπαλα· ὑποδήματα ⟨138⟩ [15a]

σεπτά· θαυμαστά, σεβάσμια

σεπτεύειν· σέβειν

σεπτευομένης· εὐχομένης, σεβομένης [19]

σεπτόν (Aesch. Prom. 813)· ἔντιμον, ἅγιον, σεβάσμιον, σεβαστόν

σεπυΐς· πυξίς ⟨321⟩

σεργοί· ἔλαφοι

†σερήτιον· ἡ σερίς [24. 25]

σερίδες· σειραί ⟨344⟩

†σερίζω· στηρίζω. στηρίζομαι ⟨ἐρίδω⟩

Σέριφος· Ἀριστοφάνης (fr. CCXLVIII) τὴν Λακεδαίμονα Σέριφον. ἔστι δὲ καὶ πόα σέριφος λεγομένη

σέρκος· ἀλεκτρυών. καὶ ἀλεκτορίδες σέλκες

σερμοί (Laced.)· θερμοί ⟨222⟩

σερός· †χθές. Ἠλεῖοι

σέρτης· γέρανος. Πολυρρήνιοι ⟨2779⟩

σέρφοι (Ar. Avv. 82)· οἱ πτερωτοὶ μύρμηκες

†σές· ἔλαθες. Πάφιοι

σέσακται· ἔσταλται. καθὸ καὶ ἡμεῖς τὴν στολὴν σάγην λέγομεν

σεσαλαγμένον [ad 36]

σεσάχθαι· ἐσκευάσθαι, καθοπλίζεσθαι. Σάγη γὰρ ἡ καθόπλισις

σεσέλλισαι (Phrynich. com. p. 584)· ...... ἀλαζονεύεσθαι καὶ σκώπτειν, ἀπὸ Αἰσχίνου τοῦ Σελλοῦ ⟨324⟩

σέσελι (Theophr. IX 15, 5 Alexis)· πόα τις

σεσήκασμαι· †πεπλάνημαι

σέσηλοι (Epicharm.)· κοχλίαι. Λάκωνες

σεσημασμένον (Dem. 999, 16)· ἐσφραγισμένον [43]

σεσηπυῖα· διερρωγυῖα

σέσηρε· γελᾷ δολίως. ψύχει τοὺς ὀδόντας ⟨γελῶσα⟩

σεσηρέναι· γελᾶν προσποιητῶς

σεσηρυῖαι· γελῶσαι κατὰ θυμοῦ, ἢ ἐν ὑποκρίσει, ἢ προσποιητῶς

σεσηρώς· κεχηνώς. διηνοιγμένον, ἀνοικτὸν ἔχων στόμα

σεσιμωμένος (Aristot. p. an. IV 2)· ......

σεσοβημένος· τεθορυβημένος, ἄτακτος τῇ κινήσει, τεταραγμένος

σέσοφ· ποιὸς ἰχθῦς

σεσύανται· ὡρμήκασιν

σέσυφος· πανοῦργος [54]

σεσωσμένος· γυναικὶ συγγεγονώς

?σεπτηρία· καθαρμός. ἐκθυσις [57. 58]

σεῦαι· (ἀ)πελάσαι. ἐλάσαι. διῶξαι. ἢ ὁρμὴν ἐμβαλεῖν [60]

σεύας· παρορμήσας. διώξας·
σεύας ἐκ πεδίοιο (Ο 681) [62]

COD. 403 κελίφους 8 ἐριννύας 15 σέμπαδα 17 σεύειν 18 ἐγχομένης 21 σεπτυῒς 33 σερφοί 38 σεσελίσθαι (ως) 39 σεσέλη 41 σισῆλοι 44 διαρρηγυῖα 45 γελῶσα post 46 48 |ός bis 61 σευάσας

HES. Ad 96 ἀνταπόδοσις (LXVII [VIII] 15) 97 Σελοί· ἔθνος ἐν Δωδώνῃ. ἢ πτωχοί 410 σεμνεῖον (Philo II p. 475, 15)· οἶκος ἱερός 15a Σέξ[ε]στος· ὄνομα κύριον 19 σεπτοί (Ι 493)· μεταβαλλόμενοι ⟨στρεπτοί⟩ 24 σερί· ζωστήρ 25 σειρομάστης (Iudic. V 8)· εἶδος (ἀ)κονταρίου ⟨349⟩ Ad 36 σεσαγμένον, διατεταγμένον 43 σεσηνομένον ⟨σεσιλλω—⟩· διασεσυρ†ημένον 54 σεσωρευμένα (II Tim. III 6)· βεβαρημένα 57 σεῦ (Β 27)· σοῦ 58 σεῦα (Υ 189)· ἐδίωξα 60 σευάμενος (Χ 22)· ὁρμήσας, καὶ τὰ ὅμοια 62 σεῦε (Ζ 133)· δίωκε

σεύει· διώκει [64]

σεύεσθαι· ὁρμᾶσθαι, διώκειν [66]

σευομένη· πορευομένη, ὁρμῶσα [68]

σεχές· τοῦ Ἑρμοῦ ἀστήρ. Βαβυλώνιοι

σέψασθαι· σεφθῆναι. θαυμάσαι

σέων (Hermipp. Ar. Lys. 731)· σητῶν

σῆ (Lacon.)· τρέχε

σηγᾶ (Lacon.?)· σιωπᾶ

σηδόν· γλαυκὸν ἔλαιον ⟨1808⟩

†σηδρακεῖ· κτυπεῖ

σῆκα· οὕτως ἐπιφθέγγονται οἱ ποιμένες εἰς τὸ συγκλεῖσαι τὰ ποίμνια [77]

†σηκανατὰ καὶ χλουρὰ ῥαβδία [79]

σηκίς (Ar. Vesp. 768)· οἰκογενὴς δοῦλος, ἡ δούλη. οἷον ἐκ τοῦ σηκοῦ ⟨47⟩

σηκοί (ι 219)· αἱ μάνδραι, αἱ ἐπαύλεις. ἀπὸ τοῦ τὰ εἰσαγόμενα σῶα μένειν

σηκοῖς· ὁμοίως

σηκολόαι· λῃσταί

σηκοκόρος (ρ 224)· ὁ τὴν ἐπιμέλειαν τῶν σηκῶν ποιούμενος, ..... ὅθεν καὶ νεωκόρος [ad 84]

σηκός (Simonid. 4, 6)· οἶκος. τάφος. ναός. μάνδρα. ἐνδότερος τόπος τοῦ ἱεροῦ

σηκύλλαι· αἱ ταμίαι παιδίσκαι

σηκῷ· οἴκῳ, ἐν ᾧ ἔφηβοι γυμνάζονται. ἢ βαθεῖ τόπῳ

σηκωτήρ· ὁ ἀναφορεὺς τοῦ ζυγοῦ [89. 90]

σήλια· τὰ μικρὰ πιθάρια. καὶ σκεῦος ἀρτοποιητικόν ⟨σηλία⟩

σῆμα· τάφος. μνῆμα. ἢ ναοῦ εἶδος [ad 92]

σημαία· σημεῖον [ad 93] [94]

σημαίνειν· [ad 95] δεικνύειν. δικάζειν. βουλεύεσθαι. σαλπίζειν

σημάντορες (τ 314)· ἐπιτάκτορες, βασιλεῖς, ἡγεμόνες· ἀπὸ τοῦ σημαίνειν, ὅ ἐστι προστάσσειν. ἡνίοχοι. ἐπιστάται

σήμαντρα (Eur. IT. 1372)· σφραγῖδες

σημασία· φανέρωσις (διὰ σάλπιγγος)

σήματα· τέρατα, σημεῖα. Ἀττικοὶ δὲ μνήματα (Dem. 1071, 7)

†σηματίζονται πέδον (Trag. inc. fr. 206)· ὅσοι σημειοῦνται, ὅσοι Τρῶες λέγονται εἶναι

Σημαχίδαι· δῆμος τῆς Ἀντιοχίδος φυλῆς

σημεῖον· τέρας. ἢ σφραγίς (Ar. Eqq. 952)

σήμερον· αὐτίκα, ταχύ [504]

σημήνασθαι (Dem. 904, 5)· σφραγίσασθαι [6. 7]

†σῆνα· θυσία. Λάκωνες

σήνασα· προσγελάσασα, προσπαίξασα [10]

σηνίκη· ἄτροχος ἅμαξα. καὶ τὸ τετράπουν ζῷον, σαύρᾳ παραπλήσιον. καὶ ζῷον πολύπουν, ὅμοιον τοῖς κατοικιδίοις ὄνοις

σηπεδών (Plat. Phaed. 96 B)· σῆψις [13]

σῆπες (Nic. Th. 817)· ζῷα ἑρπετά, ὄφεις

σηπετοῦ· σηπεδόνος [16]

σηποιαλίς· εἶδος ἀμπέλου

†σηρά· σκύλα. ἢ δεσμὸς πλεκτός ⟨σειρά Cret.⟩

σήραγγες (Plat. Phaed. 110 B)· κοιλώδεις τόποι. ἢ κισηρώδεις. ἢ πόροι γῆς λεπ(τ)οφόροι. ἢ πέτραι (Soph. fr. 503)

Σηράγγειον (Lysias)· βαλανεῖον

σήραγγος ἢ σήραγξ· ἐπιθυμία

σηράγγων· σπηλαίων. ἐπιθυμιῶν

σήραγξ· σπήλαιον, κοιλότης, ὕφαλος πέτρα ῥήγματα ἔχουσα

σήραμβος· εἶδος κανθάρου ⟨κ 2260⟩

Σῆρες· ζῷα νήθοντα μέταξαν. ἢ ὄνομα ἔθνους, ὅθεν ἔρχεται καὶ τὸ ὁλοσηρικόν

σηρίον (Lacon.)· θηρίον

σηρῶν· σκωλήκων τῶν γεννώντων τὰ σηρικά· σῆρες γὰρ οἱ σκώληκες

σής· σκώληξ ὁ ἐν τοῖς μελισσ(ε)ίοις γινόμενος καὶ ὑφάσμασι

σησάμη (Hippocr. 555, 7)· σησαμίς. καὶ πλακοῦς ἐκ σησάμης

σησαμίτης· ἄρτου εἶδος

σησαμοειδής· ἐν Ἀντικύρᾳ πόα ἐοικυῖα ἠριγέροντι (Hippocr. II p. 97 K)

σησαμόεσσα· ἐκ σησάμης κατεσκευασμένη μάζα

COD. 71 σήτων 72 τρέχει 73 σιγᾶ 86 σηκίλλαι 503 ἀντιμία 19 κεισωρίδες 20 |γιον 31 ἐνακύραι — ῥιγέροντι

HES. 64 σεῦ· σεῖο, σοῦ 66 σεύοντο· ἐπορεύοντο 68 σεύονται (Λ 415)· ἀποδιώκουσιν 77 Σηκάνη (ω 306)· πόλις Σικελίας ⟨609⟩ 79 σήκασθεν (Θ 131)· σηκάσθησαν, συνεκλείσθησαν Ad 84 Κορεῖν γὰρ τὸ σαίρειν καὶ σηκοί οἱ ναοὶ καὶ αἱ μάνδραι· τὸ δὲ κορεῖν ἀπὸ τοῦ καλλύνειν τὸ ἔδαφος· κόρη γὰρ καὶ κόρος εἰσὶ τὸ καθαρὸν καὶ καλόν, ἀφ' οὗ καὶ τὰ ἐν τοῖς ὀφθαλμοῖς διαυγῆ κόραι λέγονται. καὶ ὁ τὰς μάνδρας κοσμῶν καὶ καλλύνων σηκοκόρος, καὶ μυληκόρον τὸ τὸν μύλον κοροῦν 89 σήλατο (Μ 438)· ἔσεισεν, ἐτίναξεν, κατέβαλεν, ἔρρηξε 90 σήλεκτος· χαμοδικαστής Ad 92 [σημαία, σημεῖον] Ad 93 σίγνον 94 σήμαινε (Α 296)· πρόστασσε Ad 95 προστάττειν (Ξ 85), ἄρχειν (Α 289) 504 σημαιναῖον· σημαίνει 6 σῆμνον· μέγα ⟨412⟩ 7 σημόκοινος (Χ 30)· ἡ ἀνατολή 10 σηνιατήριον· τὸ κόσκινον ⟨691⟩ 13 σηνοῦροι (non est Boeot.)· ταῖς οὐραῖς σαίνοντες ⟨176⟩ 16 †σηπόων· τὸ ὁρμὴν ἐλάμβανον

σησαμόεντ' ἄρτον (Com. IV p. 561)· οὗτος ἔκειτο ἆθλον τοῖς διαγρυπνήσασι, πυραμοῦς καὶ σησάμινος καὶ τοιαῦτά τινα [34]

σησαμοῦς· πέμμα ἐκ μέλιτος καὶ σησάμης [36—38]

σῆστρα· κόσκινα. ἢ κύμβαλα ⟨σεῖστρα (Cret.)⟩

σητάνιοι· καθαροὶ πυροὶ οὕτω καλοῦνται

σητείους· νέους [42]

σητοδόκιδες· ψυχαί, ἢ πτηνὰ ζῷα

σθεναρά· ἰσχυρά [ζῷα]

σθεναρόν· ἰσχυρόν, ὑγιῆ, ἀστεῖῃ ἐρρωμένον, δυνατόν

σθένει (Aesch. Eum. 609)· δύναται

σθένεια· ἀγών τις ἐν Ἄργει οὕτω προσηγόρευτο

σθενής· ἰσχυρός, καρτερός

σθένος· δύναμις, βία, ἰσχύς

σθενώσει· ἐνισχύσει, δυναμώσει

σιάδες· θυσία, παρὰ Λάκωσιν ⟨σεῖα δαῖς⟩

σιαί· πτύσαι. Πάφιοι

σιαλενδρίς (Ar. HA. VIII 3 p. 593, 7)· ποιὸς ὄρνις παρὰ Καλλιμάχῳ

σιαλίδων διαλόγων ⟨562⟩

σιαλίζειν· ὅπερ ἴσον τῷ κατασπᾶν ἑτέρου ἐσθίοντος, ἢ καὶ περὶ δείπνων διαλεγομένου καταπίνειν τὸν σίαλον

σιαλίς· βλέννος. Ἀχαιοί

σίαλοι (Ι 208)· εὐτραφεῖς, λιπαροί

σιαλοπάλλαγος· ὁ παράληρος, καὶ ἀνόητος

σιαλόρ· †θαλίς. Λάκωνες

σίαλος· σίελος. ἀφρός, πτύελος

σιαλοῦται· τρέφεται

σιαλόχους (Hippocr. 1017 D)· τοὺς προσραίνοντας σίαλον ἐν τῷ προσδιαλέγεσθαι ⟨554⟩

σιάλωμα (Polyb. VI 23, 4)· μέρος τι τοῦ ὅπλου τοῦ καλουμένου θυρεοῦ

σιαλῶσαι· ποικῖλαι.

σιαόρ· θίασος. Λάκωνες

σιβαία· ἡ σίββα. πήρα ⟨κίββα⟩

σίβδαι· ῥοιαί ⟨633⟩

σιβδία· σιδία ⟨635⟩

σίβληθρα· πόπανα τὰ περικεκνισμένα

σί βόλε· τί θέλεις. Κύπριοι

σιβυλλιᾶ (Ar. Eqq. 61) [ad 71]

σιβύνη· ὅπλον δόρατι παραπλήσιον

σιγάζοντος· Ξενοφῶν ἐν ἀναβάσει (VI 1, 92) ἐπὶ τοῦ σιγᾶν λιπαροῦντα

σιγαλόεν· ποικίλον τῇ γραφῇ, λαμπρόν. Σιγάλωμα γὰρ οἱ σκυτεῖς λέγουσιν, ἐν ᾧ τὰ δέρματα δασύνουσι

σιγαλόεντα (Ε 226 al.)· λαμπρά, ποικίλα, καὶ τὰ ὅμοια

σιγαλοί· οἱ ἄφωνοι. καὶ οἱ ἄγριοι τέττιγες

σιγαλώματα· τὰ περιαπτόμενα ταῖς ὠαις

σίγε· θίγγανε. Λάκωνες

σιγέρπης (Callim. ep. XLVI 6)· λαθροδάκτης

σιγηλός (Eur. Phoen. 741)· ἄφωνος

σιγημονᾶς· σιγᾷς

σιγηρῶς· σιγηλῶς, ἡσύχως

σίγκηρες· ὑπηρέται βάρβαροι

σίγλαι· ἐνώτια ⟨620⟩

σίγλον· νόμισμα Περσικὸν δυνάμενον ὀκτὼ ὀβολοὺς Ἀττικούς. καὶ εἶδος ἐνωτίων. Ξενοφῶν ἐν ἕκτῃ ἀναβάσεως (I 5, 6) λέγει. δύναται δὲ ὁ σίγλος δύο δραχμὰς Ἀττικάς

σιγλοφόρων στάσις εὐνούχων (Choerili?)· τὰς κατακλεῖδας τῶν ἐνωτίων σίγλας φασίν. οἱ δὲ αὐτὰ τὰ ἐνώτια. ἔστι δὲ καὶ νόμισμα Σαρδιανικόν, δυνάμενον ὀκτὼ ὀβολοὺς Ἀττικούς

σίγραι· τῶν ἀγρίων συῶν οἱ βραχεῖς καὶ σιμοί

σίγυνοι (Cyprii ap. Aristot. poet. 21)· τὰ ξυστὰ δόρατα, ἢ τοὺς ὁλοσιδήρους ἄκοντας

Σιγώρ· πόλις μικρὰ τῆς Παλαιστίνης

σίδαι (Boeoti)· ῥοιαί

†σίδαιον· ἑτεροκλινές

σιδάρεοι θεοί· παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις (v. 248)·

σιδαρέοισιν ὥσπερ ἐν Βυζαντίῳ

ἐπεὶ οἱ ἐν τῷ Βυζαντίῳ λεπτῷ νομισματίῳ σιδηρῷ καὶ ἐλαχίστῳ ἐχρῶντο

σιδάριος (Theocr. XXIX 24)· χαλκοῦς

COD. 47 σθενία (Plutarch. 1140 C) 52 σίαι, πτῆσαι 55 ἴσον τὸ ⟨60 σιαλος Poll. II 103⟩ 63 θηραιοῦ 65 σίαρ 69 cf. βλῆθα 70 σίβολε 71 σικυλλιᾶν 74 σκύθαι 76 |λφοί 78 σίγη 85 ἀττικῶς — ἀττικῶν ⟨ἐν τῇ ᾱ?⟩ 86 σαρδονικόν — ὀκτοβολῶν ἀττικῶν 87 σημοί (cf. σίκα) 91 |κρινές cf. ἄδιον. ψάδιον 92 σιδαρέος, π. Ἀ. ἐ. Ν. σιδαρέοι θεός ὡς ἐν Β. ἔτι εἰσὶ Βηζάντιοι ἐν τῷ λ. νομίσματι ᾧ σ. κ. ἐ. ἐχ. 93 χαλκεύς

HES. 34 Σήσαμος (Β 853)· πόλις Παφλαγονίας (Eustath. 362, 8) 36 σῆσιν (Α 297)· ταῖς σαῖς 37 σῇσιν ἔχε φρεσίν (Β 33)· ἐν ταῖς σαῖς φύλασσε διανοίαις, καὶ μετὰ ⟨διὰ⟩ ψυχῆς ἔχε καὶ διαμνημόνευε 38 Σηστός (Β 826)· πόλις Εὐρώπης 42 σητόβρωτα (Iacob. V 2)· ὑπὸ σκώληκος βεβρωμένα Ad 71 [ν· τὸ τοὺς κροσσοὺς ἀποσείεσθαι ⟨σιλλυβιᾶν⟩

σίδη· Θεόφραστος (IV 11) φυτὸν ἕτερον τῆς ῥοιᾶς φησιν εἶναι τὴν σίδην, φύεσθαι δὲ ἐν τῷ Νείλῳ [95]

σιδηρῖτιν τέχνην (Eupol. fr. XIII p. 531)· τὴν πολεμικήν. ἄλλοι δὲ τὴν Ξανθίου φασίν, ἤγουν τὴν χαλκευτικήν

σιδηρῖτιν· πόαν τὴν ἑλξίνην καλουμένην. ἔστι δὲ καὶ λίθος, ἀφ' οὗ οἱ μεταλλεῖς γίγνεσθαι τὸν σίδηρον .....

σίδια· τὰ τῶν ῥοιῶν λέπυρα· σίδαι γὰρ αἱ ῥοιαί. τίθεται δὲ καὶ ἐπὶ πάντων χλωρῶν

σιδίῳ· κόκκῳ ῥοᾶς ⟨1855⟩ [600]

Σιδουντιάς· κώμη τῆς Κορινθίας

†σίδριμνον· εὔζωνον

σίζε (ι 394)· ἤχει. κατὰ μίμησιν ἤχου

σίζει· ῥεῖ. περιρρεῖ, τινές. ἄμεινον δὲ ἐπὶ τοῦ σίζειν ὀφθαλμόν

σιζεύς· ἄγναφος ⟨624⟩

σιηγόνες (Hippocr. 219 C)· γνάθοι

Σιθωνίη (Herod. VII 122)· ἡ Θεσσαλία cf. 331

σίκα· ὗς. Λάκωνες ⟨587⟩

Σικανία· Σικελία πρότερον

Σικανίη (ω 306)· χωρίον Σικελίας ⟨477⟩

Σικανοί· χοροί τινες

Σικελία· χώρα Θρᾴκης (Cyrill.)

σικελίζειν (Epicharm.)· †ἀτηρεύεσθαι. οἱ δὲ πονηρεύεσθαι

Σικελὸς στρατιώτης· παροιμιῶδες [ad 13]

†σίκεον· ὡς Ἴστρος [15—17]

σίκιννις (Eur. Cycl. 37)· ὄρχησίς τις †στρατιωτικὴ Σατύρων σύντονος, ἀπὸ τοῦ σείεσθαι καὶ κινεῖσθαι. Ἦν δὲ καὶ ἐμμέλεια τραγικὴ καὶ κωμικὴ κόρδαξ

†σίκκα· κούφη

σίκλαι· ἐνώτια ⟨584⟩

σικλός· †βάρβαρος σικός

σικύ(α)· εἶδος κολοκύντης (Euthydem.). καὶ σκεῦος ἰατρικόν (Eubul.)

σικυὸς σπερματίας (Cratin.)· ὃν ἡμεῖς μηλοπέπονα

σικύς· ὁ γναφεύς ⟨605⟩ [25]

σικυωνία (Megalopolitae)· κολοκύντη

σικυώνια· ὑποδήματα γυναικεῖα. καὶ φέλια

σίκχαι· κράσπεδα

σικχαζόμενος· σκωπτόμενος

σικχός· ὁ μικρόσιτος. ἢ ὁ ἀηδής

†σιλαίνει· σκώπτει, ὑβρίζει ⟨σιλλ—?⟩

σιλαπορδῆσαι (Sophro)· ἁβρύνεσθαι, θρύπτεσθαι, χλιδᾶν ⟨641⟩

σίλβαι· ῥοιαί ⟨567⟩

σίλβη· εἶδος πέμματος (ἐκ) κριθῆς, σησάμης καὶ μήκωνος

σιλβία· σιδία ⟨568⟩ [36]

†σίλγης· κολυμβητής

†σιλήνει· μυλ(λ)ίζει, σκώπτει, †σιωπᾷ

Σιληνοί (Eupol.)· Σάτυροι

Σιληνίαι (Aesch. Pers. 303)· τῆς Σαλαμῖνος, πλησίον τοῦ λεγομένου Τροπαίου

σιληπορδεῖν· σιληπορδῆσαι. στρηνιᾶν, ἁβρύνεσθαι, θρύπτεσθαι, χλιδᾶν ⟨632⟩

σιλλαίνειν· σιλλοῦν. τὸ διασύρειν, καὶ μωκᾶσθαι. ἀπὸ τοῦ τοῖς ἴλλοις, τουτέστι τοῖς ὀφθαλμοῖς, σίνεσθαι [43]

σίλλοι· ἔμμετρον σκῶμμα

σιλλοί· τρίχωμα †ἢ λεῖον

σιλλοῖ· ἀναξαίνει. λυπεῖ

σιλλοῖ· μωκᾶται, ψέγει, κακολογεῖ

σιλλόν· λευκαίας σχοινίον

σιλλός· ἀναφάλαντος. μῶμος, κακολογία, καὶ χλευασμός

σίλλυβα· κροσσοί οἱ δὲ τὰ ἀνθέμια. καὶ κοροκόσμια. (καὶ τῶν βιβλίων τὰ δερμάτια)

(σιλλυβιᾶν· τὸ τοὺς κροσσοὺς ἀποσείεσθαι) cf. 571

σίλλυβον· ἀκανθά(ρ)ιον ἁδρὸν καὶ ἐδώδιμόν τι [52. 53]

σίλφιον (Aristoph.)· ξηρόν. οἱ δὲ νεκρόν

σιλφίου λειμών· Σοφοκλῆς (fr. 734) περὶ γῆς ἐν Λιβύῃ τὸ σίλφιον φερούσης. οἱ δὲ εἶδός τι τῆς Λιβύης τὸ σίλφιον

COD. 96 σιδηριτὸν 98 λεπτὰ (forte λέπη) ⟨602 εὔζωμον, eruca? 5 Ducang. σιαστής⟩ 6 σιντόνες 13 διορθουμένων — μηδεοὶ ἀποδιδόντων 18 ἐν μελείᾳ 23 μηλοπέπονον 26 σικυωνέα 30 μικρὸς σῖτος ⟨33 σίβδαι an σίμβαι? Cf. ξίμβαι et ῥίμβαι 38 σιλήνι Boeot.?⟩ 41 σιδηροπορδῆσαι 44 σίλλας — σκάμμα 45 σιλλέα 46 σιλλεῖ 49 ἀναφαλλαντός 50 σίλλυμα καὶ — τῶ δέρματα] post 651

HES. 95 σιδήρ(ε)ιος δ' ὀρυμαγδός (P 424)· ὁ ἀπὸ τοῦ σιδήρου καὶ τῶν ὅπλων ψόφος 600 Σιδόνιοι (δ 84)· Φοίνικες καὶ οἱ τὴν ἐρυθρὰν οἰκοῦντες θάλασσαν Ad 13 ἐπεὶ ξένοις ἐχρῶντο στρατιώταις ὡς ἐπιπολὺ οἱ περὶ Ἱέρωνα τὸν τύραννον. ὡς διωθουμένων αὐτῶν τὸν μισθόν, μηδενὸς ἀποδιδόντος 15 σίκερα (Luc. I 15)· οἶνος συμμιγεὶς ἡδύσμασιν, ἢ πᾶν πόμα ἐμποιοῦν μέθην, μὴ ἐξ ἀμπέλου δέ, σκευαστόν, σύνθετον 16 σικύνδαροι· τὰ προσκυνήματα ⟨1012⟩ 17 Σίκημα (Ps. LIX 6)· ἡ νέα πόλις, ἡ ἀναβαίνουσα, ἤγουν ἡ ἐξ ἐθνῶν ἐκκλησία 25 Σικυών (B 572)· πόλις ..... 36 Σιλγῖνοι· οἱ Σάτυροι 43 σίκλος· τετράδραχμον Ἀττικόν 52 σίλμη· Πλάτωνος (Civ. I p. 333 A) 53 σιλός ⟨σμῖλος⟩· ἡ πρῖνος. οἱ δὲ τὸν σωρόν ⟨τὸν νωθρόν ad μιλλός⟩

σίμαι· τῆς κιθάρας τὰ ἄκρα. καὶ ἐν ταῖς δροφαῖς θέσεις τινές

Σιμαίθα (Ar. Ach. 524)· ἑταίρας Μεγαρικῆς ὄνομα

σίμβλαι (Cyprii?)· ὅπου αἱ μέλισσαι τὸ μέλι τιθέασι, κύβεθρα

σιμβλ(η)ίδες· μέλισσαι

σίμβλοι (Hesiod. Th. 594)· τὰ σμήνη, τὰ ἀγγεῖα τὰ τῶν μελισσῶν, ἐν οἷς τὰ κηρία συνάγεται. Ἀττικοὶ καὶ τὸν θησαυρόν

σίμβλαι ⟨—ους⟩· τὰς θήκας τῶν μελισσῶν

σιμὴ χείρ· σχῆμα τραγικόν [63]

†σίμιον· αἰγιαλός [65. 66]

σιμοῖ νῶτα· ἀντὶ τοῦ μεταβάλλει ⟨ἀναβ—⟩ τὰ νῶτα. σιμά[ς] δὲ ἔλεγον τὰς μετεώρους ἀναβάσεις

σιμόν (Arist. fr. XXI p. 978)· τὸ πρόσαντες χωρίον [69—71]

Σιμωνίδης (Ar. Vesp. 1410)· υἱὸς Λεοπρεποῦς

σίμωρ· παρὰ Πάρθοις καλεῖταί τι μυὸς ἀγρίου εἶδος, οὗ τὰς δορὰς ⟨sic⟩ χρῶνται πρὸς χιτῶνας

†σίν· τὴν σεμνήν. β̅β̅ῶν

σινάμωρος· κακόσχολος

σινάπυξ· γογγυλίς

σιναρόν (Hippocr. 774 B)· τὸ κεκακωμένον καὶ βεβλαμμένον πονηρόν. †οἱ δὲ σίντις περὶ τὸ δρᾶν

σινάς· ἡ φθαρτική ⟨cf. ψινάς⟩

Σινδίς· ἡ Σκυθία. καὶ ἡ πόρνη ⟨Σινδική· Σκυθίς⟩

Σινδικὸν διάσφαγμα (Hipponact. fr. 65)· τὸ τῆς γυναικός

σίνδις· γέρων ⟨736⟩

Σίνδοι· ἔθνος †Ἰνδικόν. ἔστι δὲ πόλις ἐκεῖ Σινδικὸς λιμὴν λεγομένη

σινδοκύθορνοι· ὑπόδημα ποιόν

σινδοῦς· χιτῶνας, σινδόνας

σίνδρων (Hippon. fr. 49)· [ad 85] ἀπελευθέρους ἢ δούλους ......

σίνεσθαι· κακουργεῖν, βλάπτειν, ἢ βλάπτεσθαι

†σίνες. σίνις· κλέπτης, κακοῦργος, ληστής

σινέσκοντο (ζ 6)· ἔβλαπτον [89]

σινιᾶσαι· σεῖσαι, κοσκινεῦσαι. καὶ τὸ κόσκινον δὲ σινιατήριον ⟨510⟩ [91]

σινίον· κόσκινον

σινόδους (Ar. HA. VIII 2. 13 IX 2)· θὴρ ὁ σινόμενος τοῖς ὀδοῦσιν

σινόμενοι· βλαπτόμενοι

σίνος (Aesch. Ag. 389)· βλάβος [ad 95]

σινοῦται· βλάπτεται ⟨2686⟩

σίνται· [ad 97] κακοῦργοι

σίντην ἢ σίντης· [ad 98] κακοῦργος, βλαβερός

Σίντιες (Α 594)· Θρᾳκῶν τι γένος. οἱ δὲ τοὺς τὴν Λῆμνον οἰκοῦντας

σινωπίσαι (Alexid.)· τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην. ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ ἀσχημονεῖν

σιόαν (סידן)· οὕτω καλοῦσι Χαλδαῖοι τὸν Πάνημον μῆνα

σιοκόρος· νεωκόρος. θεοκόρος, θεραπευτὴς θεῶν

†σιομαλίδαι· †διαμάχαι. †καὶ τὸ πηδᾶν

σίον (Speusipp. Ath. 61 C)· λάχανον ἐμφερὲς σελίνῳ

σιόρ· θεός. Λάκωνες

σιπαλόν· ἀκάθαρτον. εἰδεχθέστατον

σιπαλή· ἐπάργεμος. βλοσυρά. δεινή. τουτέστι λεύκας ἐπὶ τῶν ὀφθαλμῶν ἔχουσα

σιπαλός (poet. EM. 714, 5)· χαλεπός. καὶ τὰ ὅμοια

σίπτα· σιώπα. Μεσάπιοι

σιπτῶναι· ἀπεικάσαι ⟨cf. θισπῶσαι⟩

σιπύη (Ar. Plut. 808 Soph. fr. 260)· σιπυὸν ἀγγεῖον. ἀρτοθήκη. φησὶ δὲ πευδρία(ν)

Σίπυλον· ὄρος Λυδίας καὶ Φρυγίας

†Σίρα· Πάρθοι μεγάλα. καὶ πλεκτὸν ἱμάντωμα ἐν ταῖς ναυσίν. οἱ δὲ τὰ ῥάκκη [14—16]

σίραιον· βραχέως (Antiph. Ath. 68 A) τὸ ἀπὸ τῆς σταφίδος ἕψημα. οἱ δὲ τὸ γλυκύ, καὶ ἡψημένον οἶνον

σι ῥάμφος· τὸ ⟨τί?⟩ ῥύγχος

COD. 72 θεοπρεποῦς 75 |ορος 77 σιντὶς; παρὰ ? ad CINΔPΩN 84 σινδούς ⟨87 σῖνες (Lacon.)· θῖνες?⟩ 90 |ᾶσαι 99 λίμνην 700 σινοπίσαι — σινώπιν — ἐπὶ τὸ 1 μήνω 4 cf. συρμίον 5 σίορ 7 ἐσπάργαιμος 11 σιδηροῦν 12 Conf. Σῆρα, ἱρά, σειρά, σπεῖρα 16 βραχέως post 715 σιραιόν 17 ῥύγγος

HES. 63 σιμικίνθια (Act. Ap. XIX 12)· φακιόλια, ζωνάρια, ὠράρια τῶν ἱερέων (semicinctia) 65 Σιμόεις (Ε 774)· ποταμὸς Τροίας 66 Σιμόεντι (Υ 53)· ποταμῷ Τρωάδος 69 σιμός· τυφλός (ΣΙ[Π]ΛΛΟΣ) 70 σιμοῦσι· μέμφονται 71 Σιλωάμ (Ioann. IX 7)· ἀπεσταλμένος Ad 85 πονηρῶν, βλαπτικῶν ⟨σιναρῶν⟩. οἱ δὲ 89 σίνεται (Ω 45)· βλάπτεται 91 σινιατήριον· κόσκινον ⟨510⟩ Ad 95 οἱ δὲ ἡμίονος ⟨γῖνος⟩ Ad 97 βλαπτικοί (Π 353) Ad 98 βλαπτικός (Υ 165) 14 σιραγγώδες (Hippocr. I p. 431 K)· σαθρόν 15 σιραιοῖς (Eur. Herc. f. 446) 16 σιροῖς ⟨724⟩

†Σιρβαίονον· βρέφος ἀπὸ ξένης ἐνηνεγμένον καὶ πεπρα[γ]μένον

σίρβηνον· πόπανόν τι, ὃ παρετίθετο τῇ Ἀφροδίτῃ

Σιρέων· τῶν Σῖριν οἰκησάντων, τὴν νῦν Ἡράκλειαν [21]

σιρία· ἀσφάλεια. Λάκωνες

σίρις· ἀπαίδευτος

σιροῖς (Dem. 100, 29)· ὀρύγμασιν, ἐν οἷς κατετίθεντο τὰ σπέρματα [25]

σιρός· [ad 26]. πίθος. δεσμωτήριον

σιρούς (Eur. fr. 824)· τοὺς †σιρεῖς. οἱ δὲ τάφρους ἐσκεπασμένους [28]

σισαμίς· τὸ παρὰ τοῖς ἰατροῖς λεγόμενον σέσελι

σίσανον· τὸν ὀξίνην οἶνον

σισάριον· κοσμάριον χρυσοῦν γυναικεῖον, ὡς ἀλυσείδιον [32]

σισίλαρος· πέρδιξ. Περγαῖοι [34]

σίσιλλος· νόσημα, καθάπερ σκωληκίασις. καὶ ζῶόν τι ⟨cf. σκίλλος⟩

σισίνδιος· γέρων ⟨681⟩ [37]

σισόη· κουρὰ ποιά. Φασηλῖται

†σισογάρδοσις ἀγορᾶς. σφήγξ [40]

σισύμβρια (Ar. Av. 160)· ἄνθη

σισύμβριον (Cratin.)· Δίδυμος ἀνθύλλιόν τι. Θεόφραστος (VI 1, 1) δὲ τὸ σισύμβριον γηράσκον μεταβάλλειν. οἱ δὲ αὐτὸ ἡδυόσμου πλατυφυλλότερον [43]

σισύρα (Ar. Ran. 1459)· τὸ παχὺ ἱμάτιον ἀπὸ αἰγείων δερμάτων

σίσυρνον (Aesch. fr. 104, 26)· τὴν σισύρνην οἱ κατὰ Λιβύην τὸ ἐκ τῶν κωδίων ῥαπτόμενον ἀμπεχόνιον καλοῦσι. τὸ αὐτὸ καὶ σισύραι

σισυρνώδη στολήν (Soph. fr. 376)· τὸν ἐκ τῆς σισύρνης στολισμόν. διαφέρει δὲ καὶ σίσυρνα σισύρας. Σίσυρνα μὲν γὰρ χιτῶνος εἶδος, σισύρα δὲ διφθέρα, εἰς ἀμπεχόνην καὶ στρωμνὴν ἐπιτηδείως ἔχουσα, καθάπερ τὰ κώδια καὶ αἱ μηλωταί

σίσυρνος· οὕτω καλεῖταί τις τῶν ἰατρικῶν ἐπιδέσμων

σίσυρος· ῥάμματος εἶδος

σίσυς· καὶ αὐτὴ βαίτη. οἱ δὲ εἶδός τι χλαίνης εὐτελές. ἄλλοι χιτῶνα αἴγειον χειριδωτόν

Σισυφ(ε)ίοις· Κορινθίοις, κακοῖς (Eur. Med. 404?)· ἀπὸ Σισύφου βασιλέως

Σίσυφος· ἀπατητικός, ὅτε ἐπὶ τῶν μεγάλα ἐχόντων ..... Σισύφου· ἀπατητικοῦ

σῖτα (Soph. fr. 594)· ἄρτοι, βρώματα, τροφαί

σιταρχία· τὸ εἰς ὀψώνιον διατεταγμένον δαπάνημα. ὁ δὲ τούτου ἐπιμελούμενος σίταρχος [54]

σιτηρέσιον (Dem. 48, 3 Xen. An. VI 2, 4)· ἐφόδιον

σιτήσας ⟨—ίσας⟩· θρέψας

σιτία (Ar. Eqq. 575)· δαπάνημα, βρῶμα ⟨σιτεία⟩. σιτηρέσιον

σιτίζειν· ψωμίζειν

σιτίζοντος· σῖτον παρέχοντος

σιτνίδες· θυσία τις Νύμφαις ἐπιτελουμένη [61]

σιτοδ(ε)ία (Thuc. IV 36)· λιμός, ἔνδεια σίτου

σιτοκάπηλοι· σιτοπῶλαι

σιτοκλονεῖσθαι· ὑπὸ δίψους ἐνοχλεῖσθαι. οἱ δὲ ὑπὸ δίψους †κλύεσθαι καὶ τὸ φαγεῖν

σιτόκουρος· ὁ ἄχρηστος (Menand.) καὶ μάτην τρεφόμενος

σιτομνημονεῖν· ἀντὶ τοῦ τὰ σῖτα μετρεῖν· παρόσον ἀπεγράφοντο οἱ λαμβάνοντες παρὰ τῶν δεσποτῶν τὰ τεταγμένα μέτρα

σιτοποιός (Herod. III 152 Thuc. II 78)· ἀρτοκόπος. ἡ πέπτρια

σῖτος· τροφή (ο 333)

σίτου καὶ κρειῶν ἠδ' οἴνου βεβρίθασι

καὶ τόκος. καὶ ὁ μισθός

σίτου ἐκβολή (Thuc. IV 1)· ἡ πρώτη ἔκφυσις τῆς χλόης

σιτούμενος (Ar. Eqq. 415)· ἐσθίων

σίττα (Theocr. IV 45)· ἐπιφώνημα αἰξίν

COD. 20 τὴν τῶν εἴρην 23 σειρ· πεπαιδευμένος Cyrill. Voss. 30 ὄξυνον 38 σισοκοῦρα, ῥοιά, φασηλεῖται 41 |βια 42 ἀποδυόσμου πλατὺ φυλλοροοῦν 46 |θης — στολή — σισύρνα bis — διφθέρα 47 σισύρνος 48 γράμματος 49 σισύς 51 ὅτι — ἀπὸ ἀττικοῦ σισύφου 54 cf. ἐσιτ— 63 |πῶλοι 65 ἡ 68 τρυφὴ — κρεῶν οἱ δ' οἶνοι

HES. 21 Σιρηναίων λόγους (Eur. Andr. 936· ἀπατεώνων 25 σιρομάστης· λόγχη, δόρυ, ῥομφαία ⟨349. 425. 728⟩ Ad 26 ἡμίονος ⟨695⟩ 28 σιρομάστης· σκεῦός τι σιδηροῦν, ὅπερ οἱ τελῶναι πρὸς ἔρευναν ἔχουσι, λαβὴν ξυλίνην ἔχον ⟨725⟩ 32 σίσαχθοι ⟨σεισάχθειαι⟩· χρεῶν ἀποκοπαί 34 σισίλαρος· πέρδιξ 37 σίσοιν (Greg. Naz. Carm. I p. 12 D)· κάρμα Γουθικόν 40 σισορβάκος· τράχουρος ὁ ἰχθῦς ⟨983. 1023⟩ 43 σίσυνον· δόρυ ⟨588⟩ 54 σιτέσκοντο (ω 208)· ἐσιτοῦντο, ἤσθιον, ἠρίστουν 61 σιτοβολῶνες (Genes. XLI 56)· ὅρια

σίττας· ὄρνις ποιός. ἔνιοι δὲ τὸν ψιττακὸν λέγουσιν

σίττη (Hipponact. fr. LXII)· ὄρνις ποιός. οἱ δὲ δρυοκολάπτης ⟨cf. ἴττα⟩

σίττον· οἱ μὲν γλαῦκα· ἢ κίσσαν· ἢ ἱέρακα

σιττύβαι· δερματῖναι στολαί. τὰ μικρὰ ἱμαντάρια

†σίφα· χωρία

σιφλόν· κακόν. ἐπίμωμον. πηρόν. αἰσχρόν. μωρόν. μωμητόν

σίφλος (Lyc. 1134)· μῶμος

σιφλῶσαι· ἀφανίσαι

σιφλοῦν· μωμᾶσθαι. αἰσχύνειν. πηροῦν. βλάπτειν

σιφλώσειεν (Ξ 242)· ἀφανίσειεν. μωμήσειεν

σίφνα· ποιὸς ἰχθῦς

σιφνιάζειν (Ar. fr. inc. CII)· καταδακτυλίζειν· διαβέβληνται γὰρ οἱ Σίφνιοι ὡς παιδικοῖς χρώμενοι· σιφνιάσαι οὖν τὸ σκιμαλίσαι

Σίφνιοι· ἀκάθαρτοι, ἀπὸ Σίφνου τῆς νήσου

σίφνον ⟨—ιν⟩· τὴν γῆν Ἀθηναῖοι (in hymnis), καὶ ἡ Δημητριακὴ σικύα

?Σίφνιος ἀρραβών· περὶ τῶν Σιφνίων ἄτοπα διεδίδοτο, ὡς τῷ δακτύλῳ σκιμαλιζόντων. δηλοῖ οὖν τὸν διὰ δακτυλίου διδόμενον, ἐπὶ τοῦ κακοσχόλου

σιφνός· κενός

σιφνύει· κενοῖ

†σιφῶμαι· τήκομαι

σίφων· ῥυπαρὸς ἄνθρωπος, καὶ λίχνος. ἢ εἶδος θηρίου μυρμηκοειδές, καὶ ὄργανον σκόλοπι ὅμοιον, ἐν ᾧ τοὺς μαρσίππους ἐπισκοποῦσι. καὶ τῶν σταχύων καὶ τοῦ πυροῦ οἱ καυλίσκοι. καὶ οἷς οἱ κάπηλοι τὸν οἶνον ἀρύονται (Hipponact. fr. 56). καὶ ὀργανόν τι εἰς πρόεσιν ὑδάτων ἐν τοῖς ἐμπρησμοῖς

σιφώνιον· τὰ αὐτά [92. 93]

σιχθαρίς· Λιβυκαὶ ὀρχήσεις (Iuba)

σκάζει· χωλεύει, χωλαίνει

σκαιῇ (Λ 501)· ἀριστερᾷ χειρί. παρὰ τὸ ἐσκιάσθαι αὐτὴν καὶ κρύπτεσθαι ὡς τὰ πολλά, παρ' ᾧ καὶ ἡ δεξιὰ παρὰ τὴν δέξιν. ἢ ὅτι ἀσθενεστέρα ἐστὶ τῆς δεξιᾶς, καὶ οἷον σκάζει, ἢ σκιά ἐστιν. ἀριστερὰ δὲ καὶ εὐώνυμος κατ' εὐφημισμὸν λέγεται

Σκαιῇσι πύλῃσιν (Χ 360)· οὕτως ὀνομαστικῶς Σκαιαῖς ἐν Ἰλίῳ, διὰ τὸ ἐξ ἀριστερῶν κεῖσθαι· ἢ διὰ τὸ σκαιὰς μάχας ἐν αὐταῖς γεγενῆσθαι· ἢ διὰ τὸ σκολιὰς εἶναι κατὰ τὴν εἰσβολήν. τὰς αὐτὰς καὶ Δαρδανίας καλεῖ

Σκαιοί (Hecataeus)· ἔθνος Θρᾴκιον. καὶ ἀμαθεῖς, καὶ ἀπαίδευτοι [99]

σκαιός (Alcm. fr. 20 al.)· δύσκολος. πονηρός, κακός. μωρός, ἀπαίδευτος, ἀμαθής. ἀπάνθρωπος, ἄδικος, τραχύς, σκληρός, ἐπαχθής, ταραχώδης. ἀριστερός ⟨onomast.⟩

σκαιότης (Soph. A. 1028)· ἀναισθησία. μωρία. ταραχή [802]

σκαίρει (Theocr. IV 19)· ἅλλεται, σκιρτᾷ, πηδᾷ, τρέχει, ὀρχεῖται

†σκαιωρία· ὄρχησις, χορεία, καιρία, παιδιά ⟨863⟩. καὶ τὰ ὅμοια

(σκαίροντα· σκιρτῶντα παῖδα) cf. 927

σκαλαθυρμάτια (Ar. Nubb. 629)· σκαριφήματα [ad 5] [6]

σκαλαθάρβα· τύρβη, ἀπὸ τοῦ σκαλεύειν

σκαλαθαρβία· ἀκηδία

σκαλαθύρει· [ad 9] λάθρα πλησιάζει

σκαλαθύρων· ἀκολασταίνων [ad 10]

σκαλαπάζει· ῥέμβεται ⟨822⟩

†σκάλατος· ὁ σκαφιτός

σκαλεύει· κινεῖ, ἀναστρέφει, ὀρύσσει

σκαληνοειδέες ὀχετοί (Hippocr. III p. 380 K)· ἔντερα

σκαληνόν (Plat. Democrit. al.)· σκολιόν, πολύγωνον. τοῦ γὰρ τριγώνου εἴδη τρία· ἰσόπλευρον ἰσοσκελὲς σκαληνόν

σκαλίς· σκαφεῖον

σκαλλίον (Aeol.)· κυλίκιον μικρόν. οἱ δὲ σκαλλόν (Philetas)

σκάλμη (Soph. fr. 558)· μάχαιρα Θρᾳκία. καὶ σιδηρολάβον δὲ αὐτήν τινες λέγουσιν

σκάλλοντες (Herod. II 14)· σκάπτοντες

σκαλοβατεῖ· κλίμακι βαίνει

σκαλοπιά (Theophr. VII 12, 3)

COD. 78 σιφλός 80 πυρεῖν 85 δημήτηρκαὶ (Poll. X 162) 86 αἰδούμενον 90 καδίσκοι — χρῶνται 96 περὶ τοῖς δεξιοῖς 804 παιδεία 5 σκαθύρματα, σκαρυφίσματα 7 cf. καλα| 10 ἀκολ. σκαλαθ| 14 σκαληνιεῖς 15 σκαλινὸν bis (cf. ἀσκαληνές) 16 σκαφίον (cf. καλίς) 18 θράκιος 20 |ταῖ 20b σκαλόπετα post σκάλοψ

HES. 92 σιχά (Ioann. IV 5)· χωρία 93 σιχαβαττεῖν ⟨σκαιοβατεῖν⟩· τὸ μετὰ σπουδῆς ἀπιέναι. οἱ δὲ τὸ κενεμβατεῖν 99 σκαιόνριον (γ 295)· χαλεπὸν ἀκρωτήριον. ἔστι γὰρ δύσβατον 802 σκαιωρούμενον· ταραττόμενον Ad 5 σκαλαύματα ⟨rec.⟩ 6 σκάλα· κλῖμαξ, ἀνάβασμα Ad 9 σκαλάνει. ἢ Ad 10 ὁ σκαλαύων

σκάλοφ (Ar. Ach. 879)· ἀσπάλαξ, ζῶον γεωρύχον, τυφλόν
σκαλπάζειν· ῥεμβωδῶς βαδίζειν ⟨811⟩
†σκαλτωμίζειν· λαμπυρίζειν
σκαλῶ· σκαλαβῶ ⟨—αύσω⟩
†σκαλώνια· τὰ ἀσκωρώνια καὶ †ἀχμαῖα, ἃ σκαμβὰ καὶ καμπύλα
σκάμαια· κύων
σκαμ†μάδες· πόρναι [28. 29]
σκαμβάλλει· ἀκηδί..
σκαμβάλυξ· σκαμβός, στρεβλός
σκαμβηρίζοντες· ὀλισθαίνοντες
ώ η
σκαμβίς· θερμοποτίς, λαχ ρ
σκαμβός· στρεβλός
σκάμβυκες (Aeol.)· σκόλοπες, χάρακες ⟨845⟩
Σκαμβωνίδαι (Ar. Vesp. 81)· δῆμος τῆς Λεοντίδος φυλῆς
†σκαμφυσεῖ· μεμψιμοιρεῖ, ἀγανακτεῖ
σκαμωνία (Theophr. IV 5, 1)· εἶδος βοτάνης
σκάναμα· τόπος πρὸς τὸ εὖ στιβάσασθαι
†σκανα...ντα· ἐπιχαλκ.. παρὰ (fr. 93) Σωφρονίωσκανὰς πορεύσῃ ἐν τῇ ἀσπίδι. Καλλίας δὲ σκεῦος
σκανδάληθρ' ἱστάς (Ar. Ach. 687) καὶ σκάνδαλον· τὸ ἐν ταῖς μυάγραις
σκάνδαλος· ἐμποδισμός
Σκάνδεια· χωρίον ἢ πόλις (K 268?). καὶ εἶδος περικεφαλαίας
σκάνδιξ (Ar. Ach. 378)· λάχανον ἄγριον, παρὸ καὶ σκανδικοπώλην τὸν Εὐριπίδην λέγουσιν, ἐπειδὴ λαχανοπωλητρίας υἱὸν αὐτὸν εἶναί φασι
σκάνδυκες· σκόλοπες, χάρακες ⟨835⟩
σκανεύεσθαι· ἐπαρι(σ)τερεύεσθαι
σκάνθαν· κράββατον
σκάνιξ· ἐπαρίστερα
†σκάνος· αἰτία. κώλυμα
σκαπανεύς (Lycoph. 652)· σκαφεύς
σκαπάνη (Theophr. CP. III 25)· σκαφε(ῖ)ον. ὀρύγιον. δίκελ(λ)α
σκαπάνιον· ἡ βακτηρία. ἄλλοι σκίπωνα
σκάπαρδος· ὁ ταραχώδης. καὶ ἀνάγωγος
σκαπέρδα· ἐν τοῖς Διονυσίοις ἀγομένη πηγνυμένης δοκοῦ ἀνδρομήκους καὶ τετρημένης διεῖρται διὰ ...... σχοινίον· καὶ δύο οἱ ἀγωνιζόμενοι ἀντίους ἀλλήλοι(ς) τοὺς νώτους ἔχοντες ..... καὶ πᾶν τὸ δυσχερὲς σκαπέρδα λέγεται καὶ ὁ πάσχων σκαπέρδης
σκαπερδεῦσαι (Hipponact. fr. 1)· λοιδορῆσαι
σκάπετος· τάφρος. ἄλλοι τάφος
σκᾶπος· κλάδος. καὶ ἄνεμος ποιός
σκάπτει (Eur. H. f. 999)· ὀρύττει
σκάραιβον· αἱμοποιόν
σκαρδαμύττειν (Eur. Cycl. 626)· τὸ πυκνῶς καταμύειν καὶ ἀναβλέπειν τοῖς ὄμμασι
σκαρθμοί· κινητοί ⟨ad εὔσκαρθμοι⟩. σκιρισμοί
σκαρθμοῖς· κινήσεσι. δρόμοις. κρηπῖσι. λακτισμοῖς. καὶ υἱὸς Τεύκρου ἀναγράφεται
σκαρία· παιδιά ⟨804⟩
σκαρίδες· εἶδος ἑλμίνθων
σκαρίζεται· ταράττεται. βράζει
σκαριφᾶσθαι· ξύειν. σκάπτειν. γράφειν. ὅθεν καὶ ὁ (σ)κάριφος
σκάριφος· ξέσις. γραφή. μίμησις ἀκριβὴς τύπου
σκάρκη· Θρᾳκιστὶ ἀργύρια
σκαρπαδεῦσαι· κρῖναι ⟨855⟩
σκάρτας (Dor.)· ταχύς [Ad 70]
σκαρφᾶσθαι· σκεδάννυσθαι ⟨σκαρι—⟩ [72]
†σκαρφνής· ἰσχυρός
σκαρφῶν· εἶδος καμίνου ἐν τῷ Μεταλλικῷ
σκάφαι· ὀψοπλύνια
σκάφαλος· ἀντλητήρ [77]
σκαφηφόροι (Theophr.)· οἱ μέτοικοι οὕτως ἐκαλοῦντο· σκάφας γὰρ ἔφερον ἐν τοῖς Παναθηναίοις, ἵνα ὡς εὔνοι ἀριθμῶνται μετέχοντες τῶν θυσιῶν
σκαφίον (Arissoph. p. 1002)· πτύον. καὶ εἶδος κουρᾶς τῆς κεφαλῆς, ὃ κείρεσθαί φασι τὰς ἑταιρευ[ν]ούσας· εἶναι δὲ περιτρόχαλον. καὶ ἰατρικὸν ἐπίδεσμον
σκάφος· πλοιάριον
σκαφώρη· ἡ ἀλώπηξ [82]

πό
COD. 21 σκαλα| ῥεμβαδῶς 33 θερμότις 38 σκαμονία 41 σκανδαλοθρίστας 43 σκα...α 45 σκανδυνες 52 σκήπωνα 53 cf. καπαρδ— 54 διήρηται — σκάπερδα 56 cf. καπ— 57 σκάπος 63 παιδία 64 cf. ἀσκ— 67 τόπου 68 θρᾴκης τὸ ἄγριον 78 εὔνοι — μετέρχοντες

HES. 28 σκάμματα· ἀγῶνες, στάδια 29 Σκάμανδρος· ποταμός, ὃς καὶ Ξάνθος καλεῖται Ad 70 οἱ δὲ σκάτας 72 Σκάρφη (B 532)· πόλις Λοκρίδος 77 σκαφίδες (ι 223)· ποιμενικὰ ἀγγεῖα 82 σκεδάζει ⟨rec.⟩· σκορπίζει. ἀθετεῖ. ταράττει. †ἐγχέει. καταργεῖ

σκεθρόν (cf. Eur. fr. 88 Hippocr. II p. 630 K) ἀκριβές [84—87]

†σκειράξαι· κρεωφαγῆσαι [89]

†σκειραφεῖν· κακοπραγμονεῖν [91]

σκειρόν· [ad 92] σκληρόν ⟨962⟩

σκεῖρος· ῥύπος ⟨σκῖρα⟩. καὶ ὁ δριμὺς τυρός. καὶ ἄλσος καὶ δρυμός (Aristarch. Ψ 331). Φιλητᾶς δὲ τὴν ῥυπώδη γῆν

σκείρων (Aristot. 973, 19)· ἀργέστης λέγεται. δοκεῖ δὲ ἀπὸ τῶν Σκειρωνίδων πετρῶν καταπνεῖν

σκειρώσασθαι· σκληροῦσθαι ⟨1030⟩

σκέλεαι (Critias Poll. VII 59)· τὰ τῶν σκελῶν σκεπάσματα. Πάρθοι σαράβαρα ⟨q. v.⟩

σκελέεσθαι· ἄγαν σκληρῶς διακεῖσθαι

Σκελερδεία· Ἄνθεια ἡ νῆσος

σκελετά· σκίλλα

σκέλεται· ξηραίνει, ἰσχναίνει

σκέλεφερ· βόλου ὄνομα. Λάκωνες

?σκέλισμα· τὸ δείμνημα

σκελήπερον· νήπιον. Ἀρχίλοχος (fr. 192)

σκελίδες (Ar. Eqq. 362)· τὰ περιμήκη τμήματα

σκέλισμα· δρόμημα

σκελλόν· διεστραμμένον

?σκελλόμενα· σκελετευόμενα

?σκελίς· τὸ ἀπὸ τῆς ῥάχεως ἕως τοῦ ὑπογαστρίου

σκελοῖν (Ar. Pac. 241 Eur. Cycl. 182)· ποδῶν

σκέλος· τάττεται ἐπὶ τοῦ φορτικοῦ. καὶ μέρος τι τῆς νεώς

σκελοῦνται· σκελετισθήσονται

σκέμμα (Plat. Civ. 435 C)· διάνοια

σκέπαρνον (ι 391)· τὸν ἀμφίστομον πέλεκυν

σκέπαρνον (Hippocr. 742 F)· ἐπιδέσμου ἰατρικοῦ ὄνομα

σκέπας (η 282)· σκέπη. ὑποδοχή

σκεπάσθην· θερμανθῆναι

σκέπη· σκέπασμα

σκεπινός· ἰχθῦς ποιός (Dorio)

σκεπόωσι (ν 99)· σκέπωσι. παρέχωσιν

σκέπτετο (Π 361)· ἀπεκρούετο. ἐφυλάσσετο, παρετήρει, περιεβλέπετο

†σκεραός· οἰδός

σκέραφος· λοιδορία. βλασφημία

?σκέρβολον· λοίδορον. ἀπατεῶνα (Callim. fr. CCLXXXI)

σκέρβολλε· λοιδόρει

σκερβόλλει· ἀπατᾷ

σκέρβολος· λοίδορος. καὶ τὰ ὅμοια [927]

σκερός· αἰδοιολείκτης

σκερολίγγες· λαικασταί. ἢ ὠπισταί

σκεύακας· εὐωνύμους

σκευή· ὅπλισις, στολή

σκευοποιούς (Com.)· τοὺς τὰ πρόσωπα ποιοῦντας

σκεῦος· ἀγγεῖον ἅπαν. καὶ τὸ σκευοῦσθαι ἑτοιμάζεσθαι

σκευώρημα (Dem. 955, 3. 1035, 13)· πλάσμα. κακουργία. κατασκευή. τὸ γινόμενον κατασκεύασμα εἰς βλάβην

σκευωρία (Philemo)· κατασκευή

σκεψάμενος (μ 247)· ἀποβλέψας

σκέψομαι (Menander)· θεωρήσω

σκέψις (Plat. Legg. 636 D)· θεωρία

σκηκός· πόας εἶδος. καὶ ζῷον ⟨σκίγκος⟩

σκήλειεν· σκελετεύσειεν. ξηραίνειεν. καύσειεν (Ψ 191?)

σκῆλαι· ξηρᾶναι

σκηνάς (Menand.)· καταγωγάς, οἰκήματα

σκῆν· ὅ τινες μὲν ψυχήν, τινὲς δὲ φάλαιναν

σκηνή· ἡ ἀπὸ ξύλων ἢ περιβολαίων οἰκία [45—47]

σκηνῶντες (Xen. ΚΠ IV 2, 11)· σύσκηνοι. λέγονται δὲ καὶ σκηνωταί

σκηνωταί· συσκηνοῦντες

COD. 83 cf. σκιερὸν 93 πυρρώδη 94 σκειρῶν· ἄργη-τίς 98 ἀνθία 904 cf. σχελίδες 9 σκελῶν 11 |ασθήσονται 16 |ᾶσθαι ⟨18 σκεπανός Oppian. Ἁλ. I 106⟩ 20 σκέπετο ⟨22 cf. κερ— et σχερ—⟩ 25 σκερβολεῖ 26 λοῖδος 31 σκεύη, ὅπλησις 34 |ώριμα 43 σκήνωμα papilio Glossae 48 σκηνόντες — λέγεται → |ταῖς 49 συγσκ|

HES. 84 σκεῖρα· ἑορτὴ Ἀθήνησιν· ἀρείονος. ἢ χωρία ὕλην ἔχοντα εὐθετοῦσαν εἰς φρύγανα ⟨cf. σκι—⟩ 85 σκειράφιον (Moer. 343)· τὸ κυβευτήριον, ἴσως διὰ τὸ ἐν σκειρῷ τὴν διατριβὴν ἔχειν (Theopomp. Harp. 168, 17) 86 Σκειρὰς Ἀθηνᾶ· Σκειρ.. φασὶ τὸν Ποσειδῶνος υἱόν, γήμαντα Σαλαμῖνα τὴν Ἀσωποῦ ⟨cf. Σκι—⟩ 87 Σκειρίτης (Thuc. V 67)· λόχος οὕτω καλούμενος ὁ προκινδυνεύων. ἦν δὲ Ἀρκαδικός 89 σκείρατες· οἱ προύνικοι. καὶ κυβευταί 91 Σκειρόμαντις· ὁ ἐπὶ Σκείρωσι μαντευόμενος. τόπος δὲ ἦν οὗτος, ὅθεν τοὺς οἰωνοὺς ἔβλεπον Ad 92 λατύπην ⟨ad σκύρος⟩. ἢ 927 σκερρὸν ὄντα· σκιρτῶντα παῖδα 45 σκῆνος· σῶμα (Sapient. IX 15). [ἢ σκῆλος.] ἢ πάθος ἐν μελίσσαις, ὅταν ἐν τῷ σμήνει γένηται σκώληξ ⟨σκλῆρος⟩ 46 σκήνους (II Cor. V 1)· οἰκητηρίου 47 σκήνωμα (LXX)· οἴκημα, οἶκος, τόπος

*σκηπάνιον* (Callim. Suid.)· *βακτηρία. ἢ σκῆπτρον* [51]

*σκηπήϊον· πτύον*

*σκηπήνιον· βακτηρία. τρίαινα. βάκτρον. κηρύκ(ε)ιον. ῥάβδος*

*σκήπτεται* (Lysiae 166, 34)· *προφασίζεται*

*σκήπτοιτο· προφασίζοιτο*

*σκηπτός* (Xen. An. III 1, 11)· *κεραυνὸς ἄνωθεν διάπυρος* [56. 57]

*σκῆπτρον* (*Α* 28)· *κυρίως μὲν πᾶσα ῥάβδος· ἀπὸ τοῦ σκηρίπτεσθαι ἐπ' αὐτῇ, ὅ ἐστιν ἐπερείδεσθαι. καὶ τὸ βασιλικὸν δὲ σύμβολον* [59]

*σκηριπτόμενος· ἐπερειδόμενος, στηριζόμενος, ἐπαναπαυόμενος ῥάβδῳ* (non λ 595) [ad 60] [61]

*σκηρόν· σκληρόν. τ(ρ)αχύ* ⟨892⟩

*σκῆψαι· πεσεῖν*

*σκήψας· προφασίσας*

*σκῆψις· πρόφασις*

*σκιά· σκίασις, ἐπιφάνεια τοῦ χρώματος ἀντίμορφος*

*σκιαγραφίαν* (Plat. Civ. 365 C)· *τὴν σκηνογραφίαν οὕτω λέγουσιν. ἐλέγετο δέ τις καὶ Ἀπολλόδωρος ζωγράφος σκιογράφος ἀντὶ τοῦ σκηνογράφος. οὗτος δὲ καὶ πῖλον ἐφόρει ὀρθόν. καὶ ἐν τοῖς ἔργοις ἐπιγράφεται· μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται*

*σκιαγράφος· ὁ Ἀπολλόδωρος*

*σκιαδεύς, τινὲς δὲ σκίαινα· εἶδος ἰχθύος* (Ar. HA. VIII 19)

*σκιάδεια* (Demetr. Ath. 141 F)· *σκηνοπήγια. ἔστι δὲ τόπος, ἐν ᾧ τὰ μειράκια ἐκαθέζετο*

*σκιάδειον* (Ar. Th. 823)· *σκηνή. καμελαύκιον* ⟨985⟩

*σκιάζει* (Soph. fr. 703)· *σκεπάζει*

*Σκίαθος* (Simonid. fr. 212 Dem. 49, 4)· *νῆσος Κυκλάδων*

*Σκιάποδες* (Ctesias)· *οἱ ἐν Λιβύῃ πλατεῖς ἔχουσι τοὺς πόδας, καὶ ποιοῦσι σκιὰν αὐτοῖς ἐν καύματι*

*Σκιάπους* (Hecataeus)· *ἔθνος περὶ τὴν Αἰθιοπίαν πλατύπουν*

*Σκιάρα· ἡ Κεφαληνία*

*σκιάς· ἡ ἀναδενδράς. καὶ σκηνὴ ὠροφωμένη. καὶ τὸ θολῶδες σκιάδ(ε)ιον, ἐν ᾧ ὁ Διόνυσος κάθηται. καὶ τὸ πρυτανεῖον. καὶ κλάδοι εὐμεγέθεις σκιάδες λέγονται. καὶ ἡ τοῦ σώματος σκιά, ὅθεν καὶ τὰς ὥρας ἐτεκμαίροντο*

†*σκιδαρόν· ἀραιόν*

*σκίδναται* (*Λ* 308)· *διασκεδάννυται, σκορπίζεται, χωρίζεται*

*σκίδνανται· διασκορπίζονται*

*σκιδναμένου· διασκορπιζομένου*

*σκιερόν* (υ 378?)· *κατάσκιον.* [ad 82] *εὔσκιον, ἢ σκιὰν ἔχον*

*σκιθακός· ἰχθῦς ὁ καὶ τράχουρος* ⟨740. 1023⟩

*σκίλλα· σκαμμωνία, θανατηφόρος μυῶν* [85]

*σκίλλος· ἰκτῖνος*

†*σκίλλωνται· ἐδάννυνται* [86]

*σκιμβάζει· χωλεύει*

*σκιμβασμός· φιλήματος εἶδος*

*σκιμβάδες· ὕλη εὔθετος εἰς τοίχων ἐπίθεσιν, σκέπης χάριν*

*σκιμβόλος· ἠλίθιος*

*σκιμβός· χωλός*

*σκίμποδα* (Ar. Nubb. 254)· *κράββατον*

*σκιμπόδιον* (Philemo)· *εὐτελὲς κλινίδιον μονόκοιτον*

*σκιμπόδων· κραββάτων*

*σκίμπους· κράββατος*

*σκίμπτει· σκίμπεται. χαλεπαίνει. ἐρείδεται. ἐπιπίπτει*

*σκίμπτεσθαι· τὰ αὐτά*

*σκίμψαι· ἐμπαγῆναι* [ad 1000]. *ἐμπελασθῆναι* (Apoll. lex. 142, 21) [1—3]

*σκιμφθῇ* (Hippocr. *π. ν.* I p. 135, 25)· *ἐγγίσῃ. προσπελασθῇ*

*σκίμψαιτο·* †*ἐλάβοιτο*

*σκίμψασθαι· ἐρείσασθαι.* †*πλῆξαι. ἐκπ[λ]αγῆναι*

*σκίνακες· ἐπὶ τῶν λαγωῶν* (cf. Nic. Ther. 577)

**COD.** 52 cf. *σκαφίον* 55 *διὰ πυρὸς* 64 *σκῆψας* 67 *πηλὸν* 70 *σκιαδία, σκηνοπηγία* 71 *σκιάδιον, σκηνίκωμα. λαύκιον* 77 *ὠροφο|σκιάδαι* 89 cf. *κιμ—σκιμ—* 93 *χολός* 95 *μονοκοίτιον* 1004 *ἐγγίσει, προσπελάσει*

**HES.** 51 *σκηπανίῳ* (*Ν* 59)· *τὰ αὐτά* 56 *σκηπτοῦχοι* (*Β* 86)· *βασιλεῖς* 57 .......· *σκηπτροφόρος βασιλεύς* (*Α* 279) 59 *σκηρίπτεσθαι* (ρ 196)· *ἐπερείδεσθαι ῥάβδῳ, ἢ ἄλλῳ τινί* Ad 60 *τὸν ἐπερείδεσθαί τινι λόγῳ, σκήπτεσθαι προφασιζόμενον* 61 *σκηριπτούμενος· τὰ αὐτά* Ad 82 *ἀκρι(βές)* ⟨ad *σκεθρόν*⟩ 85 *σκιλλεῖον· σκιάδιον* ⟨971⟩ 88 *σκιμαλίσαι· καταδακτυλίσαι* ⟨Moer. p. 360⟩ Ad 1000 *ἐκπλαγῆναι* 1 *σκιμπτύει· χαλεπαίνει. ἐρείδεται. ἐπιπίπτει* 2 *σκίμπτεσθαι· τὰ αὐτά* 3 *σκίμψαι· ἐμπαγῆναι. ἐκπλαγῆναι*

σκινδάλαμος· σκόλοψ. τινὲς δὲ διὰ τοῦ χ σχινδάλαμος. ἄλλοι σκινδαλμός (Ar. Nub. 130)

σκινδαρεύεσθαι· κακοσχολεύεσθαι, δακτυλίζεσθαι, σκιμαλίζεσθαι

σκινδαρίσαι· τὰ αὐτά

σκινδάρ(ε)ιος· ὄρχησις οὕτω καλουμένη

σκίνδαροι· τὰ προσκυνήματα ⟨616⟩

σκίνδαρος· ἡ ἐπανάστασις νυκτὸς ἀφροδισίων ἕνεκα

σκινθαρίζειν, ἔνιοι σκα(νθα)ρίζειν· τὸ γὰρ τῷ μέσῳ δακτύλῳ τὴν μυκτῆρα παίειν δηλοῖ, ὡς Δίδυμος

σκινθίζεται· λακτίζεται ⟨1141. 1178⟩

σκιοειδέα (Ar. Av. 686)· σκιοειδῆ

σκιόεν· σκιερόν, μέλαν. βαθύ

σκιόεντα (Hom.)· σύσκια. σκοτεινά. ὑψηλά. ἢ τὰ μεγάλην σκιὰν ποιοῦντα

σκίουρος· ζῷον, ὁ καὶ χαμψίουρος. ἄλλοι ἵππουρος

σκίπει· νύσσει ⟨1043⟩

σκιπός· σκνιφός. ὁ μικρολόγος ⟨1042⟩

σκίπων· βακτηρία, ῥάβδος

σκίρθακος· ἰχθὺς ὁ καὶ τράχουρος ⟨740. 983⟩ [24]

(σκίρα· ἑορτὴ Ἀθήνησιν (Ar. Eccl. 18). †δρείονος. ἢ χωρία ὕλην ἔχοντα εὐθετοῦσαν εἰς φρύγανα ⟨ad σκῖρα⟩ cf. 884)

(σκιρὰς Ἀθηνᾶ· Σκίρον φασὶ τὸν Ποσειδῶνος υἱόν, γήμαντα Σαλαμῖνα τὴν Ἀσώπου. cf. 886)

(†σκίρατες ⟨—φες?⟩· οἱ προύνικοι, καὶ κυβευταί cf. 889)

σκιρεῖται ⟨Σκιρῖται⟩

σκιρός ⟨σκῦρος⟩· ἐστὶν ἡ λατύπη

(Σκιρίτης (Thuc. V 67) λόχος οὕτω καλούμενος ὁ προκινδυνεύων. ἦν δὲ Ἀρκαδικός. cf. 887)

(σκιρόμαντις· ὁ ἐπὶ Σκίρῳ μαντευόμενος. τόπος δὲ ἦν οὗτος, ὅθεν τοὺς οἰωνοὺς ἔβλεπον. cf. 891)

σκιροφόρια· ὄνομα ἑορτῆς

σκιρτᾷ (Plat. Legg. 716 B)· ἅλλεται, κινεῖται, ὀρχεῖται, τρέχει, ἀναστρέφεται

σκίρτησις· ἰσχύς, δύναμις. καὶ τὰ ὅμοια

σκιρ(ω)θῶσι (Hippocr. 658, 45)· σκληρυνθῶσιν ⟨1187⟩

σκιρώσασθαι· ἀπο(σ)κληροῦσθαι ⟨895⟩

σκίταλοι (Ar. Eqq. 643)· ἀπὸ τῶν ἀφροδισίων καὶ τῆς προυνικίας τῆς νυκτερινῆς θεούς τινας ἐσχημάτισεν. Θέων δέ φησι πεπλάσθαι τοὔνομα

†σκιτυπίαι· σκηναί

σκιφίας (Epicharm. fr. 29)· εἶδος ἰχθύος

σκιφίζει· ξιφίζει. ἔστι δὲ σχῆμα μαχαιρικῆς ὀρχήσεως

σκιφίνιον· πλέγμα ἐκ φοίνικος

σκίφος· ξίφος. οἱ μὲν τὸ ἐγχειρίδιον, ἄλλοι ἐπὶ τοῦ αἰδοίου

σκιφύδρια (Epicharm. fr. 23)· εἶδος κογχυλίου

σκίφαι· ὀκλάσαι. Ἀχαιοί [39]

σκλῆρος· νόσημά τι ἀραχνίδων ἐν τοῖς σμήνεσι, πρὸς τὸ σήπεσθαι τὰ κηρία (Ar. HA. IX 40)

σκληφροί (Theopomp. com. p. 813)· οἱ ἰσχνοὶ καὶ λεπτοὶ τοῖς σώμασι

σκνιπόν· μικρολόγον ⟨1021⟩

σκνίπτειν· νύσσειν ⟨1020⟩. †καινοτομεῖν

†σκνιφ.·· ἄκρα ἡμέρας καὶ ἑσπέρας †λεῖοι

σκνιφόν· ἀμυδρὸν βλέπον ⟨Poll. II 65⟩. Ἀττικοὶ γὰρ καὶ τὸ σκότος σκνίφος λέγουσι

σκνίψ (Strattid. fr. XII p. 790)· ζῷον χλωρόν τε καὶ τετράπτερον

†σκοβαδές· ἔδεσμά τι

†σκογχούλας· γογγυσμούς. τονθρυσμούς

σκοιά· σκοτεινά. τινὲς †κολόροβοι

σκοΐδιον· σκιάδ(ε)ιον

σκοῖδος· ἀρχή τις παρὰ Μακεδόσι τεταγμένη ἐπὶ τῶν δικαστηρίων. Ἡ λέξις κεῖται ἐν ταῖς ἐπιστολαῖς Ἀλεξάνδρου [52]

σκοιόν· ἰσχυρόν. δασύ. μαλακόν. βαθύ. μέγα. χλωρόν. ποικίλον. σύσκιον

σκοῖπος· ἡ ἐξοχὴ τῶν ξύλων, ἐφ' ὧν εἰσιν οἱ κέραμοι ⟨77⟩

σκοίψ· φώρα

σκόλεφραι· κατακεκαυμέναι τὰς τρίχας ⟨1068⟩

σκόλια· τὴν παροίνιον ᾠδὴν οὕτως ἔλεγον, οὐ διὰ τὸν τῆς μελοποιίας τρόπον, ὅτι σκολιὸς ἦν, ἀλλ' ὅτι οὐχ ἅπαντες ᾖδον αὐτά, ἀλλὰ μόνοι οἱ συνετοί

σκολιά (Plat. Theaet. 194 B)· σκαμβά, οὐκ

COD. 10 |ρῆσαι 18 σύσκηνα 23 τραχοῦρος 26 σκιροφορειά 31 θεῶν — τοῦ νόμου 40 σκληρός; cf. κλῆρος, σκῆνος ⟨48 σκονθύλας?⟩ 51 Menand. fr. IX p. 151 57 σκολεία

HES. 24 σκίπωνι χειρός (Eur. Hec. 65)· βακτηρία χειρός 39 σκληραγωγία· ἄσκησις. παρὰ τὸ σκληρῶς ἄγεσθαι 52 σκοίθης· διάβολος. Ἀττικοί. λάλος, στωμύλος ⟨1315 et φοίθης⟩

ὀρθά. ἄδικα. δυσχερῆ. ἐπικαμπῆ. ἄνισα. δύσκολα

†σκολλέ· σκυμμόν

σκόλλυς (Alcm. fr. 35)· κορυφὴ ἡ καταλελειμμένη τῶν τριχῶν. τινὲς δὲ μαλλόν, πλόκαμον

σκολοῖς· δρεπάνοις ⟨1211⟩

σκολόπαξ (Arist. HA. IX 8)· ὄρνις ποιός [63]

σκολόπενδρα (Ar. HA. I 5)· ζῶον καὶ ἐνάλιον καὶ χερσαῖον [65]

σκόλοπες· ὀρθὰ καὶ ὀξέα ξύλα, στ(αυ)ροί, χάρακες [67]

σκολοφρή· κατακεκαυμένη ⟨1056⟩

σκόλοφρον· θρανίον

†σκολοβρᾶ· χαλεπαίνει ⟨1074. 1079⟩

σκόλοψ· ξύλον ὠξυμμένον

σκόλοψιν ὡς ὀπτῶσιν· τὸ γὰρ παλαιὸν τοὺς κακουργοῦντας ἀνεσκολόπιζον, ὀξύνοντες ξύλον (καὶ) δια(τείνοντες) τῆς ῥαχέως καὶ τοῦ νώτου, καθάπερ τοὺς ὀπτωμένους ἰχθῦς ἐπὶ ὀβελίσκων

σκόλυβος· ὁ ἐσθιόμενος βολβός

σκολύβρα· ἡ σκυθρωπή ⟨1070. 1079⟩

σκολύθρια (Plat. Euthyd. 278 B)· ταπεινὰ διφρία. ὑποπόδια

σκολύθρων· ταπεινῶν. ἀπὸ σκολύθρων δίφρων

σκόλυμος (Hesiod. opp. 580)· λάχανον ἄγριον ἀκανθῶδες

σκολύπτειν· ἐκτίλλειν. κολούειν. (σπαράττειν)

σκολύφρα· σκυθρωπή. σκληρά. ἐργώδης. δυσχερής

σκολύψαι· κολοῦσαι, κολοβῶσαι

σκομβρίδες· ἰχθύες

σκομβρίσαι· γογγύσαι. καὶ παιδιᾶς ἀσελγοῦς εἶδος (Iuba)

Σκόμβροι· Θράκιον ἔθνος

†σκονδάμνα· ῥάφανος

†σκόνδρον· δρυπτόν. ἢ δρύπτει

σκόνυζα (Pherecr. fr. LI p. 353)· ἡ κόνυζα. ἔστι δὲ φυτὸν †ἄφυλλον ἱκανῶς, καὶ στιβάδας ἐξ αὐτῆς ἐποίουν, καὶ ταῖς οἰκίαις στεγάσματα ἐπέβαλλον

σκοπεῖσθαι· ὁρᾶσθαι

σκόπελος· ὑψηλὸς τόπος, ἢ πέτρα, ἢ ἀκρώρεια, ἀφ' ἧς ἔστι σκοπεῖν τὰ κύκλῳ. καὶ ἐξέχουσα εἰς θάλασσαν πέτρα. οἱ δὲ ἀκρόπολις [89. 90]

σκοπή· ἄποψις

σκοπήσεις· σκέψεις [93. 94]

σκοπιαί (Eur. Phoen. 223)· ἀκρώρειαι, ὑψηλοὶ τόποι

σκοπιή· ὑψηλὸς τόπος, ἀφ' οὗ ἔστιν ἰδεῖν καὶ περισκέψασθαι

σκοπιωροῦνται· ‚κατὰ ........' ⟨Ar. Vesp. 361⟩

σκοπός (K 324)·

σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι [99. 1100]

σκοπῶν (Soph. OT. 68)· σκεπτόμενος, ἐνθυμούμενος

